ΒΙΒΛΙΟΝ

ΚΑΛΟΥΜΕΝΟΝ

ΚΡΙΤΗΣ ΤΗΣ ΑΛΗΘΕΙΑΣ,

ΔΙΗΡΗΜΕΝΟΝ ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 845
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

LIBER

QVI VOCATVR

IVDEX VERITATIS,

DISTINCTVS IN PARTES DVAS.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Δ. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΤΟΜΟΣ ΠΡΩΤΟΣ

ἐν ᾧ περιέχονται

ΤΑ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΗΜΩΝ ΑΓΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΑΝΑΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ,

ΔΟΓΜΑΤΑ ΚΑΙ ΜΥΣΤΗΡΙΑ,

ἅτινα συντεθέντα

ΠΑΡΑ ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ

ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ,

ΙΘΥΝΟΝΤΟΣ ΤΟΤΣ ΟΙΑΚΑΣ

ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΘΡΟΝΟΥ,

ΕΝ ΕΤΕΙ, ᾳ φ ο ϛ'.

ἐξάλθησαν πρὸς τὰς ἐν Τυβίγγῃ πόλει τῆς Γερμανίας ὄντας, τῆς Λαθέρε θρησκείας, Θεολόγους.

ΑΙ ΤΕ ΤΡΕΙΣ ΑΥΤΟΥ ΠΡΟΣ ΑΥΤΟΥΣ ΑΠΟΚΡΙΣΕΙΣ.

Τύποις νῦν δὲ τὸ δεύτερον ἐκδοθέντα, σπεδῇ καὶ πόνῳ

ΤΟΥ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ

ΓΕΔΕΩΝ ΤΟΥ ΚΥΠΡΙΟΥ,

τῦ καὶ ἁγιοταφίτου.

Παρὰ Ἰωάννῃ Γόττλοπ Ἐμμανουὴλ Πρέϊτκοπφ·

ἐν Λίψιᾳ τῆς Σαξωνίας· 1758.

IER

TOMVS PRIMVS

QVA

ORTHODOXAE NOSTRAE SANCTAEQVE CHRISTI ECCLESIAE

ORIENTALIS

DOGMATA ET MYSTERIA

CONTINENTVR,

QVAE A SANCTISSIMO VIRO

IEREMIA,

QVI TVNC TEMPORIS CLAVOS PATRIARCHALIS

ET OECVMENICI THRONI GVBERNABAT,

COMPOSITA SVNT, ANNOQVE MDLXXVI.

AD LVTHERANOS

QVI TVBINGAE (GERMANIAE VRBS EST) ERANT,

MISSA.

TERNAE ITIDEM EIVSDEM AD ILLOS RESPONSIONES.

ALTERA NVNC VICE

DILIGENTIA ET LABORE

GEDEONIS CYPRII

HIEROMONACHI ET HIEROSOLYMITANI

EDITA.

LIPSIAE,

LITTERIS BREITKOPFIIS. 1758.

SANCTISSIMO, DOCTISSIMO,

SVMMEQVE

REVERENDO METROPOLITAE KIOVIAE

ET

OMNI PARVAE ROSSIAE DOMINO

DOMINO

TIMOTHEO SCHERPASKY.

Is eſt virtutis ſplendor, ut etiam remotiſſimas regiones luce ſua illuſtret, ea vero pietatis gloria, ut vel ab ignotis, quas in ſui admirationem rapit, quam maxime celebretur. Id me experientia optime edocuiſſe videtur. Cum

enim nuper divinas, quas in TE peregrinæ gentes admirantur, virtutes attenta, qua decet, mente contemplarer, accidit, ut in earum contemplatione totus defixus haererem. Divina clementia, quae mortalium ſaluti optime proſpicit, munus TIBI commiſit graviſſimum, quod TVAE eruditioni, admirabili ingenio, & religionis noſtræ, quo ferves, ſtudio prorſus eſt conſentaneum. Nam ea litterarum ſacrarum cognitione es inſtructus, ut nemo TE melius poſſit ſanctam Dei voluntatem, quæ in codice ſacro luculenter exſtat ſcripta, interpretari. Huc accedit ſingularis TVA pietas, qua vitam optimi Servatoris exprimere hominesque TVAE curæ & fidei traditos ad veram vitæ ſanctitatem excitare atque incendere ſtudes. Quæ quum ita ſint, non poſſunt non omnes, quotquot noſtræ religioni eruditionique ſolidiori favent, TVA maxima atque immortalia merita religioſa mente venerari. Tacebo humanitatem incredibilem, qua excellis, neminem deſerere, omnibus vero præſidium, ſpem atque ſalutem adferre. Silebo quoque, TE nulla re magis, quam eruditione delectari. Id tantum modo dicam, cur ego hunc tenuem libellum

TIBI offerre auſim. TVIS ſcilicet, quæ omnes laudes longe excedunt, virtutibus inflammatus, TVA benignitate fretus, TVO denique orthodoxæ fidei ſtudio, commoveor, ut TVAE tutelæ hocce opus ſacrum eſſe jubeam. Traduntur in libro, qui TE jam accedere audet, ſacro ſanctæ noſtræ religionis præcipua capita, quorum expoſitio acerrimo TVO judicio ſubjicitur. Quid vero videtur eſſe magis conſentaneum, quam ut liber ab antiſtite ſacro conſcriptus, Hierarchæ rurſus fidei tractatur? Accipe igitur, Summe reverende Archiepiſcope, ſerena fronte eum librum, qui religionis noſtræ veritatem tuetur atque amplificat. Ignoſce, quod ego fama ac nobilitate TVORVM meritorum compulſus, TVIS manibus religioſum opus conſecrem. Scio maximeque perſuaſum habeo, TE noſtræ fidei eſſe acerrimum vindicem, virtutis rigidum cuſtodem, laboris docti præſtantiſſimum adjutorem. Non igitur ſpero ſolum, verum etiam confido, TE meæ audaciæ certe veniam eſſe daturum. Ego vero Deum optimum maximum piis atque aſſiduis precibus dies noctesque implorabo, vt TE, religionis, litterarum & omnium bonorum præſidio natum factumque,

ὀρθόδοξος ἁγία ἡμῶν Ἐκκλησία καυχήσασθαι ἐν τοῖς τερπνοῖς καὶ γλυκυτάτοις ῥεύμασι, τοῖς θείοις δηλαδὴ τῶν Θεοπνεύστων Προφητῶν, Θεοφωτίστων Ἀποστόλων, Ἱερῶν διδασκάλων καὶ πάντων τῶν Ἁγίων Πατέρων, διδάγμασι. ἐξ ὧν πνευματικῶς ἀρδευομένη, ἀναβλαστάνει καὶ γεννᾷ, ὐ καρπὸς φθαρτὸς καὶ προσωρινὸς, ἀλλὰ θείας καὶ ἀϊδίους, τὴν πρὸς Θεὸν, δηλαδὴ εὐσέβειαν, καὶ τὰς λοιπὰς θεαρέστους ἀρετὰς, ἔχουσα μόνον τὸν Χριστὸν Νυμφίον, κεφαλὴν, καὶ θεμέλιον. διὸ ὅτε κατίσχυσαν ὅτε κατισχύσουσιν αὐτῆς εἰς τὸν αἰῶνα, βασιλέων ἀπειλαὶ, τυράννων κολάσεις, καὶ πάντων τῶν αἱρετικῶν τὰ σοφίσματα καὶ αἱ ἔνεδραι. ἃς ὁ Κύριος πύλας ᾅδου ὠνόμασεν. ὥσπερ γὰρ ἡ ἄμπελος, δεσμευομένη ἐγείρεται, καὶ κλαδευομένη αὐξάνει, ὕτω καὶ αὕτη, ταπεινωμένη ὑψοῦται, καὶ πάσχουσα στεφανοῦται· πολεμεῖται μὲν, ἀλλ' ὐ τροποῦται, ταράττεται, ἀλλ' ὐ καταποντίζεται, φλέγεται, ἀλλ' ὐ κατακαίεται. Καὶ ὅρα τὴν

fine comparatione orthodoxa noſtra eademque ſancta eccleſia de jucundiſſimis dulciſſimisque rivulis, id eſt de divinis prophetarum a Deo incitatorum, apoſtolorum, quos idem Spiritus illuminavit, doctorum itidem ſanctiſſimorum multorumque de ſanctis patribus, horum omnium inſtitutionibus poteſt gloriari. Quibus illa ſpiritualiter rigata floret et generat non putredini quidem obnoxios & ad tempus vigentes fructus, ſed divinos, ſed æternos. Pietatem ſcilicet adverſus Deum & ceteras, quae illi placere poſſint, virtutes, nam Chriſtum tantummodo ſponſum, caput, fundamentum habet. Igitur non regum eam minæ, non tyrannorum cruciatus, non hæreticorum fallaciæ & inſidiæ, quas Dominus inferni portas appellabat, aut olim perdomuerunt, aut ullo tempore domabunt. Namque ut vitis ligata ſurgit, amputata creſcit, ita haec etiam depreſſa ſurgit & afflicta coronatur. Bello quidem petitur, ſed non in fugam quoque vertitur, fluctuat, non mergitur, ardet,

non

θαυμασὴν αὐτῆς δύναμιν, ἥτις ὡς ἄλλος τις νοητὸς Ἡλιὸς διαυγάζουσα, ταῖς τεφωτοειδέσιν αὐτῆς ἀκτῖσι, μέχρι καὶ τῆς Γερμανίας ἐξαστράπτουσα, τὸν τὰ Λουθήρου φρονοῦντας ὡς μὴ ὀρθῶς δοξάζοντας διήλεγξεν. Ἀφ' ἧς γὰρ ἔτοι τῶν σαθρῶν τῆς δυτικῆς ὀφρύος δογμάτων, ἐκλινάντες τὴν τοῦ Λουθήρου θρησκείαν ὁλοψύχως ἐνηγκαλίσθησαν, βεβαιώσαντες τὰς τότε παραδόσεις ὡς ἀληθεῖς, καὶ τοῖς τῶν Ἀποστόλων καὶ συνόδων διατάξεσι συναδούσας, καὶ ἔκθεσιν ἀκριβῆ τούτων ποιήσαντες, (ἣν καὶ Αὐγουσταίαν Ὁμολογίαν ἐκάλεσαν, διὰ τὸ, ἐν πόλει τινὶ τῶν Βινδελικῶν αὐγούστῃ ὀνομαζομένῃ, ταύτην κυρωθῆναι.) ἀπέστειλον ταύτην τῇ ἀνατολικῇ Ἁγίᾳ Ἐκκλησίᾳ, ἰθύνοντος τότε τοὺς οἴακας τοῦ Πατριαρχικοῦ, οἰκουμενικοῦ, καὶ Ἀποστολικοῦ θρόνου Κυρίου Ἱερεμίου, ἀνδρὸς σοφίᾳ τε καὶ ἀρετῇ κεκοσμημένου, καὶ τοῖς ἔξωθεν φιλοσοφικοῖς οὐχ ἧττον, ἢ τοῖς καθ' ἡμᾶς, πράξει καὶ θεωρίᾳ, ἐξησκημένου. ὃς λαβὼν αὐτὴν, ἀνακρίνας τε ἀκριβῶς, καὶ εὑρὼν αὐτὴν τῆς ὀρθοδοξίας πολὺ διαφ-

non comburitur. Mirabilem illius poteſtatem vide. Hæc enim ut ſol aliquis ſplendet, radiisque ſuis luci ſimillimis uſque in Germaniam fulminat & Lutherum ſecutos, ut qui minus recte ſentirent, arguebat. A quo enim illi tempore putres occidentalis ſuperbiæ doctrinas & Lutheri religionem tota mente amplectebantur, hujusque traditiones, ut veras & apoſtolorum conciliorumque placitis convenientes affirmaverunt, declarationem earum rerum, quam fecerunt accuratiſſimam, (quam Auguſtanam appellaverunt confeſſionem, quod in vrbe quadam Vindelicorum, Auguſtam vocant, ſancita eſſet,) eam orientali ſanctæque eccleſiæ miſerunt, cum clavos patriarchalis œcumenici & apoſtolici throni Jeremias, vir ſanctitate & virtute ornatus, nec minus in profana philoſophia, quam in noſtris, doctrina & exercitatione verſatus gubernaret. Accepit ille, quam diximus confeſſionem, cumque accurate omnia conſideraſſet, eamque

διαφέρεσαν, τέστε τῶν θείων Ἀποστόλων καὶ Ἁγίων Πατέρων Ἱερὰς κανόνας καὶ παραδόσεις, πῆ μὲν ἀθετῆσαν, πῆ δὲ παρεξηγῆσαν, ἀντέγραψε πρὸς αὐτὰς, ἀναιρῶν αὐτὴν ταῖς τῶν θεοπνεύστων γραφῶν ἀποδείξεσι, καὶ ἀποδεικνύων πόρρω πᾶσι τῆς ὑγιεῖς διδασκαλίας ἀπέχεσαν. ἐπιστέλλων ἅμα δὲ πρὸς αὐτὰς, καὶ τὰ τῆς καθ' ἡμᾶς Ἁγίας Ἐκκλησίας δόγματα, ὡς οἷόντε ἦν ἀκριβῶς ἐκλιθέμενος, παρήνει αὐτὰς ἐπιστραφῆναι πρὸς τὴν εὐθεῖαν ὁδόν· οἱ δὲ μὴ πειθέντες ἀντέγραψαν αὖθις πρὸς τὸν Πατριάρχην διϊσχυριζόμενοι σοφιστικοῖς λογισμοῖς, ὀρθῶς πιστεύειν. τοῦτο δὲ, οὐχ ἅπαξ γέγονεν, ἀλλὰ δὶς καὶ τρὶς, τοῦ Πατριάρχου ὡσαύτως πρὸς αὐτὰς λύσιν καὶ προσαπάντησιν ποιεμένου. Ἐντυχὼν δὲ νῦν τούτοις πᾶσι τύπῳ τότε ἐκδοθεῖσιν ἠβουλήθην καὶ αὖθις εἰς φῶς ἀγαγεῖν, ἔτε κόπῳ, ἔτε δαπάνης φεισάμενος, πρὸς ὠφέλειαν πολλῶν, μάλιστα δὲ τῶν μὴ ἀκριβῶς εἰδότων τὴν τῆς ὀρθοδόξου ἡμῶν Ἁγίας Ἐκκλησίας θείαν δύναμιν, (ἤτοι δόγματα,) πάντα τὰ τῶν ἐναντίων σοφίσμα-

multum ab orthodoxia aberrare, & apostolorum divinorum patrumque sanctorum canones & traditiones sanctissimas nunc abolere, nunc contraria docendo illis adversari perspexisset, respondere instituit, confessionemque longissime a saniori doctrina secretam librorum, quos Deus scribi curavit, effatis oppugnavit. Addidit insuper ecclesiæ nostræ dogmata, quae, ut par erat, diligentissime exposuit, hortatusque est, vt ad rectam illi viam reverterentur. Qui minime persuasi iterum Patriarchæ scripserunt, sophisticisque argumentationibus recte se opinari vehementissime adseveraverunt. Neque illud semel, sed bis & ter factum est, cum Patriarcha pariter argumenta eorum solveret, eisque occurreret. Ego vero cum in isthæc tunc temporis edita incidissem, in lucem illa producturus, nec operae nec sumtuum rationem habui, ut multis utilitati essent, eis præsertim, qui sanctæ orthodoxæque nostræ ecclesiæ divinam non satis

accu-

Φίσματα, ὡς ἰσὸν ἀράχνης διαλύσαν. Χρὴ δ' ἓν τὸν ἀναγινώσκοντα οἷα τὶς σοφὴ μέλιττα, περιερχόμενον προσεκτικῶς τὴν παρῶσαν βίβλον, τὸ μὲν ἡδὺ καὶ εὐῶδες τῆς εὐσεβείας, ὡς ψυχωφελὲς συλλέγειν. τὸ δὲ πικρὸν καὶ ἀκανθῶδες τῆς αἱρέσεως ὡς ψυχοβλαβὲς ἀποκρέεσθαι. ἵνα τῶν μελλόντων κολαστηρίων δυνηθῇ, τὴν καλὰδίκην ἐκφυγεῖν, καὶ τῆς τῶν ἐρανῶν ἀξιωθῆναι βασιλείας. ἧς πάντας ἡμᾶς ἐπιτυχεῖν γένοιτο, φιλανθρωπίᾳ καὶ οἰκτιρμοῖς τῦ Κυρίᾳ ἡμῶν Ἰησῦ Χριστῦ, ᾧ πρέπει πᾶσα τιμὴ, καὶ δόξα, σὺν τῷ ἀνάρχῳ αὐτῦ Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ζωοποιῷ αὐτῦ Πνεύματι, εἰς τὺς αἰῶνας, Ἀμήν.

accurate norunt poteſtatem (ſeu dogmata), quae adverſariorum fallacias, ut araneæ telam diſſolvit. Legentem itaque inſtar ſapientis apis cum accurate hunc librum legendo cognoverit, dulcia & ſuaveolentia, utpote animis ſalutaria, decerpere, amara & ſpinoſa, ut menti nocentiſſima evitare oportet, atque adeo coeleſtia regna obtinere, id quod omnibus noſtrum ex humanitate & miſericordia Domini noſtri Jeſu Chriſti obtingat, cui omnis honor omnisque gloria cum patre principii exſorte & ſanctiſſimo ejus vitæque largitori ſpiritu ſit in ſæcula. Amen.

ΠΙΝΑΞ
ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

Ἐπιστολὴ σταλθεῖσα πρὸς τὸν Πατριάρχην τῆς Κωνσταντινουπόλεως Κύριον Ἱερεμίαν περὶ τῆς Αὐγουστάνας ὁμολογίας. Φύλλ. 1

Ἑτέρα Ἐπιστολὴ ὁμοία πρὸς αὐτόν. 3

Ἐπιστολὴ Πατριάρχου Κυρίου Ἱερεμίου σταλθεῖσα πρὸς τοὺς τῶν Λουθέρων θεολόγους. - 6

Ἀπόκρισις πρώτη Πατριάρχου περὶ τῆς Αὐγουστάνας ὁμολογίας. 8

Περὶ τοῦ ἑνὸς καὶ τρισυποστάτου Θεοῦ. 9

Περὶ τῶν τῆς Πίστεως Ἄρθρων. 11

Περὶ προπατορικῆς ἁμαρτίας. 17

Περὶ πίστεως δικαιωτικῆς. - 18

Περὶ διακονίας τοῦ ῥήματος. - 20

Περὶ ἀγαθῶν ἔργων. - 28

Περὶ Ἐκκλησίας. - 36

Πόθεν

INDEX
PRIMI TOMI.

Epistola ad Patriarcham constantinopolitanum D. Hieremiam missa de augustana confessione. - - Pag. 1

Altera Epistola similis idem. 3

Epistola Patriarchæ D. Hieremiæ missa ad Theologos Lutheranorum. - - 6

Responsum primum Patriarchæ pro Augustana Confessione. - 8

De uno & trino Deo. - - 9

De articulis fidei. - - 11

De peccato originis. - - 17

De fide justificante. - - 18

De ministerio verbi. - 20

De bonis operibus. - 28

De Ecclesia. - - 36

Origo

Πόθεν τὰ ἑπτὰ Μυστήρια.	39	Origo horum ſacramentorum	39
Ὅτι ἐν τῇ Ἐκκλησίᾳ καὶ φαῦλοι.	42	In Eccleſia bonis admixtos eſſe malos.	42
Περὶ Βαπτίσματος.	48	De Baptiſmo	48
Περὶ τῆς Κυριακῆς δείπνου.	48	De Cœna Domini.	48
Περὶ Ἐξομολογήσεως.	50	De confeſſione.	50
Περὶ Μετανοίας.	53	De pœnitentia.	53
Περὶ χρήσεως τῶν Ἁγίων Μυστηρίων.	61	De uſu Sacramentorum.	61
Περὶ τάξεως Ἐκκλησιαστικῆς.	75	De ordine Eccleſiaſtico.	75
Περὶ Θεσμῶν Ἐκκλησιαστικῶν.	80	De ritibus Eccleſiaſticis.	80
Περὶ πολιτικῶν πραγμάτων.	85	De rebus civilibus.	85
Περὶ τῆς ἐσχάτης κρίσεως.	87	De judicio extremo.	87
Περὶ τοῦ αὐτεξουσίου.	87	De libero arbitrio.	87
Περὶ αἰτίου τῆς ἁμαρτίας.	93	De cauſa peccati.	93
Περὶ ἀγαθῶν ἔργων.	96	De bonis operibus.	96
Περὶ θεραπείας τῶν ἁγίων.	106	De cultu ſanctorum.	106
Περὶ καταχρήσεων.	109	De abuſibus.	109
Περὶ μοναστικῆς πολιτείας.	116	De votis monaſticis.	116
Δευτέρα Πατριάρχου ἀπόκρισις.	129	Secundum Patriarchæ Reſponſum.	129

Περὶ τῆς ἐκπορεύσεως τῦ Ἁγίυ Πνεύματος.	103	De proceſſione Spiritus Sancti.	130
Περὶ τῦ αὐτεξυσίυ.	162	De libero arbitrio.	162
Περὶ δικαιοσύνης κ᾽ ἀγαθῶν ἔργων.	168	De juſtitia fidei et bonis operibus.	168
Περὶ τῶν Μυςηρίων.	180	De ſacramentis.	180
Περὶ τῆς ἐπικλήσεως τῶν Ἁγίων.	187	De invocatione ſanctorum.	187
Περὶ τῶν εἰκόνων.	189	De imaginibus.	189
Περὶ μοναςικῆς πολιτείας.	205	De monaſtica vita.	205
Τρίτη Πατριάρχυ ἀπόκρισις.	217	Tertium Patriarchæ reſponſum.	217
Περὶ τῆς ἐκπορεύσεως τῦ Ἁγίυ Πνεύματος.	217	De proceſſione S. Spiritus.	217
Περὶ τῦ αὐτεξυσίυ.	238	De libero arbitrio.	238
Περὶ Μυςηρίων.	242	De ſacramentis.	242
Περὶ τῆς ἐπικλήσεως τῶν ἁγίων.	242	De invocatione ſanctorum.	242

ΑΙ ΔΥΟ ΕΠΙΣΤΟΛΑΙ,

ΑΙ ΠΡΟΣ ΤΟΝ ΠΑΤΡΙΑΡΧΗΝ ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΚΥΡΙΟΝ ΙΕΡΕΜΙΑΝ, ΣΤΑΛΘΕΙΣΑΙ, ΠΕΡΙ ΤΗΣ ΑΥΓΟΥΣΤΑΙΑΣ ΟΜΟΛΟΓΙΑΣ.

EPISTOLAE DVAE,

AD PATRIARCHAM CONSTANTINOPOLITANVM, D. HIEREMIAM, MISSAE, DE AVGVSTANA CONFESSIONE.

Τῷ παναγιωτάτῳ τῆς ἐν τῇ Κωνσταντίνε πόλει, καὶ πέριξ, Χριστιανικῆς Ἐκκλησίας Πατριάρχῃ, Κυρίῳ, τιμιωτάτῳ.

Sanctissimo Constantinopoleos, & circumiacentium Ecclesiarum Christianarum, Patriarchæ, D. honoratissimo.

Ἐν τῷ Σωτῆρι ἡμῶν, χαίρειν.

Per Salvatorem nostrum S.

Ἐπειδὴ, παναγιώτατε Κύριε, ἐδηλώθη μοι, τὴν ἁγιότητά σε, ἃ πρότερον ἔγραψα, σφόδρα εὐνοϊκῇ ψυχῇ δέξασθαι, ταύτῃ ἐγὼ νῦν θαρρήσας, αὖθις τῇ ἁγιότητί σε ἐτόλμησα προσφωνεῖν, τῆς ἴσης τεύξεσθαι συγγνώμης ἐλπίζων, Πρῶτον μὲν ἓν, ὑπὲρ τῆς πατρικῆς χρηστότητός σε ταύτης, χάριν ἔχω μετ' αἰδοῦς τὴν προσήκουσαν. Εἶτα δὲ, βιβλιάριόν τι πέμπω, τὰ τῆς πίστεως ἡμῶν ὅλης κεφάλαια περιέχον, ὅπως ἂν σε ἁγιότης βλέπῃ τὴν θρησκείαν ἡμῶν, τίς ἐστι, καὶ, εἰ ἄρα τῇ παρὰ ταῖς τῆς ἁγιότητός σε Ἐκκλησίαις Διδασκαλίᾳ συμφωνοῦμεν, ἤ τι τάχα διαφωνεῖν ἐστιν, ὅπερ ἐκ ἂν θέλοιμι. Δέομαι δὲ μεγάλως

Quandoquidem, sanctissime Domine, significatum mihi est: Sanctitatem tuam meas priores literas, magna cum benevolentia accepisse: Hac ego nunc fretus, denuo Sanctitatem tuam appellare ausus sum: quod æque nunc, atque antea, veniam me consecuturum sperem. Principio igitur pro paterna ista bonitate gratiam habeo, quam debeo, reverenter. Deinde, libellum quendam mitto, fidei nostræ totius capita continentem: vt S. tua videat, quænam sit Religio nostra: &, num cum doctrina Ecclesiarum S. tuæ consentiamus, an vero aliquid fortasse dissentiat: quod sane nol-

lem.

λως τὴν ἁγιότητά σε, αὐτὸ, μετὰ τῆς αὐτῆς, ἧς τὰ πρότερα, εὐνοίας δέχεσθαι, καὶ, εἰμὴ βαρὺ, τὴν σοφωτάτην ἑαυτῆς περὶ τούτων κρίσιν εὐνοϊκῶς δηλῶν, εἰ ἄρα, τῷ Θεῷ διδόντος, τὰ αὐτὰ ἐν Χριστῷ φρονοίημεν. Ἔρρωσο, παναγιώτατε Πάτερ, σὺν τῇ παρ' ὑμῖν Ἐκκλησίᾳ πάσῃ, ἐπὶ μήκιστον, τὴν χριστοσεβῆ μου σπουδὴν μετὰ πατρικῆς διαθέσεως σκοπῶν. Ἐν Τυβίγγῃ, τῇ 15. μηνὸς μαιμακτηριῶνος, ὃν Σεπτέμβριον καλοῦμεν, ἔτει τῆς Σωτηρίας ᾠοδ.

lem. Magnopere autem S. tuam oro: vt eum pari, qua priora mea, benevolentia accipiat: ac, nisi grave sit, sapientissimum suum de his capitibus judicium benevole significet: si forte, Deo dante, idem in Christo sentiamus. Vale, sanctissime pater, vna cum tota vestra Ecclesia, quam diutissime: pium studium meum, paterna animi inclinatione spectans. Tubingæ, 15. Septembr. Anno Salutis 1574.

Ἰάκωβος ὁ Ἀνδρέου, τῆς Θεολογίας Διδάσκαλος, τῆς τε ἐν Τυβίγγῃ Ἐκκλησίας Προεστώς, καὶ τῆς ἐνταῦθα Ἀκαδημίας Καγκελλάριος.

Jacobus Andreæ, Theol. D. & Tybing. Ecclesiæ Præpositus, Academiæque Cancellarius.

Κἀγὼ Μαρτῖνος ὁ Κρούσιος, Λατινικὸς καὶ Ἑλληνικὸς ἐνταῦθα Διδάσκαλος, συνήνεσα.

Et ego Martinus Crusius, latin. & Græcæ linguæ hic Professor, consensi.

ΕΤΕΡΑ ΕΠΙΣΤΟΛΗ.

Τῷ παναγιωτάτῳ καὶ οἰκουμενικῷ Πατρίαρχῃ, Κυρίῳ Ἱερεμίᾳ, Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, νέας Ῥώμης, Κυρίῳ Θεοφιλεστάτῳ.

Χαίρειν ἐν Χριστῷ.

Ἐδεξάμεθα τὴν τιμίαν ἐπιστολὴν τῆς ἁγιότητός σου, θεοφιλέστατε Κύριε, ἐνισταμένου τοῦ νῦν ἔτους, ἣ τοσοῦτῳ μείζονα τὴν χαρὰν ἤνεγκεν ἡμῖν, ὅσῳ μετὰ διακαεστέρου τοῦ πόθου, πολὺν ἤδη χρόνον ἡμῖν προσεδεδόκητο. Εὐχαριστοῦμεν οὖν ἐκ ψυχῆς, πρῶτον μὲν, τῷ ἀληθινῷ ἡμῶν Θεῷ, καὶ Σωτῆρι Χριστῷ, εἶτα δὲ, τῇ τιμίᾳ σου ἁγιότητι, τῷ μὲν, οὕτω πατρικῶς τὸ πρᾶγμα ᾠκονομηκότι, τῇ δὲ, οὕτω φιλοφρόνως πρὸς ἡμᾶς ἐσχηκυίᾳ, καὶ ἐχούσῃ. Τῷ γὰρ ὄντι, οὐδαμῶς μικρὸν τὸ εὐεργέτημα, οὐδὲ μικρὰ ἡ τιμὴ, τὸ, ἐν οὕτως ὑψηλῷ βαθμῷ ἀξιώματος οὖσαν τὴν ἁγιότητά σου, ἡμᾶς πάμπολυ αὐτῆς ὑποβεβηκότας, ἀποκρίσεως ἀξιῶσαι. Ποίας δὲ ἀποκρίσεως; σοφῆς μὲν, καὶ εὐσεβοῦς μάλιστα, περί τε τοῦ ποιμένος τοῦ καλοῦ, καὶ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, πατρικῆς δὲ καὶ κηδεμονικῆς πάνυ, ὑπὲρ ἡμῶν τῆς σωτηρίας, ὅπως δηλαδὴ τῇ ὑγιεῖ πίστει, καὶ ταῖς σωτηρίοις ἐντολαῖς, ταῖς ὑπὸ τοῦ ἀρχιποίμενος Χριστοῦ, διὰ τῶν θεοπνεύστων ἑαυτοῦ διακόνων προστατλομέναις, ἄνευ νεωτερισμοῦ καὶ χολάνσεως ἀεὶ ἐμμένωμεν, καὶ τοὐντεῦθεν τῆς ἐν τοῖς οὐρανοῖς βασιλείας τυγχάνωμεν. Οὕτως ἄρα σοφῶς τε καὶ φιλοστόργως, ἡ ἁγιότης ἡ σὴ. Ἴστω τοίνυν αὐτὴ, ἡμῖν οὐδὲν μᾶλλον σπουδάζεσθαι τοῦτων.

ALTERA EPISTOLA.

Sanctissimo & œcumenico Patriarchæ, D. Hieremiæ, Archiepiscopo Constantinopoleos, novæ Romæ, Domino pio.

S. Per Christum.

Accepimus Honorabilem Epistolam sanctitatis tuæ, pie Domine, initio nunc currentis anni: quæ tanto majus attulit nobis gaudium: quanto ardentius fuerat desiderium nostrum, quo ipsam longo jam tempore expectaveramus. Gratias itaque ex animo agimus: primum quidem, vero nostro Deo, & conservatori Christo: deinde etiam honorandæ tuæ sanctitati: illi quidem vt paterne res disponenti: huic vero, vt bene erga nos affectæ. Re enim vera, nequaquam parvum beneficium est, nec parvus honor: S. tuam, in tam alto dignitatis gradu constitutam, nos longe inferiores responso dignatam esse. At quali responso? Maxime, sapienti & pio, de pastore bono, & Regno cœlorum: paterno item, & curæ de salute nostra pleno: vt nempe in fide sana, & salutaribus primarii pastoris Christi præceptis, per Ministros S. spiritu afflatos datis, sine innovatione & claudicatione perseveremus: & proinde ad cœleste Regnum perveniamus. Adeo sapienter & amanter, sanctitas tua. Scito igitur ea, nobis nihil magis in studio esse his. Pontifex qui-

τῶν. Ὁ μὲν γὰρ ἀρχιερεὺς τῆς Ῥώμης νεωτερισμὸν ἡμῖν ἐγκαλεῖ, διότι πρὸ πεν ἡκοντα ἐτῶν, διὰ ἀνδρὸς, θείᾳ ἐλλάμψει, καὶ ζήλῳ τῆς ἀληθείας, διαφέροντος, Μαρτίνῳ τῷ Λυτέρῳ, τὰ βελτίω διδαχθέντες, οἱ περὶ τὸς ἐνταῦθα τόπους, καὶ ἀλλαχῆ τῆς Γερμανίας πολλοὶ, τῶν ταῖς Θείαις γραφαῖς λίαν μαχομένων ἐκείνῳ δογμάτων καὶ παραδόσεων, ἀπεχώρησαν. Οἱ δὲ θεοσεβέστατοι Ἄρχοντες καὶ Θεολόγοι ἡμῶν, ἐπιτομὴν τῆς ἀρχαίας, καὶ ἐκ τῷ παραδείσῳ ἐφ' ἡμᾶς περιελθούσης, πίστεως, συγγραψάμενοι, πρὸ τεσσαρακονταετεσσάρων ἐτῶν, τῷ ἀοιδίμῳ ἐν Αὐτοκράτορσι, Καρόλῳ τῷ πέμπτῳ, τότε ἐν Αὐγούστῃ, τῶν Οὐινδελικῶν πόλει, σύναξιν ἄγοντι, ἐπιδιδόντες, τῆς ἑαυτῶν Ὀρθοδοξίας λόγον ὑπέχον, ἥτις ἐπιτομὴ καὶ Αὐγουστάνα ὁμολογία διὰ τοῦτο ἐπεκλήθη, ἧς ἔτι καὶ νῦν ἡμεῖς ἐχόμεθα. Ταύτην ἓν τὴν τῶν μακαριτῶν πατέρων ἡμῶν περιβόητον ἐξομολόγησιν (δι' ἣν, ἀπὸ πολλῶν μέχρι δεῦρο ἐτῶν, μυριάδες μαρτύρων ἐγένοντο) τῇ σῇ ἁγιότητι, πρὸ πέντε πε μηνῶν, πρὶν τὰ αὐτῆς περιπόθητα γράμματα ἐλθεῖν, ἐπέμψαμεν, ἐλπίζοντες, ἡμᾶς, εἰ τάχα καὶ περί τινα διαλλάτ|τομεν ἔθιμα, διὰ τὸ πάμπολυ ἐκτετοπισμένον ἡμῶν, πάντως γ' ἓν εἰ τοῖς Κυρίοις τῆς Σωτηρίας κεφαλαίοις, μὴ νεωτερίζειν, ἀλλὰ τὴν ὑπὸ τῶν ἁγίων Ἀποστόλων τε καὶ Προφητῶν, καὶ τῶν θεοφόρων Πατέρων καὶ Πατριαρχῶν, καὶ τῶν ταῖς θεοσδότοις γραφαῖς ἐπωκοδομημένων ζ'. Συνόδων, παραδοθεῖσαν πίστιν (ὅσον ἡμᾶς γε συνιέναι) περιπτύσσεσθαί τε, καὶ

dem Romanus, novitatis ſtudium nobis objicit: propterea, quod ante quinquaginta annos, a viro quodam, divinitus egregie illuminato, & æmulatione veritatis incenſo, Martino Luthero, meliora edocti noſtrates homines, & aliorum Germaniæ locorum multi, a dogmatibus & traditionibus ejus, quæ nimium S. literis repugnabant, receſſerunt. Pietatis vero ſtudioſiſſimi Principes, Theologique, noſtri, compendium quoddam antiquæ, atque ex ipſo paradiſo ad nos derivatæ, fidei, conſcripſerunt: idque quadrageſimo quarto ab hinc anno, celeberrimæ inter Imperatores memoriæ, Carolo ejus nominis quinto, qui tunc Auguſtæ Vindelicorum, comitia agebat, exhibentes, ſuæ rectæ de Religione ſententiæ rationem reddiderunt: qui libellus, eam ob cauſam Auguſtana confeſſio appellata fuit: ex cujus ſententia nos etiam nunc pendemus. Hanc itaque notiſſimam beatorum patrum noſtrorum confeſſionem (quam a multis jam hacteaus annis, non pauca Martyrum millia ſuo ſanguine comprobarunt) tuæ ſanctitati, ante menſes circiter quinque, antequam optatas ipſius literas accepiſſemus, miſimus: ſperantes, etiamſi forte propter tantum locorum intervallum, differentia inter nos aliquorum rituum ſit: omnino in præcipuis ſaltem ſalutis conſequendæ capitibus, nos nihil novare ſed illam, quæ a ſanctis Apoſtolis & Prophetis, & Spiritum ſanctum habentibus patribus ac Patriarchis, & ſuper divinas literas ædificatis VII. Synodis, tradita eſt, fidem (quantum quidem nos intelligimus) amplecti & con-

διαφυλάττειν. Τοιγαρῦν, ἐν τῷ παρόντι ἐκ ἐπείναμεν δεῖν, διὰ πλειόνων τῇ ἁγιότητί σε ἐνοχλεῖν, ὡς ἄλλως περὶ τὸ τὰς ἑαυτῆ ἐκκλησίας πιστότατα ποιμαίνειν, ἢ τὰ πρὸς τὴν σωτηρίαν αὐτῶν φέροντα φιλαγρύπνως σπεδάζειν, ἀσχολωτάτη ἔσῃ, ἀλλὰ τὴν σοφωτάτην αὐτῆς, ἢ θεοσεβεστάτην, περὶ ἧς ἐπέμψαμεν ὁμολογίας, κρίσιν, ἢ ἀπόκρισιν περιμένειν, ἣν ἢ ἐν τῷ ἱκνουμένῳ καιρῷ (μόνον μὴ ἐπαχθεῖς τῇ ἁγιότητί σε ὦμεν) ἡμῖν πατρικῇ ψυχῆς διαθέσει γίνεσθαι, μετὰ πάσης εὐλαβείας ἢ ταπεινώσεως δεόμεθα, εἰ ἄρα ὁ Οἰκτίρμων ἀράνιος Πατὴρ, διὰ τὸ ἀγαπητὸν ἑαυτοῦ Υἱὸν, τὸ μόνο κοινὸν σωτῆρος ἡμῶν, ἡμᾶς ἑκατέρωθεν ποίησαιεν, εἰ ἢ πλεῖσον ἀλλήλων ταῖς οἰκήσεσι διωρίσμεθα, ἀλλὰ τῇ περὶ τὴν Ὀρθοδοξίαν γε συναφείᾳ ἐγγὺς ἀλλήλων εἶναι, ἢ τὴν Κωνσταντίνε τε, ἢ τὴν Τύβιγγαν, Χριστιανικῆς ὁμοδοξίας ἢ ἀγάπης δεσμῷ ἀλλήλαις συνδεῖσθαι, ἔτινος ἁδὲν ἂν ἡμῖν εὐκλότερον γένοιτο. Πάντως γὰρ, ἁδένα θεμέλιον ἄλλον τῆς πίστεως (κατὰ τὴν φιλοφρονεστάτην τῆς ἁγιότητός σε εὐχὴν) παρὰ τὸν κείμενον (ὅς ἐστιν ὁ ἀκίνητος ἀκρογωνιαῖος λίθος, Χριστὸς, ἡ αὐτοαλήθεια) τηρεῖν σὺν Θεῷ ἐνθυμέμεθα, ἀνεωτερίστως τε ἢ ἀσχολάντως. Ἐρῤῥωσο, παναγιώτατε Κύριε, μετὰ τῆς σεμνοτάτης σε Πρεσβυτερίε, ἐπιπολὺ τῆς Χριστονύμε ποίμνης εὐτυχῶς προνοῶν, ἢ ἡμᾶς συγγνώμης τε ἀξιῶν, ἢ εἰς τὴν παιρικήν σε κηδεμονίαν εὐνοϊκῶς ἀναλάμβανων. Ἀπὸ Τυβίγγης, τῇ κ'. Μηνὸς Μαρτίε, ἔτει τῆς Σωτηρίας ᾳ φ ο ε.

Ἰάκωβος ὁ Ἀνδρέε, τῆς Θολογίας Διδάσκαλος, τῆς τε ἐν Τυβίγγῃ Ἐκκλησίας Προκπόσιτος, ἢ τῆς ἐνταῦθα Ἀκαδημίας Καγκελλάριος.

Μαρτῖνος ὁ Κρύσιος, ἐν Τυβίγγῃ τῆς Λατινίδος τε ἢ Ἑλλάδος παιδείας Διδάσκαλος.

conſervare. Ideo, inpræſentia non judicavimus, plus moleſtiæ exhibendum S. tuæ: vt quæ alias circa ſuas Eccleſias fideliſſime paſcendas, & ſalutis viam vigilanter tradendam, occupatiſſima ſit: ſed eius ſapiens, & pium maxime, de confeſſione a nobis miſſa, judicium & reſponſum expectandum: quod etiam ſuo tempore (modo ne S. tuæ moleſti ſimus) nobis paterno animo mitti, reverenter & humiliter oramus: ſi forte miſericors pater cœleſtis, per dilectum ſuum filium, vnicum conſervatorem noſtrum vtrobique faciat: vt nos etiamſi longiſſima locorum intercapedine diſiuncti ſimus: attamen recto de Religione ſenſu, propinqui invicem ſiamus: & Conſtantini vrbs Tybingaque, Chriſtianæ concordiæ & charitatis vinculo mutuo copulentur: quo nihil optatius contingere nobis poſſet. Prorſus enim nullum aliud fundamentum fidei (ſicut amantiſſime ſanctitas tua precatur) præter id, quod poſitum eſt (qui eſt immotus ille angularis lapis, Chriſtus, ipſa veritas) retinere, Deo juvante, cogitamus: excluſa omni innovatione & claudicatione. Vale, ſanctiſſime Domine, cum venerabilibus Presbyteris tuis: Chriſtiano gregi diu feliciter providens: nosque venia dignans, & in paternam tuam curam benevole recipiens. Tybinga 20. Martii, anno CIↃ IↃ LXXV.

Jacobus Andreæ, Theol. D. Eccleſiæ Tybing. Præpoſitus, & Academiæ hujus Cancellarius.

Martinus Cruſius, Tybingæ latinus & Græcus Præceptor.

ΙΕΡΕΜΙΑΣ ΕΛΕΩ ΘΕΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΟΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ,
ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

HIEREMIAS MISERICORDIA DEI
ARCHIEPISCOPVS CONSTANTINOPOLEOS,
NOVAE ROMAE, ET OECVMENICVS PATRIARCHA.

Τοῖν σοφωτάτοιν καὶ λογιωτάτοιν ἀνδροῖν, τῶτε τῆς Θεολογίας Διδασκάλῳ, Κυρίῳ Ἰακώβῳ τῷ Καγκελαρίῳ, καὶ Κυρίῳ Μαρτίνῳ τῷ Κρουσίῳ, εὖ πράττειν.

Sapientibus & doctissimis Viris: Theologiæ Doctori, D. Jacobo Cancellario, & Martino Crusio, S.

ΙΔὲ σὺν Θεῷ, Ἄνδρες Σοφώτατοι Γερμανοὶ, κατὰ Πνεῦμα Υἱοὶ τῆς ἡμῶν Μετριότητος ἀγαπητοὶ, τὰ ὑμῖν πρὸ πολλοῦ ποθούμενα, καὶ ἐκ μέσης πρὸς ὑμῶν ζητηθέντα τῆς ψυχῆς, γράμματα, τελειωθέντα, τῇ ὑμῶν πέμπομεν ἀγάπῃ, μεθ' ἧς προσήκει πνευματικῆς εὐφροσύνης, καὶ τῆς τοῦ προσώπου πατρικῆς πρὸς τὰ τέκνα ἱλαρότητος. Εὐχόμεθα δὲ Θεῷ, καὶ τῇ παμμακαρίστῳ αὐτοῦ Μητρὶ, εὐφρανεῖν ὑμᾶς κατὰ τὸν διπλοῦν ἄνθρωπον. Ἂν δέ γε τυχὸν ἔν τισι τῶν δογμάτων τῆς ἡμετέρας εὐσεβείας, κατὰ πρώτην ὄψιν ἐκ εὐφρανεῖ, ὅμως πεπείσμεθα, Σοφοὺς ὄντας, πλήρεις τε παιδεύσεως καὶ φρονήσεως, μηδὲν ἄλλο προτιμήσειν ὑμᾶς, ἤτε δηλονότι νομοθεσίαν καινοτόμον, ἀντικρυς ἀντιφερομένην τῇ τοῦ Κυρίου ἡμῶν Εὐαγγελικῇ φιλοσοφίᾳ, ἤτε χρόνου, ᾧ ἄλλως ἐν ἄλλοις κατεχρήσασθε δόγμασιν, ἤτε συνηθείᾳ παραλόγῳ (ἀν-

ECce, Dei beneficio, ſapientes Germani, filii Spirituales mediocritatis noſtræ dilecti, id ſcriptum, quod jampridem optaviſtis, & ſumma animi affectione requiſiviſtis, ad finem perductum, veſtræ mittimus Charitati, quo decet Spirituali gaudio, & paterna vultus erga filios hilaritate. Precamur autem Deum, & beatiſſimam matrem ejus: vt illud vos exhilaret, quantum ad vtrumque hominem, externum & internum. Quod ſi forte in nonnullis Dogmatibus noſtræ pietatis, primo aſpectu exhilaraturum non ſit: tamen perſuaſum habemus, vos, qua ſapientia, eruditione, & prudentia eſtis, aliud nihil prælaturos: ſcilicet nec ſanctionem vllam novam & aperte Evangelicæ Domini noſtri Philoſophiæ repugnantem: nec tempus, quo aliter in aliis abuſi eſtis Dogmatibus: nec conſuetudinem

(ἄνθρωποι καὶ γὰρ ὄντες ἅπαντες, ἐπισφαλεῖς ἔχομεν καὶ τὰς ἐπινοίας ἡμῶν, κατὰ τὸν Σοφὸν Σολομῶντα) τῆς ἀληθείας αὐτῆς, μᾶλλον δὲ εἰπεῖν τῆς αὐτοαληθείας, καὶ αὐτοσοφίας, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ᾧ οἵτε θεῖοι μαθηταὶ αὐτοῦ καὶ Ἀπόστολοι, καὶ οἱ Κανονικοὶ αὐτῶν καὶ σωτηριώδεις λόγοι, οἵ τε Οἰκουμενικαὶ καὶ μερικαὶ τῶν Ἁγίων Πατέρων Σύνοδοι, καὶ οἱ τῆς Ἐκκλησίας Θεολογικώτατοι Κήρυκες, ἀριδήλως συμφωνοῦσι, καὶ τοῖς τὰ ἐκείνων ἔργῳ φυλάττουσιν ἐντάλματα, σωτηρίαν πάντως, καὶ βασιλείαν οὐρανῶν, προξενοῦσιν, ὥσπερ αὖ τοῖς ἀπειθοῦσι καὶ παραβαίνουσι, τὴν αἰώνιον κόλασιν καὶ κατάκρισιν. Ἐὰν οὖν θέλητε, καὶ εἰσακούσητέ μου (φησὶν ὁ Κύριος) τὰ ἀγαθὰ τῆς γῆς φάγεσθαι. Οὕτω δὴ καὶ ἡ Μετριότης ἡμῶν ὡς Χριστοῦ Διάδοχος τῷ ἐκείνου ἐλέει, τῇ ὑμῶν παραινεῖ ἀγάπῃ. Εἴθε συμφρονήσοιτε τῇ ἡμετέρᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ. Ὅπερ εἰ ἀληθῶς καὶ ὁλοψύχως ἔργοις ποιήσετε, χαρὰ πάντως ἐν οὐρανῷ, καὶ ἐπὶ γῆς ἔσται, ἐπὶ τῇ ἑνώσει τῆς ἑκατέρων ἐκκλησίας, τῇ εἰς δόξαν Χριστοῦ γενήσεσθαι ἐλπιζομένῃ.

dinem absurdam. (Nam cum homines simus omnes: lubricas etiam cogitandi rationes habemus: vt apud sapientem Solomonem est) antelaturos veritati, vel (vt rectius dicam) ipsi veritati, & ipsi sapientiæ, Domino nostro Jesu Christo, cum quo & divini ipsius Discipuli Apostolique, & Canonica ipsorum salutariaque Scripta, & universales atque particulares sanctorum Patrum Synodi, & summi Ecclesiæ Theologi ac præcones, manifeste consentiunt: & iis, qui illorum mandata factis servant, omnino salutem & cœleste Regnum conciliant: sicut e contrario, resistentibus & transgredientibus, æternas pœnas & condemnationem. Si igitur volueritis, meque audiveritis (inquit Dominus) bona terræ comedetis. Eodem sane modo etiam nostra mediocritas, vr Christo pro misericordia ejus vicaria succedens, vestram adhortatur charitatem. Vtinam consentiatis cum nostra, quæ Christi est, Ecclesia. Quod si vere, & ex animo toto, reipsa feceritis: gaudium absque dubio in cœlo & in terra erit, ob vtriusque Ecclesiæ conjunctionem: quæ ad gloriam Christi futura speratur.

Μηνὶ Μαΐῳ, ἰνδικτιῶνος τετάρτη.

MENSE MAIO,

INDICTIONE IIII.

ΠΡΩΤΗ

Ἀπόκρισις πρώτη Πατριάρχε Κωνσταντινουπόλεως, Κυρίε Ἱερεμίε, πρὸς τὴν Αὐγουσταίαν ὁμολογίαν, πεμφθεῖσα εἰς Τύβιγγαν: ᾳφος.

Δεξάμενοι τὰ παρὰ τῆς ὑμετέρας ἀγάπης πεμφθέντα ἡμῖν γράμματα, τό, τε βιβλιάριον τὸ τὰ κεφάλαια τῆς ὑμῶν πίστεως περιέχον, καὶ τὴν ἀγάπην ἀποδεχόμενοι, τὸ συμφωνεῖν ἡμῖν καὶ διαφωνεῖν σαφηνίσομεν, κατὰ τὴν ἀξίωσιν ὑμῶν. Τὸ γὰρ τῆς ἀγάπης χρῆμα, πλήρωσιν ἔχει Νόμε, καὶ Προφητῶν. Πληροῦσθαί γε μὴν αὐτὴν φαμὲν, οὐ ψιλαῖς μόνον ῥημάτων προφοραῖς, ἀλλ' αὐτοῖς τοῖς πράγμασι, καὶ τοῖς ἔργοις, μαρτυρουμένην καλῶς. Ὥσπερ δὴ καὶ οἱ πολυτελέστατοι τῶν λίθων, οὐ λόγοις τὸν ἔπαινον δέχονται, ἀλλ' ἐκ τῆς οἰκείας ἐνεργείας παρὰ τοῖς γινώσκουσι τῶν ἀνθρώπων θαυμάζονται. Ταύτην καὶ ὑμεῖς ἐμφανίσαντες πρὸς ἡμᾶς τὴν ἀγάπην, ἄνδρες σοφώτατοι Γερμανοὶ, καὶ τὸ ἐκ ταύτης ἀναματτόμενοι καύχημα, ἡμῖν ταῦτα κοινωνήσαντες, ἐγνωρίσατε.

Ἀποκρινόμενοι οὖν, οὐδὲν οἰκοθεν λέξομεν, ἀλλ' ἀπὸ τῶν Ἁγίων καὶ Οἰκουμενικῶν ἑπτὰ Συνόδων, ἃς καὶ ὑμεῖς καλῶς ποιοῦντες, ὡς γράφετε, σέβεσθε καὶ ἀποδέχεσθε, καὶ κατὰ τὴν γνώμην τῶν θείων Διδασκάλων καὶ ἐξηγητῶν τῆς Θεοπνεύστου Γραφῆς, ἃς ἡ τοῦ Χριστοῦ καθολικὴ ἐκκλησία, γνώμῃ κοινῇ ἀπεδέξατο, ὡς λόγοις καὶ θαύμασιν, οἷάπερ ἕτερος Ἥλιος, τὴν οἰκουμένην ἐφώτισαν. Ἅτε τοῦ Ἁγίου Πνεύματος ἐν αὐτοῖς πνεύσαντος, καὶ δι' αὐτῶν λαλήσαντος· ἃ δὴ ἀπαρεγ-

Responsum primum Patriarchæ Constantinopolitani, D. Hieremiæ, ad Augustanam Confessionem, missam in Tybingam: 1756.

Cum literas dilectionis vestræ, & libellum, qui capita Religionis vestræ continet, acceperimus, probata charitate vestra, declarabimus, in quo nobis vobiscum conveniat, & in quo non conveniat, sicut petitis. Charitate enim impletur Lex & Prophetæ. Impleri tamen eam dicimus non nudis tantum verbis, sed re ipsa & factis: sicut nec nobilissimis gemmis sufficit orationis laus, sed sua propria vi & virtute comprobationem apud intelligentes inveniunt. Talem charitatem cum vos declaraveritis erga nos, sapientissimi Germani: & hujus gloriationem susceperitis: nobiscum de his rebus communicavistis.

Respondebimus ergo, nihil nostrum adferentes, sed ex sanctis septem Oecumenicis Synodis (quas & vobis probari, recte scribitis) & ex sententia Sanctorum Doctorum, Interpretumque divinitus inspiratæ Scripturæ: quos Catholica Christi Ecclesia vnanimi consensu recepit: quando oratione & miraculis, tanquam alter Sol, orbem terrarum illustrarunt: cum Spiritus S. in eis spiraverit, per eosque locutus fuerit, quæ in æternum immo-

ἀπαρασάλευτα εἰς αἰῶνας ἔσαι, ὡς τῷ τῦ Κυρίε λόγῳ τεθεμελιωμένα.

Ἡ γὰρ τῦ Χριςῦ ἐκκλησία, κατὰ τὸν θεῖον Παῦλον εἰπεῖν, ςῦλος ἐςὶ καὶ ἑδραίωμα τῆς ἀληθείας. Ἧς πύλαι ᾅδε, κατὰ τὴν θεσπεσίαν τῦ Κυρίε ἐπαγγελίαν, ἐ κατισχύσσι· κἂν τινές τι παρασύρωσιν ἀλλόκοτα φανταζόμενοι, αὕτη μένει ἐδὲν ἧττον ἀσφαλὴς καὶ ἀκραάδαντος, ἐςηριγμένη παγίως ἐπὶ τὴν πέτραν, καθ' ἣν ἐπεςήρικται ἡ ἀλήθεια. καὶ γὰρ οἱ τῆς τῦ Χριςῦ ἐκκλησίας, ὅλοι τῆς ἀληθείας εἰσὶ, καὶ οἱ μὴ τῆς ἀληθείας ὄντες καθάπαξ, ἐδὲ τῆς Χριςῦ ἐκκλησίας εἰσὶν. Ὅθεν ἡμεῖς ἀληθείας ςοιχοῦντες, τὸν ὑγιῆ λόγον, εἰς οἰκοδομὴν τῆς ἀληθοῦς πίςεως συνεισφέρομεν. Κἂν τάτῳ εὐχῆς δεόμενοι τῆς παρὰ τῶν ἀγαπώντων τὸν Κύριον, ἵνα τῇ Θείᾳ χάριτι αὐτῦ, ὁ ἡμέτερος νῦς, εἰς ὁδὸν εἰρήνης κατευθυνθείη.

immota manebunt, vtpote in verbo Domini fundata.

„Eccleſia enim Chriſti, (vt cum „Paulo loquamur) columna eſt, & fun„damentum, veritatis: cui ne portæ quidem inferorum, (vt divina Domini promiſſio habet,) prævalebunt. Etiamſi enim aliqui monſtroſa imaginatione alipuid pervertant: nihilominus tamen ea manet ſtabilis & inconcuſſa: fundata firmiter in petra, & iis, quibus innititur veritas. Etenim qui in Chriſti Eccleſia ſunt, totos ſe veritati dediderunt: & qui ſe non totos dediderunt veritati, ne in Chriſti quidem Eccleſia ſunt. Vnde nos in veritatis via incedentes, ſanum ſermonem conferimus ad veræ fidei ædificationem: qua in re precibus indigemus eorum, qui Dominum diligunt: vt divina ejus gratia mens noſtra in viam pacis dirigatur.

ΚΕΦΑΛ. ά.

Περὶ τῦ ἑνὸς καὶ τρισυποςάτε Θεῦ.

Τοίνυν τὸ πρῶτον ὑμῶν Κεφάλαιον, τὸ διαλαμβάνον τὸ δόγμα, εἴτε ἅγιον Σύμβολον τῆς ἐν Νικαίᾳ Ἁγίας Συνόδε, περὶ τῆς μιᾶς τρισυποςάτε καὶ ὑπερουσίε ἐσίας τῦ Θεῦ, καλῶς ἔχειν, καὶ ἐυσεβῶς ὑμῖν διακηρύτλεθαι, βεβαιέμεθα.

Πλὴν, ὅτι ἡ κατὰ Νίκαιαν αὕτη σύνοδος καὶ αἱ λοιπαὶ συνάδσαι αὐτῇ ἐθέσπισαν, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τῦ Πατρὸς ἐκπορεύεθαι. Ἡ γὰρ ὁμολογία τῆς ὑγιαινέσης πίςεως τῶν Χριςιανῶν, τὸ ἱερώτατον Σύμβολον (ὅπερ ὑπὸ τῶν (τιὴ) Θεοφόρων Ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ

CAPVT I.

De vno et trino Deo.

Primum igitur caput veſtrum, quo Decretum, ſeu ſanctum Symbolum S. Nicænæ Synodi allegatur, videlicet de vnitate Eſſentiæ divinæ, omnem eſſentiam excedentis, in tribus perſonis conſiſtente, recte ſe habere, & pie a vobis aſſeri affirmamus.

Interim hoc excipimus: quod Nicæna hæc Synodus, & cæteræ, quæ huic conſonant, ſtatuunt: Spiritum S. e patre procedere. Confeſſio enim ſanæ Chriſtianorum Fidei, ſanctiſſimum ſcilicet illud ſymbolum (quod a CCCXVIII. divinis ſanctis Spiritu præditis, Patribus,

Νικαίᾳ ἐξετέθη τὸ πρότερον, τετελείωται δὲ ὑπὸ τῶν (ρ'ν,) ἐν Κωνσταντινουπόλει, ὅπερ καὶ αἱ λοιπαὶ Οἰκουμενικαὶ πέντε σύνοδοι ἐπεσφράγισαν, μηδὲν προσθεῖσαι μηδ' ἀφελόμεναι, ὡς τὸ αὐτὸ συνάδουσαι, ὡς καὶ οἱ μέσον τῶν Ἱερῶν τούτων Συνόδων ἀναλάμψαντες Θειότατοι Ἄνδρες, τρανώτατα ὡμολόγησαν, καὶ ἡμεῖς ἕτω καθομολογοῦμεν χάριτι Θεοῦ σὺν αὐτοῖς) ἕτω τρανώτατα φανεροῖ, τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Ὡς ἡ καλὴ ὁμολογία ἕτω πῶς ἔχει, ὡς ἐκτίθεται αὐταῖς λέξεσι.

Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντά τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Εἰς μίαν Ἁγίαν

qui Nicææ fuerunt, initio editum est: postea vero a CL. Constantinopoli Patribus perfectum: atque a cæteris V. Oecumenicis Synodis obsignatum est: quæ nihil nec addiderunt nec dempserunt, tanquam idem sentientes: quemadmodum &, qui inter has sanctas Synodos claruerunt, diuinissimi viri apertissime confessi sunt, nosque iisdem gratia Dei assentimur) sic apertissime statuit: Spiritum S. e Patre procedere Nam hæc est illa pulchra confessio ad verbum.

Credo in vnum Deum patrem omnipotentem, factorem cœli & terræ: visibilium omnium & invisibi„lium. Et in vnum Dominum Iesum „Christum, filium Dei vnigenitum, ex „Patre genitum ante omnia secula: lu„men e lumine, Deum verum e Deo „vero: genitum, non factum: eiusdem cum Patre substantiæ: per quem omnia facta sunt. Qui propter nos homines, & propter nostram salutem, „e cœlis descendit: atque incarnatus est „ex Spiritu S. & Maria virgine, homo„que factus est. Crucifixus etiam pro „nobis sub Pontio Pilato, passus & se„pultus, tertia die resurrexit secundum „scripturas. Idem ascendit ad cœlos: „sedet ad dextram Patris: rediturus est „cum gloria, vt judicet vivos & mor„tuos: cuius Regni non erit finis. Et „in Spiritum S. dominum & vivificum: „qui e patre procedit, qui cum Patre & „Filio simul adoratur et simul glorificatur: „qui per Prophetas locutus est. In vnam „sanctam Catholicam & Apostolicam Ecclesiam.

Ἁγίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Οὗτος ὁ τῆς ἀληθοῦς πίστεως θησαυρὸς, ὃς Πνεύματι θείῳ ἐσφράγισθαι, ἵνα μήτις τι ἐκ τούτου ἀφέληται, ἢ νόθον ἐπεισαγάγῃ. Αὐτὸ τὸ Θεῖον καὶ Ἱερώτατον καὶ τέλειον πάντοθεν τῆς Εὐσεβείας ἡμῶν σημεῖον, ἡ ὁμολογία τῶν Ἁγίων Πατέρων πάντων, ὁ ὅρος τοῦ χριστιανισμοῦ. Ὃν ἐνστερνιζόμενοι καὶ ἀσπαζόμενοι, καὶ μετὰ παῤῥησίας ὁμολογοῦντες, ἀσινῆ καὶ ἀκίβδηλον, ὡς Θεοφορήτων Ἱερῶν Πατέρων, θείαν παρακαταθήκην, μέχρι τέλους φυλάττομεν. Ἵνα ταῖς πρεσβείαις τῶν ἐκθεμένων αὐτὸ, καὶ φυλαξάντων, ὡς δῶρον καθαρὸν τὴν καλὴν ὁμολογίαν καὶ ἡμεῖς προσενεγκόντες τῇ Ἁγίᾳ Τριάδι, τῆς τε αἰωνίου ἐλευθερωθῶμεν κολάσεως, καὶ τῆς διαιωνιζούσης ἐν Χριστῷ ἀπολαύσωμεν θείας βασιλείας, ἧς καὶ τύχοιμεν χάριτι τοῦ Χριστοῦ, ἀμήν.

„cleſiam. Confiteor vnum Baptiſma in „remiſſionem peccatorum, expecto re„ſurrectionem mortuorum, & vitam fu„turi ſeculi, Amen.

Hic eſt veræ fidei theſaurus: qui divino Spiritu obſignatus eſt, vt ne quis inde aliquid auferat, neve adulterinum quid introducat. Hoc ipſum pietatis noſtræ divinum, & ſanctiſſimum & vndique perfectum ſignum: hic Chriſtianiſmi limes: ſcilicet hæc cunctorum ſanctorum Patrum confeſſio. Hunc limitem complexu pectoris noſtri tenentes, ac cum fiducia confitentes, indelibatum & incorruptum, tanquam divinum, divino ſpiritu plenorum Patrum depoſitum, ad extremum vsque cuſtodimus, vt interceſſionibus eorum, qui illud in medium attulerunt & cuſtodiuerunt, etiam nos, pulchra hac confeſſione tanquam dono mundo, S. Trinitati oblata, tum æterna liberemur pœna: tum divino ſempiternoque regno in Chriſto fruamur, quod vtinam munere eius conſequamur, Amen.

ΚΕΦΑΛ. γ'.

Περὶ τῶν τῆς πίστεως ἄρθρων.

Ἤδη δὲ καὶ ἐπὶ τὸ τρίτον τῶν κεφαλαίων ὑμῶν ἐρχόμενοι, τὸ διεξερχόμενον περὶ τῶν τῆς πίστεως ἄρθρων (ὡς ἀκόλουθον) φαμέν. Ὅτι ἡ ἀληθὴς καὶ μόνη τῶν χριστιανῶν θεία πίστις, ὑπὲρ νοῦν ὅσα καὶ λόγον, ὡς ὄντως ὑπάρχουσα ὁμολογία ἀληθεστάτη τοῦ ἐν τριάδι Θεοῦ, ἐν τούτοις ἐν συνόψει τοῖς κεφαλαίοις, περιέχεται. Ἃ πιστεύων πᾶς ὀρθῶς, καὶ σωθῆναι θέλων, ὀφείλει ὁμολογεῖν.

CAPVT III.

De Articulis Fidei.

Accedimus jam ordine ſic jubente, ad tertium caput veſtrum: in quo Articuli Fidei recenſentur, vbi ſic dicimus. Veram & ſolam Chriſtianorum divinam Fidem, quæ rationem & mentem ſuperat (quippe quæ vere eſt veriſſima trini Dei confeſſio) his, ſub compendio, capitibus contineri: quæ omnis, qui recte credit, & ſalvari vult, confiteri debet.

Ταῦτα

Ταῦτα δὲ τὰ κεφάλαια, τὰ καὶ ἄρθρα τῆς Πίστεως λεγόμενα, ὡς ἀρχαὶ καὶ θεμέλιοι, εἰς δυωκαίδεκα ἀριθμῆνται, τὸν τύπον σώζοντα τῶν θείων Ἀποστόλων Χριστοῦ. Καὶ τρία μέν εἰσι περὶ τῆς Μακαρίας Τριάδος, ἓξ δὲ, περὶ τῆς τοῦ Υἱοῦ καὶ Λόγου σαρκώσεως, καὶ τρία ἔτι περὶ τῆς Συντελείας.

Horum capitum, (quæ & Articuli Fidei dicuntur: & ſunt principia quædam ac fundamenta) duodecim numerantur, pro duodenario divinorum Apoſtolorum Chriſti numero. Tria de beata Trinitate loquuntur, ſex de Filii & Verbi incarnatione: rurſus tria de conſummatione ſeculi.

Καὶ πρῶτον μὲν τῶν κεφαλαίων, ὅτι ἓν τὸ Θεῖον τῇ φύσει, καὶ οὐ πολλὰ, καὶ ἓν τῇ δυνάμει, καὶ ἀρχῇ, καὶ παντοκρατορίᾳ, καὶ κυριότητι.

Δεύτερον δὲ, ὅτι τρία τοῦτο τὸ Θεῖον, καὶ οὐχ ἓν πρόσωπον, εἰ καὶ ἓν καὶ ἀδιαίρετον τῇ Θεότητι. Τὸ μὲν, ἀγέννητον· τὸ δὲ γεννητόν. Τὸ δὲ, ἐκπορευτόν. Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα, καλούμενα παρὰ τοῖς θεολόγοις καὶ λεγόμενα.

Τρίτον δὲ, ὅτι αὕτη ἡ Τριὰς, τῶν ὅλων ἐστὶ δημιουργὸς, ἐκ μὴ ὄντων ταῦτα παραγαγοῦσα, καὶ ὑπὸ χρόνον, νοητάτε καὶ αἰσθητὰ, ὁρατὰ καὶ ἀόρατα.

Primum caput affirmat, Divinitatem eſſe natura vnum, non multa: & vnum poteſtate, Imperio, omnipotentia, & dominatione.

Secundum, tres eſſe hujus vnius perſonas, non vnam, quamvis vnum ſit divinitate, diviſionis expers. Vnam, ingenitam: alteram, genitam: tertiam, procedentem: quarum nomina apud Theologos ſunt, Pater, Filius, & Spiritus.

Tertiam, hanc Trinitatem omnium rerum eſſe effectricem: quæ e nihilo eas produxerit, & in tempore: tum quæ ſub intelligentiam, tum quæ ſub ſenſum cadunt: tum, quæ aſpectabiles ſunt, tum quæ oculorum obtutum effugerunt.

Τέταρτον, ὅτι διὰ τὸ προνοεῖσθαι ἡμῶν τὸν ἐν τριάδι Θεὸν, εὐδοκίᾳ Πατρὸς, καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος, ὁ λόγος μένων ἀναλλοίωτος καὶ ἀτρεπτος τῇ Θεότητι, ἀπαθῶς καὶ ἀρεύστως δι' ἡμᾶς ἐγένετο σάρξ, τελείαν τὴν φύσιν ἡμῶν ἐν ἀτόμῳ προσλαμβανόμενος.

Quartum, quia curam noſtri trinus ille Deus geſſerit: propenſa patris voluntate, accedente Spiritus operatione, verbum, nulla divinitatis alteratione & mutatione, nulla paſſione & fluxu interveniente, propter nos factum eſſe carnem, natura noſtra perfecte momento temporis aſſumpta.

Πέμπτον, ὅτι ἐκ Παρθένου ἐτέχθη, πεῖραν μὴ λαβούσης ἀνδρὸς, ὡς καὶ πρὸ τόκου, καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον ὑπ' αὐτοῦ φυλαχθείσης Παρθένου.

Quintum, e virgine viri experte natum eſſe: Virginitate ejus, & ante partum, & in partu, & poſt partum, ab illo cuſtodita.

Ἕκτον, ὅτι σαρκὶ πέπονθε δι' ἡμᾶς, καὶ ἐσταυρώθη, καὶ τέθνηκεν ἐκεῖ-

Sextum, carne propter nos paſſum eſſe, in crucem ſublatum eſſe, mortuum eſſe

ἑκουσίως, καὶ ἐ τῇ θεότητι, αὕτη γὰρ ἀπαθής.

Ἕβδομον, ὅτι ἀνέστη αὐτεξουσίως τριήμερος, καὶ τοῖς Μαθηταῖς ἐνεφανίσθη πολλάκις.

Ὄγδοον, ὅτι μετὰ τεσσαρακοστὴν ἡμέραν τῆς ἐγέρσεως αὐτοῦ, εἰς οὐρανὸς ἀνελήφθη, καθορώντων τῶν Μαθητῶν, καὶ ἐκ δεξιῶν τοῦ Πατρὸς ἐκάθησεν, ὁμόδοξον καὶ συμπροσκυνούμενον, τὸ ἀχώριστον καὶ ὁμόθεον ἀποδείξας αὐτοῦ σῶμα.

Ἔνατον, ὅτι ἐλεύσεται πάλιν εἰς τὴν γῆν ἀπ' οὐρανοῦ, μετὰ τῆς πατρικῆς δόξης, καὶ παρέξει, τὴν μὲν βασιλείαν αὐτοῦ τοῖς τέκνοις δούλοις, τοῖς δὲ ἀσεβέσι τὴν κόλασιν.

Δέκατον, ὡς ἐξαναστήσει πᾶσαν ἡμῶν τὴν φύσιν, τῶν ψυχῶν ἑνωθεισῶν τοῖς ἐξαρχῆς σώμασιν, οἷς συνέζησαν, ἐν μιᾷ ἡλικίᾳ, εἰς ἀνταπόδοσιν τῶν βεβιωμένων, καὶ ἄφθαρτα τὰ σώματα ἔσονται.

Ὅτι δὲ κρινεῖ, ζῶντας, καὶ νεκρούς.

Ἑνδέκατον, καὶ τοὺς μὲν ἀπίστους κολάσει, δοξάσει δὲ τοὺς εὐσεβεῖς, καὶ τοὺς κατ' ἐντολὴν περιπατήσαντας.

Δωδέκατον ὅτι ἡ μετὰ, ταῦτα ζωὴ αἰώνιος ἔσται, ὡς ἀφθαρτιθείσης τῆς φύσεως.

Ἐν τούτοις τοῖς κεφαλαίοις, ἐν μὲν τῷ πρώτῳ περιέχεται, ὅτι εἷς Θεὸς, εἷς Κύριος, ὁ Πατὴρ, σὺν Υἱῷ, καὶ τῷ Πνεύματι. Ἐπεὶ καὶ Θεὸν τὸν Πατέρα, καὶ Θεὸν ἐκ Θεοῦ τὸν Υἱὸν, καὶ Κύριον ὀνομάζει τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ὁμοούσιόν φησι τὴν Τριάδα, ὁμόδοξόντε τὸν Πατέρα τῷ Υἱῷ, καὶ τῷ Πνεύματι. Καὶ ἅμα τε ἀϊδιον, παντοκράτορα, ποιητήν. Ὡς καὶ

esse volentem: non autem divinitate quippe quæ pati non possit.

Septimum, resurrexisse sua propria potentia, tertio die: Discipulisque sæpe conspectum esse.

Octavum, quadragesimo a resurrectione die, in cœlos assumptum esse intuentibus discipulis: sedisse ad dexteram Patris: ac pari gloria & adoratione honoratum, inseparabile suum, cum divinitate coniunctum, corpus demonstrasse.

Nonum, rediturum de cœlo in terram, paterna gloria ornatum: & servis suis daturum regnum suum, impiis vero supplicia.

Decimum, resuscitaturum vniversam nostram Naturam: ita vt animæ pristinis, cum quibus vixerant, coadunentur corporibus, vna ætate seu statura: vt præmia persolvantur vitæ actæ: & incorruptibilia fore corpora.

Judicem quoque futurum viventium & mortuorum, atque infideles pœnis affecturum: gloria vero pios, qui præcepta ejus observarunt, ornaturum.

Denique futuram vitam, in naturam nostram immortalitate recepta, æternam fore.

Hæc sunt confessionis capita, in quorum primo continetur: Vnum esse Deum, vnum Dominum, vnum Patrem, cum Filio & cum Spiritu. Patrem enim illa nominat Deum: & Filium, Deum e Deo, & Spiritum sanctum Dominum nominat: ac consubstantialem dicit Trinitatem: paremque gloria Patrem Filio & Spiritui: simul etiam æternum, omni-

καὶ Προφῆται εἶπον τὸν Θεὸν, μετὰ τοῦ Λόγου καὶ τοῦ Πνεύματος· καὶ Ἄγγελοι, ἐν τρισὶν ἁγιασμοῖς ἕνα Θεὸν μέλπουσιν.

Ἐν δὲ τῷ δευτέρῳ, ὅτι ἕνος ὁ μόνος Θεὸς, τριὰς ὢν τοῖς προσώποις, καὶ μονὰς τῇ Θεότητι, Πατὴρ ἐστι, καὶ Υἱὸς, καὶ Πνεῦμα Ἅγιον. Καὶ ὁ μὲν Πατὴρ ἀγέννητος καὶ ἀναίτιος, αἴτιος δὲ μόνος τῶν ἐξ αὐτοῦ, Υἱὸς δὲ γεννητὸς, Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Ἅγιον Πνεῦμα, Κύριον, Ζωοποιὸν, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Καὶ ὅτι μία φύσις καὶ δόξα προαιώνιος τούτων, μία δύναμις καὶ προσκύνησις, φησὶ γὰρ, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον.

Ἐν δὲ τῷ τρίτῳ ἐκδιδάσκει, ὅτι δημιουργὸς ἡ Τριὰς, ἐκ τοῦ μὴ ὄντος τὰ πάντα ποιήσασα. ὅθεν τὸν μὲν Πατέρα, ποιητὴν οὐρανοῦ καὶ γῆς, καὶ ἁπάντων φησί. τὸν δὲ Υἱὸν, δι' οὗ τὰ πάντα ἐγένετο. τὸ δὲ Πνεῦμα, Ζωοποιόν.

Ἐν δὲ τῷ τετάρτῳ, τὰ τῆς σαρκώσεως καταγγέλλει, ὅτι ἐκ Πνεύματος Ἁγίου καὶ τῆς Θεοτόκου Μαρίας, ὁ Λόγος σεσάρκωται.

Ἐν δὲ τῷ πέμπτῳ, ὅτι ἀειπάρθενος διεφυλάχθη ἡ Μαριὰμ. ἐξ ἧς λαβὼν ὁ Λόγος σῶμα ἔμψυχον, ψυχῇ νοερᾷ καὶ θελητικῇ, ἁπλοῦς ὤν, γέγονε διπλοῦς δι' ἡμᾶς, εἷς ἐκ δύο τελείων τῶν φύσεων.

Ἐν δὲ τῷ ἕκτῳ, ὅτι σαρκὶ ἐσταυρώθη ὑπὲρ ἡμῶν, καὶ ἔπαθε, καὶ ἐτάφη, καὶ ἀνέστη, καὶ ἀνελήφθη, καὶ ἐλεύσεται ἀπ' οὐρανοῦ, κρινεῖ ζῶντας καὶ νεκροὺς, ἀνάστασις ἔσται, καὶ ὅτι κόλασις καὶ βασιλεία αἰώνιος, ἐν τοῖς λοιποῖς ἓξ περιέχεται.

potentem, creatorem: quemadmodum & Prophetæ dixerunt Deum, cum Verbo & Spiritu: Angelique tribus sanctificationibus vnum Deum canunt.

In secundo, hunc vnum & singularem Deum, qui Personis trinitas sit, divinitate vero vnitas, Patrem esse, & Filium, & Spiritum S. Ac Patrem quidem ingeneratum, & ex nulla causa esse: causam vero solum iis, quæ ex ipso sunt, esse: Filium vero, genitum esse Deum ex Deo: Spiritum vero S. esse Dominum, vivificum, ex patre procedentem. Horum vnam esse Naturam & gloriam jam inde ante secula, vnam potentiam, & adorationem. Ait enim: qui cum patre & filio simul adoratur, & simul glorificatur.

In tertio edocet, creatricem esse S. Triadem, quæ ex nihilo fecerit omnia. Vnde Patrem, factorem cæli & terræ, rerumque omnium, vocat: Filium vero, qer quem omnia facta sint: Spiritum vero vivificum.

In quarto, quæ ad carnis assumptionem spectant, recenset: quod scilicet ex Spiritu S. & Deipara Maria, Verbum carnem induerit.

In qninto, perpetuam Virginitatem mansisse Mariæ: ex qua verbum sumpserit corpus animatum, anima intelligente, voluntarem habente. Dominum, cum simplex esset, factum esse duplicem, propter nos: eumq; ex duabus perfectis naturis vnum.

In sexto, carne passum esse pro nobis, crucifixum & Sepultum. Præterea resurrexisse, assumptum esse, venturum cœlitus ad judicandum vivos & mortuos: fore resurrectionem, punitionem, & regnum æternum, in reliquis sex capitibus continentur.

Ταῦτα

Hos

Ταῦτα μὲν ἓν τὰ Ἄρθρα, εἴτε κεφάλαια, τῷ ἱερῷ Φάινονται Συμβόλῳ ἐμπεριεχόμενα, τῆς κατὰ Χριστὸν ὄντα ἐν θεωρίᾳ φιλοσοφίας, ἀλλὰ δὴ καὶ τῆς κατὰ πράξιν ἠθικωτέρας, παιδαγωγοῦντα, καὶ πρὸς Σωτηρίαν ἄγοντα ἡμᾶς. Διὰ γὰρ τὴν ἡμετέραν Σωτηρίαν κατελθεῖν, φησὶ, τὸν Κύριον, ἵνα τὴν ζωὴν αὐτοῦ μιμησώμεθα, καὶ σωθῶμεν. Καὶ τὸ παθεῖν, καὶ ἀποθανεῖν, ὑπὲρ ἡμῶν. καὶ τὸ ἀναστῆναι, εἰς ἐλπίδα. καὶ τὸ μέλλειν ἔρχεσθαι κρίναι ζῶντας καὶ νεκρούς, εἰς ἀπεκδοχὴν καὶ ἑτοιμασίαν ἡμῶν. καὶ τὸ ζωὴν αἰώνιον, εἰς ἐλπίδα ἀπολαύσεως, καὶ φόβον κολάσεως. Δι' ὧν τὸ τριμερὲς τῶν ψυχῶν ἐκκαθαίρει. Τὸ λογιστικὸν μὲν, διὰ τῆς εὐσεβοῦς ὁμολογίας τῆς Ἁγίας Τριάδος. τὸ θυμοειδὲς δὲ, διὰ τῆς ὑπομνήσεως τῆς ἐνανθρωπήσεως. Τὸ ἐπιθυμητικὸν δὲ, διὰ τῆς ἀνακηρύξεως τῆς ἀναστάσεως. ὡς ἂν τούτων ἐπιποθοῦντες, τρέχωμεν κατ' ἐντολήν.

Καὶ ἐπειδὴ ἑπτὰ μὲν αἱ περιεκτικαὶ ἀρεταί. Ταπείνωσις. Ἀκενοδοξία. Ἀκτημοσύνη. Νηστεία. Ἁγνεία. Ὑπομονὴ. καὶ Μακροθυμία. ἑπτὰ δὲ καὶ τἀναντία. Ὑπερηφανία. Κενοδοξία. Φιλαργυρία. Γαστριμαργία. Πορνεία. Ἀκηδία καὶ Ὀργιλότης. ἀποτρέπεται μὲν τὰς κακίας τὸ Ἱερώτατον Σύμβολον, προτρέπεται δὲ πρὸς τὰς ἀρετάς. Καὶ πρὸς μὲν τὴν ταπείνωσιν διεγείρει, διὰ τοῦ κατελθεῖν ἐκ τῶν οὐρανῶν τὸν Θεὸν Λόγον. πρὸς ἀκενοδοξίαν, διὰ τοῦ ἐνανθρωπῆσαι. πρὸς ἀκτημοσύνην, νηστείαν, καὶ ἁγνείαν, ὡς ἦν αὐτὸς. πρὸς ὑπομονὴν καὶ μακροθυμίαν, ὅτι πάντα εἶχε, καὶ τέλος

Hos articulos seu capita, sacrum continet Symbolum: quæ ad eam, quæ secundum Christum est, contemplatricem Philosophiam pertinent: nec non ad moralem, quæ in agendo consistit: quæ recte nos instituunt, & ad salutem perducunt. Etenim ob nostram salutem descendisse. Dominum inquit: vt vitam ejus imitantes conservemur. Quodque passus pro nobis est, & mortuus est, & resurrexit: ad spem facit. Quod venturus est Iudex vivorum & mortuorum: ad expectationem, & præparationem nostram. Quod vitam æternam daturus: ad spem fruendi, & metum pœnarum. His triplicem naturam animarum nostrarum emundat. Ratione præditam, pia sanctæ Trinitatis confessione: irascentem, recordatione incarnationis: cupiditatibus laborantem, prædicatione resurrectionis: vt horum desiderio incitati, curramus ex præscripto mandatorum.

Adhæc, cum septem sint, quæ alias continent, Virtutes: Humilitas, Ambitionis fuga, Acquirendi contemptio, Iejunium, Castitas, Patientia, Longanimitas: totidem vero his oppositæ: Superbia, Ambitio, Avaritia, Edacitas, Scortatio, Ignavia, Iracundia: vt a vitiis dehortatur sanctissimum Symbolum, ita ad virtutes adhortatur. Ad humilitatem excitat cogitatione hujus: quod de cœlo Deus verbum descendit: ad fugiendam inanem gloriam, quod homo factus est: ad plus habendi cupiditatem vitandam, & ad jejunium: & ad castitatem, consideratione, qualis ipse fuerit: ad patientiam & æquanimitatem, quod cum omnia haberet, crucem tandem

dem

re pergunt: proni in ventrem, & in cœno vitiorum ſe voluentes: nec ad ſydera vnquam ſuſpicientes: neque miſericordiam invenire volentes: hi ſe maximis malis conflictari non ſentiunt. Melius itaque eſt, impuro inquinari luto, quam peccatis. Male enim peribit, qui in barathrum peccati inciderit: niſi inquinationem eluerit: non quidem aqua, ſed multo labore, ac tempore longo, pœnitentia accurata, lachrymis, planctibus, & id genus aliis ſpiritualibus luſtrationibus: quæ vera ſatisfactio ſunt: non enim illa, quæ dandis pecuniis quæritur: quæ Deum contra accipientes irritat: vnde mala ſexcenta eis accidunt, & omne calamitatum genus a Deo immittitur. Hinc enim nulla peccatis venia contingit: ſed ſtudium quærendæ pecuniæ accenditur. Exteriores enim ſordes facile abjiciuntur: illa vero, quæ in anima generantur, vix eluuntur. Nam ex corde egrediuntur cogitationes malæ, ſcortationes, adulteria, & his ſimilia. Vnde & propheta ait: Cor mundum crea in me Deus. Et alius: ablue a malitia cor tuum Ieruſalem, videsne hic quoque noſtri muneris eſſe, & Dei? Rurſus: beati, qui corde mundi ſunt: quia ipſi Deum videbunt. Fiamus mundi, quantum noſtra mens intelligit, & noſtræ vires valent. Quomodo? lavamini, mundi fiatis: auferte malitiam veſtram ab animis veſtris: removete ab oculis meis. Ne ſuis, inquit, ſimiles ſepulchris tectorio albo inductis, opinione innocentes: ſed ſic auferte, tanquam Deo vidente. Si

αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ὁρᾷς ὅτι πρότερος ἡμᾶς αὐτὸς δεῖ καθαίρειν, καὶ τότε Θεὸς λευκανεῖ; μηδεὶς τοίνυν μηδὲ τῶν ἐς ἐσχάτην κακίαν ἡκόντων, ἀπογινωσκέτω ἑαυτόν. Κἂν γὰρ εἰς ἕξιν εἰσέλθῃ, καὶ χεδὸν εἰς φύσιν τῆς κακίας αὐτῆς, μὴ φοβείσθω. διὰ γὰρ τέτο χρώματα ἐκ ἐξίτηλα, ἀλλὰ χεδὸν συνεσιωμένα τοῖς ὑποκειμένοις λαβὼν, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε κατάστασιν ἥξειν, καὶ ὡς χιόνα λευκαίνειν. χρησὰς ἡμῖν ὑποτιθεὶς τὰς ἐλπίδας. σπεδάσωμεν τοίνυν, ὡς δυνατὸν καθαροὶ γενέσθαι, μετίωμεν τὰ ἀγαθὰ τῶν ἔργων, καὶ μὴ ἐνορῶμεν κάρφος ἀλλότριον, ἀλλὰ τὴν δοκὸν ἡμῶν· καὶ ἕτω χάριτι Θεᾷ δυνησόμεθα καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν ἀξίως. ἆρα μεγάλη τῶν ἔργων ἡ δύναμις, εἴγε καὶ ἁμαρτήσαντας διὰ μετανοίας λευκαίνει ἕτω Θεός. ἐ μεγαλαυχεῖν ἦν δεῖ, ἢ πεποιθέναι ἐν αὐτοῖς, ἐφάμαρτον γὰρ, ἀλλ' ὡς ἑπόμενα τὰ ἔργα τῇ πίσει, καὶ ἀναγκαῖα ἐκπληρᾶν ὅση δύναμις. εἰ γὰρ οἱ δαίμονας ἐκβάλλοντες, καὶ Προφητείας λέγοντες, ἐπεὶ βίον ἐκ ἔχον συμβαίνοντα, ἠρνήθησαν, πόσῳ μᾶλλον, ἐὰν ἀμελεῖς ὦμεν, καὶ μὴ τὰς ἐντολὰς ἐκπληρῶμεν; ἐκ οἶδα γὰρ ὑμᾶς, φθέγγεται Χριςὸς πρὸς αὐτές. Πιςεύωμεν ἕν ὀρθῶς εἰς δόξαν αὐτᾷ, καὶ βιῶμεν καλῶς εἰς δόξαν αὐτᾷ, ἐπεὶ ἀδὲν ὄφελος θατέρᾳ. καὶ μᾶλλον ὅταν δοξάζωμεν μὲν, τυχὸν καλῶς, μὴ βιῶμεν δὲ καλῶς κατ' ἐντολὴν, τότε μάλιςα ὑβρίζομεν αὐτόν.

fuerint peccata vestra purpurei coloris: ad nivis instar dealbabo, videsne, oportere nos ipsos priore loco mundare: ac tum demum Deum dealbaturum? Nemo igitur, ne si vel ad extremum quidem maliciæ processerit, saluti suæ desperet. Nam si etiam habitum acquisiverit, & propemodum in naturam abierit ipsius maliciæ: ne timeto. Propterea enim colores non leves & evanidos posuit: sed tales, qui fere in eandem cum subjectis substantiam & naturam transierunt: quos in contrarium mutatum iri, & nivis instar dealbatum iri, inquit: vt in bonam spem nos erigat. Quamobrem studeamus, quo ad ejus fieri potest, mundi fieri: consectemur bonorum operum studium: nec in alieno oculo festucam animadvertamus, sed nostram ipsorum trabem. Hoc modo, Deo bene juvante, poterimus etiam futurorum digne compotes fieri bonorum. Ergo magna vis est operum, si quidem a peccatis ita per pœnitentiam dealbat Deus. Quocirca non superbiendum est, nec confidendum in illis (cum peccato enim hoc conjunctum) sed opera, tanquam fidei consectaria, & necessaria, pro viribus explenda. Si enim illi, qui Dæmonia ejecerunt, & prophetias dixerunt, quia vitam his donis non respondentem habuerunt, a Domino rejiciuntur: quanto magis id fiet, si negligentes erimus, nec præcepta implevérimus? Ait enim eis Dominus: Non novi vos. Ergo credamus recte ad gloriam ejus, & vivamus recte ad gloriam ejus: quia alterum sine altero non prodest. Ac magis tunc, quando recte fortasse sentimus de Deo, recte fortasse celebramus: non tamen recte secundum præcepta vivimus: tunc, inquam, maxima ignominia afficimus ipsum, quod cum asscribamus

ὅτι ἐπιγραφόμενοι αὐτὸν δεσπότην καὶ διδάσκαλον, καταφρονῶμεν αὐτῶ, καὶ ὑ δεδοίκαμεν τὸ φοβερὸν αὐτῶ κριτήριον. Τὸ μὲν γὰρ ἔλληνας ἀκαθάρτως βιῶν, ὐδὲν θαυμαστὸν, ὐδὲ τοσαύτης καταγνώσεως ἄξιον. Τὸ δὲ χριστιανὸς ὄντας, τοσούτων μετέχοντας μυστηρίων, τοσαύτης ἀπολαύοντας δόξης, ἕτως ἀκαθάρτως βιῶν, τοῦτό ἐστι τὸ πάντων χείριστον καὶ ἀφόρητον, καὶ πάσης συμπαθείας ἀνώτερον. ἂν γὰρ, ὡς φησί τινες εἰς τὴν μεγάλην καὶ ἄπειρον ὐσπλαγχνίαν τῶ Θεῶ, καὶ τὰς τότε ὑπερμεγέθεις δωρεὰς ἀποβλέπειν ἐθελήσωμεν, καὶ χάριτι μόνη, ἀχαρίστων τρόπω σωθῆναι φαιταθῶμεν, ὐκ ὠφεληθείημεν. Καὶ ἄλλως συγκρινόμενα τὰ παρ' ἡμῶν, εἰ καὶ ὡς τῶν τελείων φθάσοι, ὐδέν εἰσι, πλὴν συντελῶσι, καὶ τὴν γνώμην δεικνύουσιν ἡμῶν, ὅτι ὐχάριστοι, καὶ ταῖς ἐντολαῖς πειθόμενοι τὰ ἀγαθὰ καὶ ἐνάρετα ἐκπληροῦμεν, ἵνα μὴ ἀναισθήτων δίκην, ἀποτεθείημεν εἰς παράδεισον, ὃ ὅλως ὐ γίνεται, ἀλλὰ τῆ ἡμετέρα ὀρθῆ προαιρέσει, τῆ χάριτι τῶ Θεῶ. ἂν γὰρ εἰς ἁμαρτίαν κλίνειν ἐθελήσωμεν, ἀναίσθητοι φανῶμεν, ὡς ἀνυπάρκτοις προσέχοντες. ἦν δὴ φεύγειν ἔδει, καὶ μισάτλεσθαι ὡς πόρρω βάλλεσαν τῶ Θεῶ. καὶ ὅταν τινὰ ἁμαρτίαν μέλλωμεν διαπράτλεσθαι, ὑπονοεῖν καὶ φαντάζεσθαι τὸ φρικτὸν καὶ ἀνύποιστον τῶ Χριστῶ δικαστήριον, ἐν ᾧ προκαθέζεται μὲν ἐπὶ θρόνε τινὸς ὑψηλῶ καὶ ἐπηρμένε κριτὴς, παρέστηκε δὲ πᾶσα ἡ κτίσις, τρέμουσα τὴν ἐνδοξον αὐτῶ ἐπιφάνειαν, διὰ τὴν ἐξέτασιν τῶν βεβιωμένων.

mus ipsum nobis Dominum & Doctorem, contemnamus ipsum, nec horrendum ejus tribunal reformidemus. Nam quod Gentes impure vivunt, nihil mirum est, nec tantopere condemnandum. Christianos vero, qui tot mysteria participant, tanta gloria fruuntur, adeo impuram vitam agere: hoc omnium deterrimum est & intolerandum, & omnem commiserationem excludens. Si enim) inquit) nos, vt quidam faciunt, tantum ad magnam illam, & infinitam, e visceribus Dei proficiscentem, bonitatem, & hujus ingentem munificentiam, respicere velimus: solaque gratia, ingratorum more eos salvatum iri imaginemur: nihil vtilitatis capiemus. At si aliter expendantur nostra opera: tum, quamvis ad perfectionem pervenerint, nihil sunt: sed tamen aliquid ad finem adferunt: nostrumque animum declarant: nosque gratos erga Deum esse, & mandatis ejus obtemperantes, quæ bona & cum virtute conjuncta sunt, explere: vt ne tanquam stolidi quidam, sensusque expertes in paradisum transferamur: quod nullo modo fit: sed nostro bono proposito, per gratiam Dei. Si enim ad peccandum declinaverimus: sensu destituti videbimur: vt qui rebus, quarum nulla essentia est, attendamus. Id vero fugiendum est, & abominandum: quia procul a scopo Dei aberrat. Quando non peccati alicujus libido incesserit: cogitandum, & imaginatione apud animum proponendum est, formidabile illud & intolerabile Christi judicium: in quo ipse sedebit in celso quodam eminenteque solio judex: astabit vero vnivetsa creatura, tremens ad gloria fulgentem conspectum ejus, propter inquisitionem in vitam actam habendam.

ΚΕΦΑΛ. ζ'.

Περὶ Ἐκκλησίας.

Τὸ ἕβδομον, μίαν ἁγίαν ἐκκλησίαν καθολικὴν ἔχειν καὶ ὑμᾶς λέγει, καὶ τὰ τῆς ἐκκλησίας Μυστήρια, καὶ τὰς τελετὰς καλῶς ἐκτελεῖν, πρὸς ὃ λέγομεν· Μίαν εἶναι τὴν Ἁγίαν Ἐκκλησίαν τὴν Καθολικὴν καὶ Ἀποστολικὴν τῶν χριστιανῶν, ὀρθῶς καὶ ὡς οἱ Πατέρες οἱ Θειότατοι παρέδωκαν ἐκτελέντων τὰ νενομοθετημένα καὶ κανόσιν αὐτῶν ὡρισμένα καὶ κεκυρωμένα τῷ Ἁγίῳ Πνεύματι. Τὰ δὲ ἐν αὐτῇ τῇ καθολικῇ τῶν ὀρθοδόξων χριστιανῶν Μυστήρια, καὶ αἱ τελεταὶ ἑπτά. ἤτοι Βάπτισμα, Χρίσμα Θείᾳ Μύρῳ, Θεία κοινωνία, Χειροτονία, Γάμος, Μετάνοια, καὶ Ἅγιον Ἔλαιον. Ἑπτὰ γὰρ τὰ τῦ Θείᾳ Πνεύματος χαρίσματα, ὡς Ἡσαΐας φησὶ, καὶ ἑπτὰ καὶ τὰ Μυστήρια τῆς Ἐκκλησίας, Πνεύματι ἐνεργέμενα. ὅτι δὲ ταῦτα καὶ μόνα καὶ ἐ πλείω τὸν ἀριθμὸν εἰσι, δείκνυσι καὶ ἡ διαίρεσις. Τὸ γὰρ Μυστήριον, ἢ πρὸς γένεσιν ἀνθρώπων ὁρᾷ, καὶ ἔστιν ὁ ἐν Χριστῷ γάμος, ἢ πρὸς σωτήριαν, καὶ ἔστιν ἡ τάξις τῶν ἱερῶν. καὶ δι' αὐτῶν καὶ ἐν αὐτοῖς ἐνεργέμενα, καὶ παντὶ μὲν χρήσιμα, τὸ Βαπτισμα, τὸ Μύρον, ἡ Κοινωνία. Τοῖς δὲ ἀφιερωμένοις Θεῷ, ἡ χειροτονία. ὡς λαϊκοῖς ὁ γάμος. καὶ τοῖς μετὰ τὸ Βάπτισμα ἁμαρτήσασιν, ἡ Μετάνοια, καὶ ἡ τῷ ἡγιασμένῳ χρίσις Ἐλαίῳ. ἅτινα ἢ ἄφεσιν τῶν ἡμαρτημένων χαρίζεται, ἢ τὰς ἐγκειμένας τῇ ψυχῇ σπίλας ἀποκαθαίρει. Μυστήρια δὲ ταῦτα λέγεται, διὰ τὸ ἐν αἰσθητοῖς συμβόλοις, νοητὸν ἔχειν τὸ ἀποτελέμενον καὶ ἀπόῤῥητον. ἕκαστον δὲ τῶν Μυστηρίων τότων, τεθεσμοθέτηται

CAPVT VII.

De Eccleſia.

In ſeptimo capite dicitur: etiam vos habere vnam ſanctam Eccleſiam catholicam: Et Eccleſiæ Sacramenta, ac ritus recte adminiſtrare. Ad quod reſpondemus, vnam eſſe illam ſanctam Eccleſiam catholicam & Apoſtolicam Chriſtianorum: qui rite, & vt ſanctiſſimis traditum eſt patribus, adminiſtrent, quæ legibus ſancita ſunt, & canonibus ipſorum definita, & a S. ſpiritu approbata. Sacramenta vero ritusque in hac ipſa catholica recte ſentientium Chriſtianorum Eccleſia ſunt ſeptem: Baptiſma, chriſma ſancti vnguenti, divina communio, manus impoſitio, Matrimonium, pœnitentia, & ſacrum oleum. Septem enim ſunt vt Eſaias ait, S. ſpiritus dona. Ergo etiam ſeptem Eccleſiæ myſteria, per quæ ſpiritus efficax eſt. Quod vero hæc ſola ſint, nec plura numero: etiam diviſione clarum fit. Myſterium enim ſeu Sacramentum aut generationem hominis reſpicit, & eſt ſanctum conjugium: aut ſalutem, & eſt ordo ſacrorum, & quæ per ipſa, & in ipſis exercentur. Horum partim cuivis conducunt, ſcilicet: Baptiſma, unguentum, communio: iis vero, qui Deo conſecrati ſunt, impoſitio manuum, ſicut laicis conjugium: illis autem, qui poſt Baptiſma peccaverunt, pœnitentia & conſecrati olei vnctio. Hæc aut remiſſionem peccatorum largiuntur: aut ſordes animæ inhærentes expurgant. Myſteria vero hæc dicuntur: quod ſub ſenſilibus ſignis, intelligibilem & occultum habeant effectum. Vnumquodque horum myſteriorum, in ſacris literis

ται μὲν ὑπὸ τῆς γραφῆς, ὡρισμένην δὲ ὕλην καὶ εἶδος ἔχει. ἀλλὰ μὴν καὶ τὸ ποιητικὸν ἢ μᾶλλον ὀργανικὸν αἴτιον, ὡρισμένον. οἷον ἐπὶ τοῦ Βαπτίσματος, ὕλη μὲν τὸ ὕδωρ, εἶδος δὲ, οἱ λόγοι τοῦ Ἱερέως, τὸ, βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ (δεῖνα,) εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. ὀργανικὸν αἴτιον ὁ Ἱερεὺς, εἰ καὶ τὸ δι' ἀνίερα δι' ἀνάγκην ἐκ ἀποβάλεται. ὁμοίως καὶ ὁ ἐφ' ἑκάστου τῶν ἄλλων, καὶ ὕλην καὶ εἶδός ἐστιν εὑρεῖν· τὸ Βάπτισμα τοίνυν ἀναγεννᾷ Πνεύματι, ἐπειδήπερ τὴν πρώτην ἀπαθῆ γέννησιν ἀπωλέσαμεν, καὶ ἐν ἀνομίαις ἡμᾶς συνελήφθημεν, ὡς ψάλλει Δαβὶδ, καὶ ἐν ἁμαρτίαις ἐκίσσησεν ἕκαστον ἡμῶν, ἡ μητὴρ αὐτοῦ. καὶ λατρὸν θεῖον γίνεται, τὰ τοιαῦτα ἀποκαθαῖρον. Τὸ Χρίσμα δὲ τὴν σφραγῖδα τὴν πρώτην καὶ τὸ κατ' εἰκόνα ἐντίθησι καὶ Ῥώμην τῇ ψυχῇ ἅπερ διὰ παρακοὴν ἀπωλέσαμεν. ἔτι δὲ καὶ τὴν χάριν, ἣν ἐν τῇ ψυχῇ, τῇ Θείᾳ ἐμπνεύσει ποτὲ ἐλάβομεν. διὸ καὶ τὴν τοῦ Πνεύματος φέρει δύναμιν καὶ τὴν εὐωδίαν αὐτοῦ πλατεῖ. καὶ σημείωσις Χριστοῦ ἐστι καὶ σφραγὶς.

Ἡ Κοινωνία δὲ, αὐτῷ ἑνοῖ τῷ Δεσπότῃ, καὶ αὐτοῦ τῆς σαρκὸς ἀληθῶς καὶ τοῦ αἵματος κοινωνοῦμεν. καὶ ἐπεὶ διὰ βρώσεως ἀπεθάνομεν, καὶ παραδείσου καὶ Θεοῦ ἐχωρίσθημεν, τὴν ζωὴν τὴν αἰώνιον διὰ τῆς κοινωνίας τοῦ Κυριακοῦ Σώματος, τῆς πνευματικῆς τροφῆς, ἀναλαμβάνομεν αὖθις. καὶ τὴν φθορὰν ἀποβαλόμενοι, τῷ ἀθανάτῳ ἑνόμεθα, ἐγηγερμένῳ δι' ἡμᾶς διὰ σαρκὸς γεγονότι διὰ τὴν σωτηρίαν ἡμῶν.

teris ſancitum eſt: definitam vero materiam formamque habet: nec non efficientem aut potius inſtrumentalem cauſam definitam. vt in Baptiſmate, Materia aqua eſt. Forma, verba Sacerdotis, ſcilicet hæc. Baptizatur hic Dei ſervus in nomine Patris, & Filii, & S. ſancti. Inſtrumentalis cauſa, ſacerdos eſt: quamquam neceſſitate poſtulante, per laicam perſonam Baptizari non rejicitur. Eodem modo in cæteris ſingulis, materia & forma inveniri poteſt. Baptiſma igitur regenerat Spiritu: quia primam, quæ ſub innocentiæ ſtatu fuit, generationem amiſimus: & iniquitatibus concepti ſumus, (vt David canit) & in peccatis concepit vnumquemque noſtrum mater ſua: quibus malis lavacrum divinum ſubvenit, ea expurgans. Chriſma, animæ indit ſignaculum primum, & quod ſecundum imaginem eſt, & robur: quæ per primam inobedientiam amiſeramus. Gratiam præterea, quam divina inſpiratione homo initio in anima ſua acceperat. Ideo etiam ſpiritus vis Chriſmati ineſt: & ſuaveolentia illius hoc præditum eſt: & ſignificatio ſignaculumque Chriſti eſt.

Communio, ipſi nos coadunat Domino: in qua carnem & ſanguinem ejus vere participamus. Nam quia cibus vetitus mortem nobis attulerat: noſque a Paradiſo Deoque ſeparaverat: vitam æternam communione dominici corporis ſpirituali, ſc. alimento recipimus: & corruptionem abjicientes, cum immortali Domino in vnum conjungimur: qui, vt ſalutem nos adipiſceremur, mortalitatem in carne aſſumpſit.

Ἡ Χειροτονία δὲ, τὴν ἐξουσίαν παρέχει καὶ δύναμιν τῦ ποιήσαντος. Καὶ ἐπεὶ οὐδὲν τῶν ὄντων χωρὶς αὐτῦ, ἦλθε δὲ αὐτὸς εἰς τὸ εὖ εἶναι ἡμᾶς ἀγαγεῖν, ταύτην αὐτῦ τὴν δύναμιν ἀναλαμβανόμενος ἀφ' ἡμῶν, παρέσχεν ἡμῖν διὰ τῆς αὐτῦ ἱερωσύνης, καὶ δι' αὐτῆς, πᾶσαν ἡμῖν αἱ τελεταὶ ἐνεργῖνται. καὶ οὐδὲν ἅγιον χωρὶς ἱερέως. ἔτι δὲ καὶ ἐξ ἀρχῆς ἄρχοντας ἡμᾶς τῶν ὁρωμένων καταστησάμενος, πάλιν ἐν τῷ παρόντι κρειττόνως ἄρχοντας ἡμᾶς διὰ τῆς ἱερωσύνης καθίστᾳ. τῦ οὐρανῦ γὰρ τὰς κλεῖς τοῖς Ἀποστόλοις, καὶ ἀλληλοδιαδόχως Ἱερωμένοις παρέδωκεν.

Ὁ δὲ Γάμος, συγκαταβάσεώς ἐστι δῶρον, ὧδε παρὰ Θεῦ, διὰ τὴν παιδοποιΐαν, ἕως τὸ πᾶν τόδε μετὰ τῆς φθορᾶς ἵσταται. Οὐ γὰρ ἐβέλετο ὁ Θεὸς, τὴν ἄλογον ἐν ἡμῖν καὶ ἀπὸ ῥοῆς καὶ ῥυπαρὰν σύστασιν εἶναι, ἀλλ' ἐπεὶ ἀπεθάνομεν ἕκαστος, ἀφῆκε τὴν διαδοχὴν ἕτω τῦ γένες ἐνεργεῖν, ὡς καὶ τοῖς ἀλόγοις, ἵνα γνῶμεν εἰς τὶ καθέστημεν. καὶ τῦτο ἕως ἂν ἐξαναστήσῃ καὶ ἀπαθανατήσῃ τὴν φύσιν ὁ ἄφθαρτος, καὶ θανὼν καὶ ὑπὲρ ἡμῶν ἀναστάς. Διὸ καὶ εὐλογεῖ τὸν γάμον αὐτὸς, ὡς ἂν μὴ χωρὶς εὐλογίας ἡ ἀπαρχὴ τυγχάνῃ τῆς ἡμετέρας ζωῆς.

Ἡ μετάνοια δὲ, τὴν ἐπανόρθωσιν ἡμῶν αὖθις ἀπὸ τῦ πτώματος ἐνεργεῖ. καὶ ἐπειδήπερ μετὰ τὸ Βάπτισμα ἐστὶν ἐπανάκλησις ἄλλη καταστε χάριν καὶ δωρεὰν, καὶ ἀγώνων καὶ πόνων χωρὶς, εἰ μὴ δι' ἐπιστροφῆς καὶ δακρύων, καὶ τῦ ἐξαγορεῦσαι τὰ πταίσματα, καὶ ἀποσῆναι

Manus impositio, poteſtatem & facultatem præbet conditoris. Et quoniam nihil eorum, quæ ſunt: ſine ipſo conſtat: Ipſe vero venit ad ducendum nos, vbi bene nobis ſit: hanc ſuam facultatem, receptus a nobis, contulit nobis per ſuum ſacerdotium: Indeque omnes ritus a nobis adminiſtrantur: & ſine ſacerdote nihil eſt ſanctum. Inſuper cum initio nos rerum aſpectabilium Dominus conſtituiſſet: nunc iterum præſtantiores nos Dominus, ſacerdotio tradito, conſtituit. Claves enim cœlorum Apoſtolis, & horum ſucceſſoribus conſecratis tradidit.

Matrimonium donum quoddam eſt, a Deo nobis in hoc ſeculo, ob liberos procreandos, indultum: quam diu vniverſitas hæc caducarum rerum conſtat. Non enim volebat Deus, illam irrationalem, fluidam & ſordidam in nobis concretionem eſſe: ſed quia vltro mortui fueramus, permiſit ſucceſſionem generis noſtri ſic adminiſtrari, quemadmodum in animantibus ratione carentibus: vt cognoſcamus, quo redacti ſimus. Id enim tantiſper, dum rurſus excitet, & immortalitate donet, naturam noſtram, ille immortalis: qui propter ſalutem noſtram mortuus eſt & reſurrexit. Ideoque conjugio benedicit ipſe, ne benedictionis expers ſit principium, velut primitiæ vitæ noſtræ.

Pœnitentia, in corrigendo lapſu noſtro vſque inde erigendo, verſatur. Et quoniam poſt Baptiſma, alia gratia & beneficentia, qua revocemur abſque certamine & laboribus, relicta non eſt: niſi converſione & lachrymis, & confeſſione prolapſionis, & deſiſtendo a malo: hoc magnum nobis

ſub-

σῆναι τῶν κακῶν, τοῦτο τὸ μέγα δέδοται δῶρον. ἐν ᾧ δὴ καὶ τὸ τῶν Μοναχῶν, ὡς δεῖ, διαγόντων, εἰσάγεται χῆμα, ὡς τῆς μετανοίας ὑπάρχον ἐνέχυρον.

Ἅγιον Ἔλαιον δὲ παραδέδοται, ἢ τοῦτο ὡς ἱερὰ τελετὴ, καὶ θείᾳ τύπος ἔλέους, εἰς ἀπολύτρωσιν καὶ ἁγιασμὸν τοῖς ἀπὸ ἁμαρτίας ἐπιστρέφουσι χορηγέμενον. Διὸ καὶ λύσιν ἁμαρτημάτων παρέχεται, καὶ ἐξ ἀῤῥωστημάτων ἐγείρει, καὶ ἁγιασμοῦ ἐμπίμπλησι.

Ταῦτα δὲ πάντα, Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν παραδέδωκεν, οἵ, τε αὐτοῦ θεῖοι Μαθηταὶ δι' αὐτοῦ. Διπλῶν γὰρ ὄντων ἡμῶν, ἐκ ψυχῆς τε καὶ σώματος, διπλῶς καὶ ταῦτα ἡμῖν παρέχετο, ὡς ἀληθῶς καὶ αὐτοῦ διπλοῦ δι' ἡμᾶς γεγονότος, Θεοῦ ἀληθοῦς ὄντος καὶ ἀνθρώπου. Ὡσὰν τῇ μὲν χάριτι τοῦ Πνεύματος νοητῶς ἡμῶν τὰς ψυχὰς ἁγιάζῃ, τοῖς αἰσθητοῖς δὲ, ὕδατι, ἐλαίῳ, ἄρτῳ, ποτηρίῳ, καὶ τοῖς λοιποῖς ἁγιαζομένοις τῷ Πνεύματι, καθαγιάζῃ ἡμῶν καὶ τὰ σώματα, καὶ ὁλοτελῆ παρέχῃ τὴν Σωτηρίαν. Οὕτως, ἵνα καὶ τελείους ἡμᾶς ὡς ἔπλασε κατασήσῃ, ὅτι καὶ ἀναστήσει ἀποθνήσκοντας, καὶ, ὡς ἐπράξαμεν, ἀπολάβωμεν.

Πόθεν, τὰ ἑπτὰ Μυστήρια.

Τὶ μὲν ἕν ἕκαστον εἰς τὴν ἡμῶν σωτηρίαν συντελεῖ εἰρηται. πόθεν δὲ τὴν ἀρχὴν ἔκαστον ἔλαβεν, ῥητέον διὰ βραχέων. Ὁ μὲν Γάμος, ἀρχῆθεν ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων νενομοθέτηται, συζεύξαντος τῇ Εὐᾳ τὸν Ἀδάμ. καὶ μὴν καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις, πῇ μὲν τιμᾷ τὸν Γάμον ἐν θαύματι, πῇ δὲ, τοῦ Μωσαϊκοῦ νόμου φαινόμενος, ἐπιλαμβάνεται, ἐπιτρέποντος ἀπολύειν

subsidio datum est donum: in quo equidem monachorum etiam, rectè se gerentium introducitur professio & habitus, vt quæ pœnitentiæ sint pignus.

De sacro oleo. Et hoc traditum est, vt sacer ritus, & divinæ misericordiæ typus: ad redimendos & sanctificandos pœnitentes adhiberi solitum. Ideo & animos a peccatis solvit, & ab infirmitate corpora excitat: & sanctificatione homines implet.

Omnia hæc D. noster Iesus Christus tradidit, ejusque sancti discipuli per ipsum. Cum enim duplices simus nos: ex anima & corpore constantes: etiam dupliciter nobis hæc praebuit: vt qui vere & ipse duplex propter nos factus sit. Deus verus (qui semper fuit) & homo: vt spirituali quidem gratia, quodam sub intelligentiam cadente modo, animas nostras sanctificet: Externis vero sensum attingentibus rebus (aqua, oleo, pane, calice, cæterisque a spiritu sanctificatis) etiam corpora nostra sanctificet: atque omnibus numeris absolutam largiatur salutem: ita vt pristinæ nos perfectioni, qua initio formaverat, restituat, (quia etiam a morte excitabit) & digna factis nostris præmia accipiamus.

Origo horum Sacramentorum.

Quid horum vnumquodque ad salutem conferat, dictum est: jam, vnde principium vnicuique eorum extiterit, breviter dicendum. Conjugium initio ab vniversitatis opifice Deo sancitum est: qui Evæ copulavit Adamum. Sed & Dominus in Evangeliis partim illud miraculo honorat: partim mosaicam legem in speciem reprehendit: quæ libello repudii dato,

λύειν τὰς γυναῖκας, διδόντας βιβλίον ἀποστασίε. Φάσκων, ἐκ ἀπ' ἀρχῆς ἔτως ἔχειν, ἀλλα διὰ τὴν σκληροκαρδίαν τῶν δεχομένων τὸν νόμον, τῦτο ἐπιτετράφθαι. Προστιθεὶς δὲ κ) ὅτι ἓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. καὶ μὴν κ) ὁ Ἀπόστολος, τίμιον τὸν Γάμον, κ) τὴν κοίτην ἀμίαντον ἀποφαίνεται. Καὶ Μυστήριον τῦτο καλεῖ. (Εφες. κεφ. ε.) Φάσκων ἔτως. „Ἀδελφοὶ, τὸ Μυστήριον τῦτο μέγα ἐστί. „Λέγω δὲ εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν. Οὕτω μὲν ἓν τὸ Μυστήριον τῦτο, ἄνωθεν μὲν παραδέδοται, ἐβεβαιώθη δὲ καὶ ἐν τῇ καινῇ διαθήκῃ, καθὼς εἴρηται.

Ἡ μέντοι τάξις ἡ ἱερὰ, (ἵνα τὰς πρὸ τῦ νόμε σκιώδεις ἱερατείας παρῶ) διὰ τὴν ἀμυδρότητα τῆς ἐκφάνσεως, προδηλότατα ἐπὶ Μωϋσέως καὶ Ἀαρὼν, ὑπὸ τῦ Θεῦ τῶν ὅλων παραδέδοται, τῇ κατὰ νόμον λατρείᾳ κατάλληλος. Οἵγε μὴν ἐν τῇ Χάριτι τῦ τοιῦδε ἠξιωμένοι ἀξιώματος πρῶτοι, ἐξελέγησαν μὲν ὑπὸ τῦ μονογενῦς, καθὼς τὰ λόγια μαρτυρεῖ, φάσκοντα τὸν Κύριον πρὸς τὸς Ἀποστόλες, (Ἰωαννκεφ. „ιε.) ἐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ „ἐξελεξάμην ὑμᾶς ἐκ τῦ κόσμε. Ἐτελειώθησαν δὲ κατὰ τὴν πεντηκοστὴν, ἐπιφοιτήσαντος αὐτοῖς τῦ Παναγίε Πνεύματος, ἐκεῖνοι δὲ, τοῖς μεθ' ἑαυτὸς πᾶσι τῦ τοιῦδε μεταδεδώκασι δώρε.

Τό δέ γε Ἅγιον Βάπτισμα, (φημὶ δὴ τὸ καθ' ἡμᾶς, οἱ γὰρ τύποι παρεῖσθωσαν νῦν) ἔργῳ καὶ λόγῳ ὑπὸ τῦ Κυρίε ἡμῶν Ἰησῦ παραδέδοται. Ἔργῳ μὲν, τὸ ὑπὸ τῦ Ἰωάννε ἐν Ἰορδάνῃ δεξάμενος Βάπτισμα. λόγῳ δὲ, τοῖς οἰκείοις ἐντεταλμένε μαθηταῖς. (Ματθ. κεφ. κζ'.) ἀπελθόν-

dato, divortium concedebat. Ait, non sic ab initio fuisse: sed propter duritiem cordis accipientium legem, hoc permissum fuisse. Addit, quos Deus junxit: homo ne separet. Sed & Apostolus, honorabile conjugium; & cubile immaculatum, pronunciat: idque Mysterium „vocat, his verbis: Fratres, mysteri„um hoc magnum est: nempe ad Chri„stum & Ecclesiam. Sic ergo mysterium hoc, tum ab antiquo institutum est: tum in novo testamento confirmatum est, vt diximus.

Ordo sacer (vt vmbrosa, quæ ante legem fuerunt, sacerdotia prætermittam.) propter exiguam sui olim lucem clarissime postea sub Mose & Aarone, a rerum opifice Deo traditus est, cultui legali congruens. Qui vero tempore gratiæ primi dignitate hac decorati fuere: electi quidem fuerunt ab vnigenito: sicut oracula testantur, Domi„num dixisse Apostolis: Non vos elegistis „me: sed ego vos elegi e mundo· perfectionem vero die Pentecostes, superventu Spiritus S. acceperunt: ipsique postea cum successoribus omnibus id doni communicavere.

Sanctum Baptisma (de nostro loquor. Nunc enim typi omittantur) facto verboque a Domino nostro Iesu traditum est. Facto: quia in Iordane ab Ioanne susceptum Baptisma. Verbo: „quia suis mandavit discipulis: Abi„te, docete omnes gentes: baptizantes

δόντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος.

Τὸ δὲ τοῦ Θείου Μύρου Μυστήριον, ἐκ ἐμφέρεται μὲν ἐν τῇ θείᾳ γραφῇ, παραδέδοται γε μὴν ὑπὸ τῶν μαθητῶν τοῦ λόγου. Καθὼς ὑπὸ τοῦ Θείου Παύλου διδαχθεὶς ὁ ἱερώτατος Διονύσιος, ἐν τοῖς ἱεροῖς αὐτοῦ συγγράμμασι παραδέδωκεν. Ὃν δὴ ἄνδρα μετὰ τοὺς Ἀποστόλους, ἡ τοῦ Θεοῦ Ἐκκλησία γεραίρει.

Τὸ μέντοι τῆς ἱερωτάτης ἐν τελεταῖς Μυστήριον Κοινωνίας, τυπικῶς μὲν ἐσκιαγράφηται ἐν ταῖς νομικαῖς θυσίαις, ἀληθῶς δὲ παραδέδοται ὑπὸ τοῦ Κυρίου, μέλλοντος ἐπὶ τὸ πάθος ὅσον ἔπω ἰέναι τὴν ἑσπέραν ἐν ᾗ τὸ νομικὸν Πάσχα σὺν τοῖς ἑαυτοῦ μύσαις ἔφαγε. μετὰ γὰρ τὸ φαγεῖν αὐτὸ κατὰ τὸν τῷ Μωϋσεῖ παραδεδομένον τρόπον, τὴν καινὴν παραδέδωκε Θυσίαν, κλάσας μὲν τὸν ἄρτον, καὶ διανείμας αὐτοῖς, καὶ οἰκεῖον σῶμα αὐτὸν καλέσας. μεταδὸς δὲ αὐτοῖς τοῦ ποτηρίου, πλήρους ὄντος κράματος ἐξ οἴνου καὶ ὕδατος. ὃ δὴ κρᾶμα, τὸ οἰκεῖον αἷμα τυγχάνειν αὐτόχρημα ἀπεφήνατο. Προστάξας δὲ αὐτοῖς, τοῦτο μὲν ποιεῖν εἰς τὴν ἐκείνου ἀνάμνησιν. εἰδέναι δὲ, ὁσάκις ἂν τοῦτο ποιῶσιν, ὡς τὸν τοῦ Κυρίου καὶ Διδασκάλου καταγγέλλουσι θάνατον.

Τὸ δὲ τῆς Μετανοίας Μυστήριον, τυπικῶς μὲν, τῷ Μωϋσεῖ νενομοθέτηται, θυσίας γὰρ ὑπὲρ ἁμαρτίας ἐκεῖνος προσέταξεν. Ἐντελῶς δὲ ἀληθῶς ὑπ' αὐτοῦ τοῦ Κυρίου, δόντος τὴν ἐξουσίαν ταύτην τοῖς μαθηταῖς, καὶ εἰπόντος, ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄντινων κρατῆτε, κεκράτηνται. Καὶ τῷ Πέτρῳ ἰδίᾳ κατ' ἐξαίρετον ἐπαγγειλάμενον δώσειν τὰς κλεῖς τῆς

tes eos in nomine Patris, & Filii, & Spiritus ſancti.

Quod ad ſacri vnguenti Myſterium attinet: id in divinis quidem literis non extat: traditum tamen a Diſcipulis verbi: ſicut qui a D. Paulo inſtitutus eſt, ſanctiſſimus Dionyſius in ſacris ſuis ſcriptis tradidit: quem quidem virum, proximo ſecundum apoſtolos loco, Dei Eccleſia honorat.

Sanctiſſimæ inter ſacramenta myſterium communionis, typice quidem in legalibus ſacrificiis adumbratum fuit: vere autem a Domino inſtitutum eſt: cum mox aditurus paſſionem eſſet illa veſpera, qua legale paſcha cum ſuis Myſtis comedit. Cum enim id Moſaico ritu celebraſſet: novum tradidit ſacrificium: dum primo panem fregit, eis diſtribuit, eumque corpus ſuum nominavit: deinde poculum cum eis communicavit, plenum vino & aqua commiſtis: quam mixturam, ipſum ſuum proprium ſanguinem pronunciavit. Mandavit eis, tum hoc facere in ſui commemorationem: tunc ſcire, quoties hoc facerent, eos Domini & præceptoris ſui mortem annunciare.

Pœnitentiæ myſterium etiam Moſis lege typice ſancitum fuit: quippe qui ſacrificia pro peccatis mandavit: vere autem & perfecte ab ipſo Domino: qui poteſtatem hanc diſcipulis conceſſit, diſcens: ſi quorum remiſeritis peccata, remittuntur ipſis: ſi quorum retinueritis, retenta ſunt. Et Petro ſeorſim eximie promiſit, ſe daturum claves regni: & quæcunque ligaret in terra,

τῆς βασιλείας. καὶ ὅσα ἂν δήσῃ ἐπὶ τῆς γῆς, δεδεμένα ἔσεσθαι ἐν τῷ Οὐρανῷ, καὶ ὅσα ἂν λύσῃ ἐπὶ τῆς γῆς, λελυμένα ἔσεσθαι καὶ ἐν τῷ Οὐρανῷ. Ἐρομένῳ δὲ τῷ Πέτρῳ, ποσάκις ἀφήσει τοῖς ἁμαρτάνουσιν; ἑπτάκις; (τοῦτο ὁ Πέτρος πρᾶττεινε, μέγα τι ποιεῖν δοκῶν) ἀπεκρίνατο ὁ Κύριος, (Ματθ. κεφ. ιή.) οὐχ ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. Τὴν δὲ τοῦ ἐλαίου χρῆσιν, ἴσως μὲν καὶ ὑπό ἄλλου τῶν Ἀποστόλων εἰκὸς ῥηθῆναι, προδήλως γεμὴν ὑπὸ τοῦ ἱεροῦ Ἰακώβου τοῦ Ἀποστόλου ἐν τῇ Καθολικῇ παραδέδοται, φάσκοντος, (κεφ. ε.) Ἀδελφοί, κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω. Εὐθυμεῖ τις; ψαλλέτω. ἀσθενεῖ τις; προσκαλεσάσθω τοὺς Ἱερεῖς, καὶ προσευξάσθωσαν ὑπὲρ αὐτοῦ, ἀλείψαντες αὐτὸν ἐλαίῳ, καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, κἂν ἁμαρτίας ἦ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ταῦτ' ἔν ἔτως παρέδωκε, καὶ ἐξ ἐκείνου μέχρι τοῦ δεῦρο τελεῖται. Ταῦτα μὲν τὰ τῆς Ἐκκλησίας Μυστήρια. τοσαῦτάτε τὸν ἀριθμὸν, καὶ τὸν εἰρημένον τρόπον παραδεδομένα. δι' ὧν οἱ τελέμενοι μεταλαμβάνουσι τῆς ἐπουρανίου δωρεᾶς. Οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι πάντων τῶν Μυστηρίων τούτων, οἷόν τι ποιητικὸν καὶ ἀρχικὸν αἴτιον, τὸ Τιμιόν ἐστι καὶ Ἁγιώτατον πάθος τοῦ Κυρίου ἡμῶν. ἐξ οὗ ἢ δι' ὃ τοῖς μετέχουσιν ἡ χάρις πηγάζεται. Τίς δὲ ὁ λόγος, ἄλλης ἐστὶ σχολῆς καὶ προθέσεως, καὶ ἐ τῆς παρούσης πραγματείας, ἐν ἄλλοις ἐχούσης τὸν σκοπόν.

ligata fore etiam in cœlo: & quæcunque solluerit in terra, soluta fore in cœlo. Cum autem quæreret Petrus: quoties remittere deberet peccantibus, num septies, (in quo nescio quid magni facturum se, ille putabat) Respondit Dominus, non septies, sed septuagies septies. § Olei vsum fortè verisimile est, ab aliquo etiam alio Apostolo traditum esse, manifestè certe à S. Apostolo Iacobo in Catholica Epistola perhibetur, his verbis: Fratres, mala patitur aliquis inter vos? oret. Bono animo est aliquis? Psallat. Aegrotat aliquis? accersat sacerdotes, qui orent pro ipso, vngentes eum oleo. Ac precatio à fide profecta seruabit ægrotum: &, si peccata commiserit, remittentur ei. Hæc illius traditio est: quæ ab illo inde tempore ad nos vsque obseruatur. Hæc sunt illa Ecclesiæ Sacramenta, hoc numero & modo tradita: quibus qui initiantur, donum cœleste accipiunt. Sciendum verò est, omnium horum Mysteriorum, quandam quasi efficientem principalemque causam, preciosam & sanctissimam Domini nostri passionem esse: ex qua, aut per quam, iis, qui participes fiunt gratia scaturit. Cuius rei, quæ sit ratio: alius temporis & propositi, nec præsentis instituti & scopi est.

ΚΕΦΑΛ. ή.

Ὅτι ἐν τῇ Ἐκκλησίᾳ, καὶ Φαῦλοι.

Τὸ ὄγδοον μαρτύρεται, ὅτι συλλόγε ἔσης τῆς Ἐκκλησίας τῶν πιστῶν καὶ ἁγίων,

CAP. VIII.

In Ecclesia bonis admixtos esse malos.

In octavo capite dicitur: cum Ecclesia sit congregatio fidelium & sanctorum:

si

ἁγίων, ἐὰν διὰ φαύλων καὶ ὑποκριτῶν ὑπηρετῶνται τὰ Μυστήρια, κατ' οὐδὲν βλάπτει τὸν ἁγιαζόμενον, κατὰ τὸ, ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Φαρισαῖοι, καὶ τὰ λοιπά· φαμὲν ἓν καὶ αὐτοὶ, εἰ καὶ δι' ἀναξίων ὑπηρετῶνται τὰ Μυστήρια, καὶ αὐτοὶ οὐδὲν ὠφελῶνται, μᾶλλον δὲ βλάπτονται, ἀλλ' οἱ λαμβάνοντες ἁγιάζονται καὶ ὠφελῶνται. ἡ γὰρ Θεία Χάρις, καὶ δι' ἀναξίων ὑπηρετῶν ἐνεργεῖ, καὶ τὰ Μυστήρια τελεῖ. Τιμητέον ἓν τοὺς ὑπηρετῶντας ταῦτα, καὶ μὴ τῇ προφάσει τῶν ὑποκριτῶν (καὶ Ἰούδας ἦν γὰρ ἐν Ἀποστόλοις) καταφρονητέον καὶ τοὺς ἀγαθούς. Ὁ γὰρ θεῖος Χρυσόστομος, ἐξηγέμενος τὴν πρὸς Τιμόθεον, φησίν. Ὁ τιμῶν Ἱερέα, καὶ τὸν Θεὸν τιμήσει. Ὁ δὲ μαθὼν Ἱερέως καταφρονεῖν, οὐδῶ προβαίνων, καὶ εἰς τὸν Θεὸν ὑβρίσει ποτέ. ὁ δεχόμενος ὑμᾶς, φησίν, ἐμὲ δέχεται, καὶ τὰ ἑξῆς. Ἀλλὰ καὶ, τοὺς Ἱερέας αὐτῶ ἐντίμους ἔχε, γέγραπται. Ἐντεῦθεν ἔμαθον Ἰουδαῖοι, τῷ Θεῷ καταφρονεῖν, ὅτι Μωσέως κατεφρόνησαν, ὅτι αὐτὸν ἐλίθαζον. ὅταν γὰρ πρὸς τὸν Ἱερέα τὶς ἐυλαβῶς διατεθῇ, πολλῶ μᾶλλον πρὸς τὸν Θεὸν. Κἂν δὲ ὁ Ἱερεὺς φαῦλος ᾖ, ὁ Θεὸς ὁ ὁρῶν, ὅτι διὰ τὴν πρὸς αὐτὸν τιμὴν, καὶ τὸν ἐκ ἄξιον τιμῆς θεραπεύεις, αὐτὸς ἀποδώσει σοι τὴν ἀμοιβήν. Ὁ δεχόμενος γὰρ Προφήτην (Ματθ. κεφ. ι.) εἰς ὄνομα Προφήτου, μισθὸν Προφήτου λήψεται. Καὶ ὁ ἕικων καὶ ὑπακόων τῷ Ἱερεῖ, καὶ τιμῶν αὐτὸν διὰ τὸν Κύριον, ἐυλογηθήσεται.

Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν, καὶ τὰ λοιπά. ἐκ οἶδας φησὶ (Χρυσος.) τί ἐστιν Ἱερεύς; Ἄγγελος Κυρίου ἐστί. Μὴ γὰρ τὰ

si à malis & hypocritis administretur Sacramenta: nihil inde noceri ei, qui sanctificetur. Ratio adfertur hæc. In Cathedra Mosis sederunt Pharisæi, & cætera. Affirmamus & nos etiamsi ab indignis peragantur mysteria: nihilque ipsi inde inventur, sed potius damno afficiantur: tamen eos, qui accipiant, sanctificari & iuvari. Nam etiam per indignos ministros gratia divina est efficax, & mysteria perficit. Honorandi ergo sunt horum administri: nec prætextu, quòd aliqui sint hypocritæ (nam inter Apostolos Iudas quoque fuit) contemni etiam bonos oportet. Nam D. Chrisostomus in Enarratione Epistolæ ad Timotheum ait: qui sacerdotem honorat, etiam Deum honorat, Qui sacerdotem contemnere didicit: tandem etiam Deum contumelia afficiet: qui vos recipit, inquit, me recipit, &c. Etiam sacerdotes eius, (inquit) in honore habe. Hinc factum est, vt Iudæi contemnerent: quia scilicet Moysem contempserunt: quem lapidibus obruere volebant. At si quis de Sacerdote pie senserit: multò magis de Deo. Etiamsi Sacerdos improbus fuerit: tamen Deus videns, illum, quia se honores, à te, licet honore non dignum honorari, ipse tibi gratiam referet. Qui enim prophetam sub nomine prophetæ recipit, mercedem prophetæ accipiet. Et qui cedit & obedit Sacerdoti, eumque propter Dominum honorat: is benedictionem consequetur.

In cathedra Mosis sederunt &c.) Nescis inquit Chrysostomus, quis sit Sacerdos? Nuncius Domini est. Num ille sua

τὰ ἑαυτῦ λέγει; εἰ καταφρονεῖς αὐτῦ, ἢ καταφρονεῖς τέτε, ἀλλὰ τὲ χειροτονήσαντος αὐτὸν Θεῦ. καὶ πόθεν δῆλον, ὅτι ὁ Θεὸς αὐτὸν ἐχειροτόνησεν; εἰμὴ ταύτην ἔχεις τὴν πίστιν καὶ ὑπόληψιν, ἡ ἐλπίς σε κενέωται. Εἰ γὰρ μηδὲν ὁ Θεὸς ἐνεργεῖ δι' αὐτῦ, ἔτε Λετρὸν ἔχεις, ἔτε Μυστηρίων μετέχεις, ἔτε εὐλογιῶν ἀπολαύεις. ἐκ ἄρα χρισιανὸς εἶ. τί ἔν, πάντας ὁ Θεὸς χειροτονεῖ, καὶ τὲς ἀναξίες; πάντας μὲν ὁ Θεὸς ἀ χειροτονεῖ, διὰ πάντων δὲ αὐτὸς ἐνεργεῖ, εἰ καὶ αὐτοὶ εἶεν ἀνάξιοι, διὰ τὸ σωθῆναι τὸν λαόν. Εἰ γὰρ δι' ὄνε, καὶ διὰ Βαλαὰμ, μιαρῦ ἀνθρώπε, τῦ λαῦ ἕνεκα, ἐλάλησε, πολλῶ μᾶλλον διὰ τῦ Ἱερέως; Τί γὰρ ἀ ποιεῖ ὁ Θεὸς τῆς σωτηρίας ἕνεκα τῆς ἡμετέρας; τὶ ἀ φθέγγεται; διὰ τίνος ἐκ ἐνεργεῖ; Εἰ διὰ τῦ Ἰέδα ἐνήργησε, καὶ διὰ τῶν προφητευσάντων, οἷς φησιν, ἐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. εἰ ἔν τοιῦτοι καὶ δαίμονας ἐξέβαλον, πολλῶ μᾶλλον διὰ τῶν Ἱερέων ἐνεργήσει; Ἐπεὶ εἰ μέλλοιμεν τὲς βίες ἐρευνᾶν, τῶν τοιέτων, αὐτοὶ εἶναι μέλλοιμεν χειροτονηταὶ τῶν διδασκάλων, καὶ τὰ ἄνω κάτω γίνεται, ἡ κεφαλὴ κάτω καὶ οἱ πόδες ἄνω. Ἄκυε Παύλε λέγοντος, (Κορινθ. κεφ. δ'.) ἐμοὶ εἰς ἐλάχισόν ἐσιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ἀπὸ ἀνθρωπίνης ἡμέρας. Καὶ πάλιν, σύ τί κρίνεις τὸν ἀδελφόν σε; εἰ τὸν ἀδελφὸν ἀ δεῖ κρίνειν, πολλῶ μᾶλλον τὸν διδάσκαλον. Εἰ μὲν γὰρ τῦτο ἐπέταξεν ὁ Θεὸς, καλῶς ποιεῖς, καὶ ἁμαρτάνεις μὴ ποιῶν. Εἰ τἐναντίον, μὴ τόλμα, μηδὲ ὑπὲρ τὰ ἐσκαμμένα ἐπιχείρει. Τῷ Ἀαρὼν μετὰ τὴν μοχοποιΐαν ἐπανέςησαν οἱ περὶ Κορὲ, καὶ

dicit? Si contemnis hunc: non contemnis ipsum, sed, qui eum designauit, Deum. Vnde patet (objicit adversarius) eum à Deo designatum esse? Si non credis hoc, nec hanc existimationem habes de ipso: spes tua vana est. Si enim Deus nihil per ipsum operatur: tum nec lavacrum habes, nec mysteria participas, nec benedictionibus frueris. Non ergo Chtistianus es. Quid igitur? Omnes Deus designat, etiam indignos? Non omnes, ille quidem designat: per omnes tamen quamuis indignos, ad salutem populi operatur. Si enim per asinam, & per Baleamum, hominem sceleratum, populi causa locutus est: quantò magis per Sacerdotem? Quid enim Deus non salutis nostræ causa facit? Quid non loquitur? per quod non agit? Si per Judam operatus est: & per illos, qui prophetarunt: quibus ait, non novi vos: recedite à me vos operarii iniquitatis: Si tales etiam Dæmonia eiecerunt: quanto magis per Sacerdotes efficax erit? Quòd si in vitam inquirere velimus talium: ipsi esse volemus designatores Doctorum Ecclesiæ: Et superiora vertuntur deorsum: caput deorsum, pedes sursum. Audi Paulum dicentem: Mihi pro minimo est, à vobis in me inquiri, aut à die humano. Et: tu quid iudicas fratrem tuum? si frater non est iudicandus, multò minus Doctor. Si enim Deus hoc mandavit: bene facis, si facis: & peccas, si non facis. Sin autem contrarium: ne aude, nec septa transilire aggredere. In Aaronem post vituli fabricationem, insurrexit Core, Dathan, & Abiron. Quid secutum? Nonne

καὶ Δαθὰν, καὶ Ἀβειρών. Τί ἔν, ἐκ ἀπώλοντο; ἕκαστος ἓν τὰ ἑαυτῦ μεριμνάτω. Ἐι γὰρ δόγμα ἔχει διεστραμμένον, κἂν Ἄνγελος ᾖ, μὴ πείθε. Ἐι δὲ ὀρθὰ διδάσκει, μὴ τῷ βίῳ πρόσεχε, ἀλλὰ τοῖς ῥήμασιν. Ἔχεις Παῦλον καὶ δι' ἔργων καὶ διὰ λόγων ῥυθμίζοντάσε πρὸς τὸ δέον. Ὄυ δίδωσι τοῖς πένησί, φησιν, ὐδὲ καλῶς διοικεῖ. Πόθεν σοι τῦτο δῆλον πρὶν ἢ μάθῃς, μὴ μέμψῃ. Φοβήθητι τὰς ἐυθύνας. πολλὰ ὑπὸ ὑπονοίας κρίνεται. μίμησαί σε τὸν Δεσπότην, καὶ ἄκσε ἀυτῦ λέγοντος. (Γενεσ. κεφ. ιη.) καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν ἀυτῶν συντελῦνται, εἰ δὲ μὴ, ἵνα γνῶ. Ἐι δὲ κατέμαθες καὶ ἐξήτασας, καὶ εἶδες, ἀνάμεινε τὴν κρίσιν, μὴ προσαρπάσῃς τῦ Χριστῦ τὴν τάξιν. Ἐκείνε ταῦτά ἐσιν ἐξετάζειν, ὐ σῦ. Σὺ δῦλος εἶ ἔχατος, ὐ Δεσπότης. σὺ πρόβατον εἶ, μὴ περιεργάζε τὸν ποιμένα, ἵνα μὴ καὶ ἐκείνε κατηγορῶν, ἐυθύνας δῶς. καὶ πῶς ἐμοὶ λέγει, ἀυτὸς ὐ ποιῶν; ἐκ ἀυτός σοι λέγει. εἰ ἀυτῷ πείθῃ, μισθὸν ἐκ ἔχεις. Ὁ Χριστός σοι ταῦτα παραινεῖ. καὶ τί λέγω. ὐδὲ Παύλῳ πείθεσθαι χρὴ, ἂν τι ἴδιον λέγῃ, ἂν τι ἀνθρώπινον, ἀλλὰ τῷ Ἀποστόλῳ τῷ τὸν Χριστὸν ἔχοντι λαλῦντα ἐν ἑαυτῷ. Μὴ κρίνωμεν τὰ ἀλλήλων, ἀλλὰ τὰ ἀυτῦ ἕκαστος, ἐξέτασόν σε τὸν βίον καλῶς. ἀλλ' ἐκεῖνος ὀφείλει μὲ βελτίων εἶναί φησι. διὰ τί; ὅτι Ἱερεύς ἐσι. καὶ τί σε πλέον ἐκ ἔχει; ἐχὶ τὸς μόχθος; ἐχὶ τὸς κινδύνος; ἐχὶ τὴν ἀγωνίαν; ἐχὶ την ταλαιπωρίαν; κλέπτει καὶ ἱεροσυλεῖ· πόθεν οἶδας; τίνα τὰ κρημνῶν ὠθεῖς σαυτὸν; ἀπονοίας ταῦτα τὰ ῥήματα. Ἂν εἴπῃ τίς, ὅτι ὁ δεῖνα πορφύραν ἔχῃ, κἂν εἰδὼς ἦς, ἀποφράττεις τὰ ὦτα. Ἐν-

Nonne perierunt? Quiſque ergo ſua curet, Si dogma perverſum affert: ne obedi, licet angelus fuerit. Sin recta docet: vitam ne reſpice, ſed verba. Habes Paulum: quia & factis & verbis ad omne te officium informare poteſt. Nihil dat pauperibus (inquit) nec rectè officio praeeſt? vnde tibi de hoc conſtat? priuſquam cognoſcas, ne reprehende: metue rationes Iudici dandas. Multa ſuſpicione, non veritate, Iudicamus. Imitare tuum Dominum: audi, quid dicat. Deſcendens viſam: num vera fuit, quæ fama de ipſis adfert. Sin minus, vt cognoſcam, Quòd ſi indagatione cognoviſti, & vidiſti: expecta iudicium: ne præripe ordinem Chriſto. Illius eſt, hæc inquirere, non tuum. Tu poſtremus ſervorum es, non Dominus. Ovis tu es: ne curioſe paſtorem excute: vt ne rationes illius accuſati reddere cogaris. At mihi dicit ea, quæ ipſæ non facit? Non ipſe dicit. Si ipſi obedis: mercedem non habes. Chriſtus eſt, qui hæc te monet. Quid, quòd ne Paulo quidem obediendum eſt: ſi quid de ſuo adferat, ſi quid ex ingenio humano? Apoſtolo obediendum eſt, qui Chriſtum habet, in ipſo loquentem. Ne iudicemus alter de alterius rebus: ſed de ſuis ipſius quiſque. Examina vitam tuam probè. At debet ille melior me eſſe? Cur? Quia Sacerdos eſt. Ad quid eſt: in quo te non ſuperet? An non laboribus? An non periculis? An non anxietate? An non ærumnis? At furatur, & ſacrilegus eſt. Vnde ſcis? Cur ipſe te in præcipitium dejicis? Vecordiæ iſta verba ſunt. Si quis dicat: ille pur-

ταῦθα δέ, τί ἀναδέχη τὸν κίνδυνον; Ταῦτα τὰ ῥήματα ἐκ εἰσὶν ἀνεύθυνα. Ἄκουε τοῦ Χριστοῦ λέγοντος. (Ματθ. κεφ. ιε.) „λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ „ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσι πε„ρὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ὅλως οἴει τινὸς βελτίων εἶναι; ὃ στενάζεις, ὃ δὲ κόπτεις τὸ στῆθος, ὃ δὲ κάτω κύπτεις, ὃ δὲ μιμᾷ τὸν τελώνην; ἐκ ἐν ἀπώλεσας σαυτὸν, κἂν βελτίων ἦς. Βελτίων εἶ; σίγα, ἵνα μένῃς βελτίων. ἂν δὲ εἴπῃς, ἐκένωσας τὸ πᾶν. ἐξέτασόν σε τὸν βίον. Σὺ περὶ τοῦ Ἱερέως λέγεις, ὅτι ἐκ εἰμὶ ὡς ἐκεῖνος, ἱερόσυλος. Καὶ ὃ πάντα κενοῖς; ταῦτα δὲ, (φησὶν ὁ χρυσόστομος) λέγειν ἀναγκάζομαι, ἐκ ἐπειδὴ ἐκείνων μοὶ μέλει τοσοῦτον, ἀλλ' ἐπειδὴ περὶ ὑμῶν δέδοικα, μὴ κενώσητε ὑμῶν τὴν ἀρετὴν διὰ τῆς καταχρήσεως. Ἄκουε τοῦ Παύλου. (Γαλ. κεφ. ϛ'.) τὸ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει. Εἰπέ μοι, ἂν εἰς ἰατρεῖον ἔλθῃς, τραῦμα ἔχων, ἀφεὶς τὸ θεραπευθῆναι, περιεργάζῃ τὸν ἰατρὸν, εἴτε ἕλκος ἔχει, εἴτε ἐκ ἔχει; μὴ γὰρ, ἂν ὁ Ἱερεὺς ᾖ κακὸς, ἔσαι παραμυθία τῷ ἀρχομένῳ; ἐδαμῶς. ἀλλὰ δώσει μὲν ἐκεῖνος δίκην τὴν ὡρισμένην. δώσεις δὲ καὶ αὐτὸς τὴν πρέπουσαν. τίνος ἕνεκεν, φησὶ, προκάθηται; Μὴ λέγωμεν (παρακαλῶ) τοὺς Ἱερεῖς κακῶς, ἵνα μὴ κακῶς τὰ ἡμέτερα διαθῶμεν. Ἐξετάσωμεν δὲ ἑαυτοὺς, ἵνα κακολογῶντες. Αἰδεσθῶμεν τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἡμᾶς ἐκεῖνος ἐφώτισεν. ἂν πατέρα τὶς ἔχῃ, κἂν μυρία ἔχῃ δεινὰ, πάντα συσκιάζει. πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν; αἰδέσθητι ὅτι καθ' ἑκάστην ἡμέραν διακονεῖ, ἀναγινώσκεθαί σοι ποιεῖ τὰς γραφὰς, διά σε κοσμεῖ τὸν τοῦ Θεοῦ οἶκον

puram ſubtraxit: tu licet ſcias, obturas aures: Cur hìc ergo ſuſcipis peri ulum? Non effugient iſta verba rationes Audi „Chriſtum: Dico vobis inquit, de omni „verbo ocioſo, quod dixerint homines, „reddituros rationem in die Iudicii. Omninòne putas te vllo meliorem eſſe? Non gemis? Non frontem feris? Non oculos dejicis? Non publicanum imitaris? Ergo te perdidiſti, etſi melior es. Melior es? Tace, vt maneas melior. Si dixeris, vertiſti totum. Exquire tuam vitam. Tune de Sacerdote dicis: Non ſum ego, qualis ipſe, Sacrilegus? Non tum omnia vertis? Hæc (inquit Chryſoſtomus) dicere cogor: non quòd ego talia convicia curem: ſed quia vobis timeo: ne in vacuum effundatis veſtram virtutem, condemnatione ita inconſiderata. Audi Paulum: opus ſuum „(inquit) probet vnusquisque: nunc in ſe ſolo gloriationem habebit. Dic mihi, ſi in officinam chirurgi vulneratus venis: minimè tum omiſſa tui curatione, ludibundus, ex chirurgo quæris, num is vlcus habeat, nec ne? An ne, ſi Sacerdos fuerit malus, ideo peccanti excuſatio erit? Nequaquam, ſed dabit ille ſane pœnas Deo iuſtè irroganti: dabis verò & tu condignas. Cur igitur (inquis) Eccleſiæ præeſt? Obſecro, ne malè de Sacerdotibus loquamur: ne malè noſtris rebus conſulamus. Ipſos potius nos examinemus, nec alios inſectemur. Revereamur diem illum, quo ille nos illuminauit. Si quis partem habet: vicia eius etiamſi ea innumera ſint, tegit: Quantò magis in rebus ſpiritualibus? Reverentia proſequere ſacerdotem: quod

κον, διὰ σὲ ἀγρυπνεῖ, εὔχεται, ὑπὲρ σοῦ ἕστηκε τὸν Θεὸν παρακαλῶν. Ἐπίμοι φαῦλος ἐστι, καὶ τί τοῦτο; ὁ γὰρ μὴ φαῦλος, αὐτός σοι χαρίζεται τὰ μεγάλα ἀγαθά; ἐδαμῶς. Πρὸς τὴν πίστιν τὴν σὴν τὸ πᾶν ἐνεργεῖται. Οὔτε δίκαιος ὠφελήσει τι, μὴ ὄντος σοῦ πιστοῦ, ἔτε ὁ φαῦλος βλάψει τι, ὄντος σε πιστοῦ. Διὰ βοῶν ἐνήργησεν ὁ Θεὸς ἐπὶ τῆς κιβωτοῦ, ὅτε ἐβέλετο σῶσαι τὸν λαὸν αὐτοῦ. Μὴ γὰρ ὁ βίος τοῦ Ἱερέως, μή γὰρ ἡ ἀρετὴ τοσοῦτον συντελεῖ; ἐκ ἔστι ταῦτα, ἃ χαρίζεται ὁ Θεὸς, ὡς ὑπὸ ἱερατικῆς ἀρετῆς ἀνύεσθαι. Τὸ πᾶν τῆς χάριτός ἐστι. τότε ἐστὶν ἀνοῖξαι τὸ στόμα, τὸ δὲ πᾶν τοῦ Θεοῦ, σύμβολον ἔτος πληροῖ μόνον. ἐννόησον τὸ μέσον τοῦ Ἰωάννου καὶ τοῦ Ἰησοῦ. καὶ ἄκουε Ἰωάννου. ἐγὼ χρείαν ἔχω ὑποσοῦ βαπτισθῆναι, ὅμως τὸ πνεῦμα κατηνέχθη, ὅπερ ἐκ εἶχεν Ἰωάννης. Οὐ μὴν ἐδὲ Ἰωάννης ἐποίησε κατενεχθῆναι. τί ἓν τοῦτο; ἵνα μάθῃς, ὅτι σύμβολον ὁ Ἱερεὺς πληροῖ, τὸ πᾶν δὲ ὁ Θεὸς ἀπεργάζεται. ἡ προσφορά ἡ αὐτή ἐστι, κἂν ὁ τυχὼν προσενέγκῃ, κἂν Παῦλος, κἂν Πέτρος, ἡ αὐτή ἐστιν, ἣν ὁ Χριστὸς τοῖς μαθηταῖς ἔδωκε, καὶ ἣν νῦν οἱ Ἱερεῖς ποιοῦσιν. Οὐδὲν αὕτη ἐλάττων ἐκείνης, ὅτι καὶ ταύτην ἐκ ἀνθρωποι ἁγιάζουσιν, ἀλλὰ Θεός. Ὁ δὲ νομίζων, τοῦτο ἔλαττον ἐκεῖνο εἶναι, ἐκ οἶδεν, ὅτι ὁ Χριστὸς καὶ νῦν πάρεστι καὶ νῦν ἐνεργεῖ. ταῦτα τοίνυν εἰδότες, ἐδὲ γὰρ ἁπλῶς ἡμῖν ταῦτα πάντα εἴρηται, ἀλλ' ἵνα διορθώσωμεν τὴν γνώμην καὶ ἀσφαλίσωμεν, πολλὴν τῶν εἰρημένων τὴν φυλακὴν ἐπιδείξασθε. ἂν δὲ ἀεὶ μὲν ἀκούωμεν

quòd quotidie tamen tibi ſeruit. Facit, vt tibi recitentur ſcripturæ: propter te ornat Dei domum: tua cauſa vigilat, precatur: propter te ſtans, Deum adhortatur. At malus eſt? Quid tum? An ne, qui maliciæ expers eſt, tibi magna illa dona confert? Minimè. In tua fide omnia vertuntur: quæ ab eo geruntur. Neque ſi iuſtus ſit, ille proderit, ſi tu non ſis fidelis: neque ſi malus, incommodabit, ſi tu fidem habeas. Boum opera vſus eſt ad arcam: cùm vellet ſuum populum conſervare. Num ne vita Sacerdotis, num virtus, tantopere conducit? Nequaquam ſacerdotis probitate perficiùntur hæc, quæ Deus donat. Totum verò id à gratia proficiſcitur. Illius quidem eſt, os ſuum aperire, reliquum verò, omne Dei. Symbolum hic tantùm implet: hoc eſt, non plus, quàm ipſi commiſſum eſt, confert. Cogita diſcrimen inter Ioannem & Ieſum: audi Ioannem. Ego (inquit) à te Baptizari opus habeo. Deſcendit ſpiritus quem non habebat Ioannes. Nec Ioannes, vt ille deſcenderet, effecit. Quid hoc ſibi vult? vt ſcias, ſymbolum impleri à ſacerdote: totius verò negotii effectionem, penes Deum eſſe. Oblationis eadem ratio eſt, ſive gregarius ſacerdos offerat, ſive Paulus, ſiue Petrus. Eadem eſt, & quam Chriſtus Diſcipulis obtulit, & quam nunc ſacerdotes peragunt. Nihil illi hæc cedit: quia nec hanc homines conſecrant, ſed Deus. Qui verò putat, hanc illa inferiorem eſſe: is ignorat, Chriſtum etiam nunc efficacem eſſe. Hæc igitur cùmſciatis, (neque enim fruſtra à nobis omnia dicta ſunt, ſed vt corrigamus opinionem & cautiores fiamus) diligenter

apud

πράττωμεν δὲ μηδέποτε, ἐδὲν ἡμῖν ὄφελος ἔσαι τῶν λεγομένων. Προσέχωμεν τοίνυν ἀκριβῶς, προσέχωμεν τοῖς λεχθεῖσι μετ' ἐπιμελείας. ἀπογράψωμεν αὐτὰ τὰ κακῶς λεγόμενα ἀφ' ἡμῶν, ἔχωμεν δὲ κεκολαμμένα τῷ συνειδότι τὰ καλὰ, καὶ διηνεκῶς μνημονεύοντες, καὶ ὀρθῶς ἐκτελοῦντες, κατὰ τὴν Θείαν τῶν Πατέρων ἔγγραφόντε καὶ ἄγραφον ἀγαθήν παράδοσιν, δόξαν ἀναπέμποντες τῇ Μακαρίᾳ Τριάδι, ἀμήν.

apud animos veſtros reponite. Quod ſi ſemper auditores ſimus, nihil vero faciamus: nihil vtilitatis ex adhortationibus accedet. Attendamus igitur accurate: attendamus, quæ dicta ſunt, diligenter: Expurgemus ex animo, quæ male dicuntur: inſculpta animo habeamus, quæ recta ſunt: perpetuo memoria retineamus, fideliterque faciamus: ſecundum bonam & ſanctam Patrum, tum ſcriptam, tum non ſcriptam, traditionem: ad beatæ Trinitatis honorem, Amen.

ΚΕΦΑΛ. Θ'.

Περὶ Βαπτίσματος.

Τὸ ἔνατον λέγει, ὅτι δεῖ βαπτίζεσθαι τὰ βρέφη, καὶ μὴ καιρὸν περιμένειν. ὃ δὴ καὶ ἡμεῖς ἕτω ποιοῦμεν, ἵνα μή τι συμβῇ τῇ ἀναβολῇ. πλὴν καθὼς μερικῶς ἐσαφηνίσθη ἐν τῇ τοῦ δευτέρου κεφαλαίου ἀπολογίᾳ. Ἐὰν γὰρ μή τις ἀναγεννηθῇ δι' ὕδατος καὶ πνεύματος, ὁ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. μεταδίδομεν δὲ αὐτοῖς ὕστερον, ὡς εἴρηται, τῆς θείας κοινωνίας. Κατὰ γὰρ τὸν μέγαν Βασίλειον, ὃς ἀναγεννηθῇ, καὶ Πνευματικῆς τροφῆς δεῖται. καὶ ὁ Κύριος, ἐὰν μὴ φάγητε τὴν σάρκα, καὶ πίητε τὸ αἷμα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. δεῖ ἓν καὶ ἀμφοτέρων, καὶ βαπτίσματος, καὶ μεταλήψεως.

CAPVT IX.

De Baptiſmo.

In nono dicitur, Baptizandos eſſe infantes, nec adultiorem ætatem expectandam eſſe. Hoc apud nos quoque fit: vt ne quid accidat, re dilata. Veruntamen ita, vt in ſecundi capitis apologia particulatim declaravimus. Niſi enim aliquis regeneretur aqua & ſpiritu: non ingredietur Regnum cœlorum. Poſterius impertimur eis, vt dictum eſt, divinam communionem. Nam vt D. Baſilius ait, qui regeneratus eſt, ſpirituali quoque nutrimento indiget. Et Dominus: niſi comederitis carnem meam, & biberitis ſanguinem: non intrabitis regnum Dei. Vtroque igitur opus eſt, & Baptiſmate & participatione.

ΚΕΦΑΛ. ί.

Περὶ τοῦ κυριακοῦ δείπνου.

Τὸ δέκατον περὶ τοῦ Κυριακοῦ δείπνου διαλαμβάνει, πλὴν οὐκ εἰς πλάτος, ἀλλ' ἀσαφῶς πῶς εἰπεῖν. πολλὰ γὰρ ἀκέε-

CAPVT X.

De Cœna Domini.

Decimum caput, de cœna Domini loquitur: non tamen fuſe ſed aliquanto (liceat dicere) obſcurius. Multa enim de

ἀκέραιαι τέτε ἕνεκα παρ' ὑμῖν, ἡμῖν ἀπαρέσκονται. Δοξάζει ἓν ἡ Καθολικὴ Ἐκκλησία, ὅτι μετὰ τὸν ἁγιασμὸν, ὁ μὲν ἄρτος, μεταβάλλεται εἰς αὐτὸ τὸ σῶμα τῦ Χριστῦ. ὁ δὲ οἶνος εἰς αὐτὸ τὸ αἷμα, διὰ Πνεύματος Ἁγίε. ἐνζύμε ὄντος δηλαδὴ τῦ ἄρτε, καὶ ἐκ ἀζύμε. Ὁ γὰρ Κύριος τῇ νυκτὶ ᾗ παρεδίδοτο, λαβὼν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε, λάβετε, φάγετε. ἐκ εἰπὼν τῦτό ἐστιν ἄζυμον, ἢ τύπος τῦ σώματος, ἀλλὰ, τῦτό ἐστι τὸ σῶμά με, καὶ τὸ αἷμά με ἔτε μὴν τότε δοθείσης τῆς σαρκὸς τῦ Κυρίε, ἣν ἐφόρει, εἰς βρῶσιν τοῖς Ἀποστόλοις, καὶ τῦ αἵματος εἰς πόσιν, ἢ νῦν ἐν τῇ Θείᾳ Μυσταγωγίᾳ καταβαίνοντος τῦ Κυριακῦ Σώματος ἐξ ἐρανῦ. (βλάσφημον γὰρ,) ἀλλὰ καὶ τότε καὶ νῦν μεταποιεμένε ἢ μεταβαλλομένε, τῇ ἐπικλήσει καὶ χάριτι τῦ παντοδυνάμε καὶ τελεταρχικῦ Πνεύματος, διὰ τῶν θείων ἢ ἱερῶν εὐχῶν καὶ λογίων, τῦ μὲν ἄρτε εἰς αὐτὸ τὸ τῦ Κυρίε Σῶμα, τῦ δὲ οἴνε, εἰς αὐτὸ τὸ τῦ Κυρίε Αἷμα. Ὁ ἄρτος γάρ φησιν, ὃν ἐγὼ δώσω, ἡ σάρξ με ἐστὶν, ἁγιάζεσα πάντας τὲς πιστὲς, καθάπερ καὶ αὐτὸς μεταλαχὼν τῦ ἡμετέρε φυράματος, Θεάνθρωπος ἐγένετο, καὶ ἡμῖν σαρκὸς καὶ αἵματος κεκοινώνηκεν, ἕτω καὶ ἡμεῖς μεταλαμβάνοντες τῦ σώματος αὐτῦ καὶ τῦ αἵματος, θέσει ἢ χάριτι Θεοὶ χρηματίσωμεν. ἀ τύπος λοιπὸν ἢ ἄζυμον ὁ ἄρτος τῦ Κυριακῦ Σώματος, ὁ ὑπὸ τῦ Ἱερέως μυσταγωγέμενος, ἀλλ' ἔνζυμον, καὶ αὐτὸ τὸ τῦ Κυρίε Σῶμα, ὡς αὐτὸς περὶ ἑαυτῦ ἀποφαίνεται, ὡς μερικῶς ἐδηλώθη. Σαφηνισθήσεται δὲ καὶ τῦτο, ἢ τὸ περὶ τῆς ἐκπορεύσεως τῦ Ἁγίε Πνεύματος, ἢ λοιπῶν ἄλλων, ἐν τῷ οἰκείῳ

de illa audiuntur apud vos, quæ nobis displicent. Statuit, igitur Catholica Ecclesia: mutari, consecratione facta, panem quidem in ipsum corpus Christi: vinum vero in ipsum sanguinem ejus, per Spiritum S. qui panis fermentatus scilicet sit, non autem infermentatus. „Dominus enim illa „nocte qua tradebatur, accepit panem, gra„tias egit, fregit, ac dixit: Accipite, co„medite. Non dixit, hoc est azymum, aut „typus corporis: sed, hoc est corpus „meum: &, hic est Sanguis meus. Nec data est tunc caro Domini, quam gestabat, Apostolis comedenda, neque sanguis bibendus: nec etiam nunc in sacro hoc ritu descendit Dominicum corpus de cœlo, (blasphemia enim hæc esset) sed & tunc & nunc invocatione & gratia omnipotentis illius sacrorum rituum antistitis Spiritus sacrarum precationum, & divinorum oraculorum interventu, panis quidem in ipsum Domini corpus, vinum vero in ipsum Domini sanguinem, convertitur & transmutatur. Panis enim (inquit) quem ego dabo, caro mea est, sanctificans omnes fideles: vt quemadmodum ipse participata nostra conspersione massaque Deus, homo factus est: & nostram carnem ac sanguinem secum communicavit: ita nos vicissim participantes corpus & sanguinem ejus gratia & adoptione Dii appellemur. Non igitur typus est, aut azymum quiddam, Dominici corporis panis, qui a Sacerdote rite administratur: sed fermentatum, adeoque ipsum Domini corpus: sicut ipse de se pronunciat, quemadmodum particulatim indicatum est. Explicabitur vero, tum de hoc, tum de progressione Spiritus, tum de

οἰκείῳ τόπῳ πλατύτερον, ἀπολογέμενοι πρὸς τὸν ὑμέτερον λόγον, τὸν φάσκοντα, ὅτι συμφωνεῖτε Λατίνοις, διαφωνία δὲ μόνη ὑμῖν καὶ αὐτοῖς περί τινων ὧν λέγετε καταχρήσεων.

aliis rebus, ſuis in locis latius: quando reſpondebitur ad illud, vbi dicitis: vos conſentire cum latinis: tantum vero in quibusdam abuſibus ab illis diſſentire.

ΚΕΦΑΛ. ιά.

Περὶ ἐξομολογήσεως.

Τὸ ἑνδέκατον, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τῷ ἐξομολογεμένῳ, διὰ τῆς οἰκονόμε τῶν Μυςηρίων γίνεθαι διαγορεύει, πλὴν ἐκ ἀνάγκη πάντα λέγειν, καὶ κατ' εἶδος ἀπαριθμεῖν, κατὰ τὸ, ἁμαρτήματα τίς συνήσει; Λέγομεν τοίνυν ἀποκρινόμενοι, Ὅτι πρῶτον μὲν ὁ τοιῦτος οἰκονόμος ὀφείλει εἶναι πνευματικὸς ἰατρὸς, ἀκριβῶς ἐπιςάμενος τὰ πνευματικά. εἶτα ὁ ἐξομολογέμενος, εἰς ὅσα δυνηθῇ καὶ ἐνθυμηθῇ, κατ' εἶδος εἰπεῖν καὶ ἐξομολογήσαθαι, μετὰ συντετριμμένης καρδίας καὶ τεταπεινωμένης, λαμβάνει τὴν ἴασιν, ἐργαζόμενος δηλαδὴ τὰ ἀντίθετα οἷς ἔπραξεν ἁμαρτήμασιν. οἷον ἐὰν ὑπερηφανεύσατο, ἵνα τῇ ταπεινώσει διορθωθῇ, εἰ δὲ ἠχρεκέρδησεν, ἵνα ἀποδῶ ὅσα ἀδίκως ἔλαβε, καὶ ἐκ τῶν οἰκείων ἔτι. καὶ ἐν τοῖς λοιποῖς, κατὰ τὸν κανόνα τὸν τεταγμένον, καὶ τοῖς πατράσι διωρισμένον. ὃς ὀφείλει εἶναι κατὰ Θεὸν, καὶ ἐχι διὰ μισθὸν ἢ πορισμὸν, ὅπερ εἴη ἂν κάκιςον, καὶ ἱκανοποιΐα θεομισὴς. Οἱ γὰρ Πνευματικοὶ, οἱ διὰ κέρδος ἴδιον καπηλεύοντες τὰ Θεῖα, καὶ δόμασιν ἐξικανέμενοι, καὶ ἀναλαμβάνοντες τυχὸν ἄλλων ἁμαρτίας, καὶ τοιαῦτα κατεργαζόμενοι, μωμητοί εἰσι, καὶ θείας τεύξονται κολάσεως καὶ ἀπωλείας. καὶ ἡμεῖς τὲς φωραθέντας ἐκ τέτων, μεγάλης ἀξιῶμεν τῆς παιδείας, καὶ ἔκπλωσιν τῆς πνέυματικῆς ἀξίας καταδικάζομεν.

CAPVT XI.

De Confeſſione.

Sequitur vndecimum Caput: in quo dicitur, remiſſionem peccatorum fieri confitenti debere a Sacrorum miniſtro: non tamen neceſſarium eſſe, ſingula peccata ſpeciatim enumerare, ſecundum illud pſalmi: peccata, quis intelliget? Ad hæc ita Reſpondemus. Primum, talem miniſtrum debere ſpiritualem Medicum eſſe, & bene rerum ſuarum peritum. Deinde confitentem, quoad poſſit & recordetur, peccata particulatim exponere: idque corde contrito & hnmiliato. Sic enim is ſanatur: ſi ſcilicet faciat ea, quæ contraria ſunt peccatis a ſe admiſſis: Verbi gratia, ſi ſuperbivit humiliatione caſtigetur: ſi turpem quæſtum fecit, inique parta reddat, & de ſuo inſuper. Sic in cæteris, ex canone præſcripto, & a Patribus definito: qui debet eſſe ſecundum Deum, non autem quæſtui ſervire: quod peſſimum eſſet, & ſatisfactio Deo inviſa. Clerici enim, qui ob privatum lucrum cauponantur ſacra, & muneribus ſatisfieri ſibi patiuntur: & aliorum forte peccata in ſe recipiunt: & his ſimilia perpetrant: in vicio ſunt, a Deoque punientur & perdentur: noſque, ſi quos tales deprehendimus, acriter caſtigamus, ſpiritualique dignitate ejicimus.

Οὐ

νοντας κόσμον, ἢ τὰ ἐν κόσμῳ, διὰ τὴν σωτηρίαν αὐτῶν, καὶ λέγειν, ὅτι τὸ Εὐαγγέλιον, ἐ περὶ τῶν προσκαίρων, ἀλλὰ περὶ τῶν αἰωνίων λαλεῖν, τὴν ἀΐδιον τῆς καρδίας δικαιοσύνην ἀνακηρύττει, ἢ ὅτως ὑμᾶς τὸ Εὐαγγελικὸν ῥητὸν ἐννοεῖν, τοῦτο ἡμεῖς ἐκ ἀποδεχόμεθα, ἀλλ' ἑπόμενοι τῇ ἐξηγήσει τῶν διδασκάλων τῆς Ἐκκλησίας Χριστοῦ, φαμέν, τὸ εὐαγγελικὸν ῥητὸν λέγειν σαφῶς, (Λεκ. κεφ. ιή.) „Πάντα, ὅσα ἔχεις, πώλησον, ἢ διάδος „πτωχοῖς, ἢ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, „καὶ δεῦρο, ἀκολούθει μοι. Τοῦτο γὰρ ἡμεῖς ἐκ ἀλληγορικῶς νοοῦμεν, ἢ τροπολογικῶς, ἀλλ' αἰσθητῶς ἢ πραγματικῶς. ὁ γὰρ ἐπερωτήσας, ἐνόμιζε τὸν Ἰησοῦν ὑποδεῖξαι αὐτῷ ἢ δεῖξαι τρόπον, δι' οὗ αἰωνίως ζήσεται, καταπολαύων ἢ τῆς κατοχέσεως τῶν χρημάτων. ὡς δὲ ὁ Κύριος τὴν ἀπόκτησιν πρόξενον εἶναι εἶπε τῆς αἰωνίου ζωῆς, ὡς μεμψάμενος ἑαυτῷ τῆς ἐρωτήσεως, ἢ τῷ Ἰησοῦ τῆς ἀποκρίσεως, ἄπεισι. Καὶ ὅρα, ὡς ὁ ἐρωτήσας εἶπε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου, ὁ Κύριος ὑποτίθεται αὐτῷ τὸ κεφάλαιον πάντων, ἦγουν τὴν ἀκτημοσύνην, εἰπών. Πάντα, ὅσα ἔχεις, πώλησον. εἰ γάρ τι ἐν ἀπομείνῃ, ἐκείνου δοῦλος ἦ. καὶ διάδος πτωχοῖς, καὶ δεῦρο, ἀκολούθει μοι. Τοτέστι. ἢ ἐν πᾶσι τοῖς ἄλλοις ἴσθι μαθητής ἐμός, καὶ ἀεὶ ἀκολούθει μοι. Μὴ σήμερον μὲν ἔσο μαθητὴς τυχὸν ἐμός, καὶ τὰς ἐντολάς ἐκπληροῖς, αὔριον δὲ, ὄ. Καὶ ὁ μέγας τῆς οἰκουμένης φωστὴρ Ἰωάννης, τῆς ὄντως αἰωνίου ζωῆς ἐπιθυμεῖν τοῦτον εἶπεν, ἢ ἐρᾶν μὲν αὐτῆς, κατέχεσθαι δὲ πάθει μείζονι τῆς φιλαργυρίας. Ὁ ἕν βελόμενος τέλειος εἶναι,

quunt mundum & mundana, ſalutis ſuæ cauſa: & dicitur, Evangelium, non de temporariis rebus, ſed de æternis, loquens, æternam cordis juſtitiam prædicare: & hoc ſenſu Evangelicum dictum a vobis intelligitur: hoc nos non admittimus: ſed ſequentes interpretationem Doctorum Eccleſiæ Chriſti, dicimus: Evangelicum dictum, dicere aperte: Omnia, quæ habes, vende, & diſtribue pauperibus: & habebis theſaurum in cœlis: ac veni, & ſequere me. Hoc nos non allegorice intelligimus, aut tropologice: ſed proprie, nempe accommodate ad ſenſum & actionem. Nam qui interrogaverat: ſperabat, ſibi ab Ieſu talem modum ſempiternæ vitæ conſequendæ monſtratum iri: quo interim etiam ſuas opes retineret, hiſque frueretur. At cum alienationem harum, Dominus ei conciliatricem vitæ æternæ propoſuiſſet, tanquam pœnitens ſuæ interrogationis, & Domini reſponſionis, abiit. Et obſerva, quomodo, cum interrogator dixiſſet: ſe hæ omnia ſervaſſe jam inde a juventute ſua: Dominus ei ſubjecerit caput & ſummam omnium, nempe voluntariam inopiam, dicens: Vende omnia, quæ habes, (tanquam, ſi ea retineret, horum ſervus eſſet) & diſtribue pauperibus: & veni, ac ſequere me. Hoc eſt: in reliquis omnibus eſto diſcipulus meus, & ſemper ſequere me: nec hodie tantum, ſi ita contigerit, eſto Diſcipulus, & ſatisfaciens mandatis meis, cras autem, ſecus. Ac magnum illum luminare orbis terræ, Ioannes, re vera æternæ vitæ cupidum illum fuiſſe, & amore eius captum, ait: ſed hunc amorem clavo majore pulſum eſſe, mobo ſcilicet avaritiæ.

Quo-

εἶναι, ἐὰν πωλήσῃ τὰ ὑπάρχοντα αὐτῷ, διὰ τὴν αἰώνιον ζωὴν, ἐ σφάλλεται, ἀλλ' ἐμβιώῃ αἰωνίως, κατὰ τὴν ἐπαγγελίαν. Ἐξεῖναι δὲ Ἀρχιερεῦσι, κακέργας κατὰ νόμες κολάζειν, ἢ κεφαλικῶς τιμωρεῖν, πολεμεῖν τε καὶ στρατηλατεῖν, ἔτε ἡμεῖς, ἔτε νόμοι ἢ κανόνες διορίζονται.

Quocirca, qui vult perfectus esse, is, si vendat bona sua propter vitam æternam, opinione non labitur: sed æterne vivet, ut sonat promissio. Pontificibus vero licere, maleficos punire ex legibus, aut supplicacio capitali afficere, & belligerari, exercitusque ducere: id neque nos, neque leges & canones, exprimunt.

ΚΕΦΑΛ. ιζ'.

Περὶ τῆς ἐσχάτης κρίσεως.

Τὸ δέκατον ἕβδομον, ὅτι ἐν συντελείᾳ τῦ αἰῶνος ὁ Χριστὸς ἐλεύσεται, καὶ ὅτι κρινεῖ ζῶντας καὶ νεκρὲς, καὶ τοῖς μὲν εὐσεβέσι ζωὴν αἰώνιον καὶ χαρὰν ἀτελεύτητον δώσει, τοῖς δὲ ἀσεβέσι τιμωρίαν αἰώνιον, ἔτω καὶ ἡμεῖς τὴν ἀλήθειαν ἔχειν φαμὲν ὁμολογεμένως. Ὅσοι δὲ λέγεσι, τέλος ἢ τῶν ἀγαθῶν, ἢ τῆς κολάσεως ἔσεσθαι, ἢ εἰσάγεσι τὰς Ἰεδαϊκὰς οἰήσεις, μᾶλλον δὲ μυθολογίας, λέγοντες, πρὸ τῆς τῶν νεκρῶν ἀναστάσεως τὲς Ἁγίες καὶ Εὐσεβεῖς τῷ κόσμῳ ἐμβασιλεύσειν, ληρᾶσιν. ὅθεν αὐτὲς ἀποστρεφόμεθα, καὶ ὡς μυθοπλάστας καὶ κακῶν ἐφευρετὰς κατακρίνομεν.

CAPVT XVII.

De Iudicio extremo.

Decimum septimum caput ait, Christum in consummatione seculi venturum esse: & judicaturum vivos & mortuos: & piis vitam æternam, finisque expers gaudium, daturum: impiis contra, pœnas æternas. Hæc nos quoque verissima esse profitemur. Quicunque vero dicunt, terminum & finem aut bonorum, aut punitionis, fore: aut inducunt Iudaicas opiniones, vel fabulas potius: scilicet ante mortuorum resurrectionem, pios & sanctos in mundo regnaturos: delirant. Ideo aversamur eos: &, ut fabulatores, & malorum excogitatores, condemnamus.

ΚΕΦΑΛ. ιή.

Περὶ τῦ αὐτεξσίε.

Τὸ δέκατον ὄγδοον, περὶ αὐτεξσίε διαλαμβάνον, ἔτως ἡμεῖς νοῦμεν. Πῶς περὶ μὲν τῶν ἐφ' ἡμῖν, καλῶς λέγετε. περὶ δὲ τῦ χωρὶς βοηθείας Θεῦ μὴ δύνασθαι ἑδένα σωθῆναι, οἴδαμεν καὶ ἡμεῖς, ὅτι προηγεμένως τῆς Θείας δεόμεθα βοηθείας ἢ χάριτος,

CAPVT XVIII.

De libero arbitrio.

Decimum octavum, quod de libero arbitrio tradit, nos sic intelligimus. Quodammodo de eo quidem, quod est in potestate nostra, bene dicitis. De illo vero, ubi dicitis: absque auxilio divino non posse quemquam saluari: scimus & nos, prin-

ρίτος, κατὰ τὸν τῦ Κυρίε λόγον, Φάσκοντα, (Ἰωάνν. κεφ. ιέ.) Χωρὶς ἐμῦ ὐ δύναθε ποιεῖν ὐδέν. Ἀλλ' ἀκόομεν καὶ τὰ ῥητὰ τῶν θείων Διδασκάλων καὶ ἐξηγητῶν τῶν θείων τῦ Κυρίε φωνῶν ὐκ ἀπὸ σκοπῦ λαλήσαντα, ὡς Πνεύματι Ἁγίῳ κινεμένων, καὶ φῶς σαφηνείας συνεισφερόντων, καὶ διδασκόντων ἡμᾶς. Λέγει γὰρ ὁ θεῖος Χρυσόστομος, ὅτι ἡ χάρις κἂν χάρις ᾖ, τὺς ἐθέλοντας σώζει. ὡς καὶ ἐξηγέμενος τὴν πρὸς Ἑβραίυς ἐν τοῖς ἠθικοῖς ἐντέλλεται. Χρὴ πάντοτε φυλάτλειν ἑαυτὺς, μήποτε ἀπονυστάξωμεν. Ἰδὺ γάρ, φησιν, ὐ νυστάζει, ὐδὲ ὑπνώσσει ὁ φυλάσσων τὸν Ἰσραὴλ. καὶ, Μὴ δῷς εἰς σάλον τὸν πόδα σε. ὐκ εἶπε, μὴ σαλευθῇς, ἀλλὰ μὴ δῷς. ἆρα ἐφ' ἡμῖν τὸ δῦναι, ὐκ ἐφ' ἑτέρῳ τινί. Ἂν γὰρ ἐθέλωμεν ἑστῶναι ἑδραῖοι καὶ ἀμετακίνητοι ὐ σαλευθησόμεθα. Τί ἒν, ὐδὲν ἐπὶ τῷ Θεῷ; Πάντα μὲν ἐπὶ τῷ Θεῷ, ἀλλ' ὐχ ἕτως, ὥστε τὸ αὐτεξέσιν ἡμῶν βλάπτεσθαι. Εἰ τοίνυν ἐπὶ τῷ Θεῷ φησι, τί ἡμᾶς αἰτιᾶται; διὰ τῦτο εἶπον ὥστε τὸ αὐτεξέσιον ἡμῶν μὴ βλάπτεσθαι. Ἐφ' ἡμῖν τοίνυν, καὶ ἐπ' αὐτῷ. Δεῖ γὰρ ἡμᾶς πρῶτον ἐλέσθαι τὰ ἀγαθὰ, καὶ τότε αὐτὸς τὰ παρ' αὐτῦ εἰσάγει. Οὐ προφθάνει δὲ τὰς ἡμετέρας βελήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξέσιον ἡμῶν. Ὅταν δὲ ἡμεῖς ἐλώμεθα, τότε πολλὴν εἰσάγει τὴν βοήθειαν ἡμῖν. Πῶς ἒν ὁ Παῦλός φησιν, (Ῥωμ. κεφ. θ'.) ὐ τῦ θέλοντος, ὐδὲ τῦ τρέχοντος, ἀλλὰ τῦ ἐλεῦντος Θεῦ; πρῶτον μὲν, ὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τῦ προκειμένε αὐτὸ συνήγαγε, καὶ ἐκ τῦ προβληθέντος. Εἰπὼν γὰρ, γέγραπται, (Ἐξοδ. κεφ. λγ'.) ἐλεήσω,

principaliter nobis auxilio & gratia Dei opus esse, ex dicto Domini, quod est: Sine me non potestis facere quicquam. Sed audimus etiam, quid a divinis Doctoribus, & divinarum Domini vocum explanatoribus, dicatur: qui non a scopo aberrant: utpote a Spiritu Sancto impulsi: & qui lucem evidentiæ inferunt, ac docent nos. Dicit enim Sanctus Chrysostomus: Gratia, licet gratia sit, volentes salvat: sicut etiam in commentario Epistolæ ad Hebræos, in Ethicis præcipit. Debemus omni tempore custodire nos ipsos, ne obdormiamus. Ecce enim, inquit, non dormitat, neque dormit, qui custodit Israelem. Et, Ne des in commotionem procellæ pedem tuum. Non dixit, Ne commovearis: sed Ne des. Ergo in nostro arbitrio est, dare: non in aliquo alio. Si enim volemus stare firmi & immoti: non commovebimur. Quid ergo? Nihil ne penes Deum est? Omnia quidem arbitrio Dei subjacent: non tamen ita, ut libertati arbitrii nostri officiatur. Si ergo penes Deum, objicitur: quid nos accusat? Ideo subdidi verba: Ita tamen, ut libertati arbitrii nostri ne officiatur. In nostro ergo, & in ipsius arbitrio. Oportet enim nos primo eligere bona: tunc ipse suum addet. Non antevertit ille nostras voluntates. Cur? Ne officiat nostro arbitrio. Verum, quando nos elegimus: tunc ipse strenuam operam nobis navat. Quomodo ergo Paulus ait: Non est volentis, nec currentis, sed miserentis Dei? Primum, non, ut suam sententiam, hoc induxit: sed ut ex antecedente & proposito consectarium collegit. Nam cum dixisset: scriptum est:

Misere-

λεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω, λέγει. ἄρ' οὖν, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος. ἐρεῖς μοι, τί ἔτι μέμφεται; Δεύτερον ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι οὗ τὸ πλέον ἐστί, τὸ πᾶν φησιν εἶναι. Ἡμῶν γὰρ τὸ προελέσθαι καὶ βουληθῆναι, Θεοῦ δὲ, τὸ ἀνῦσαι, καὶ εἰς τέλος ἀγαγεῖν, ἐπεὶ οὖν ἐκείνου τὸ πλέον ἐστὶ, τὸ πᾶν ἐκείνου εἶναί φησι. κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην εἰπὼν. οὕτω γὰρ ποιοῦμεν. οἷόντι λέγω, ὁρῶμεν οἰκίαν οἰκοδομουμένην καλῶς, καὶ λέγομεν. Τὸ πᾶν τοῦ τεχνίτου ἐστὶ. καὶ τοι γε οὐ τὸ πᾶν ἐστὶν αὐτοῦ, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τοῦ τὴν ὕλην παρασχόντος δεσπότου, καὶ πολλῶν ἑτέρων, ἀλλ' ὅμως, ἐπειδὴ τὸ πλέον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. οὕτω δὴ καὶ ἐνταῦθα. καὶ πάλιν, ἐπὶ πλήθους, ἔνθα ἂν πολλοὶ, πάντες εἶναι φαμέν. Ἔνθα δὲ ὀλίγοι, οὐδένα. Οὕτω καὶ Παῦλός φησιν: οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος. Κατορθοῖ δὲ ἐνταῦθα δύο μεγάλα, ἓν μὲν, τὸ μὴ ἐπαίρεσθαι. Κἂν τρέχῃς, φησι, κἂν σπουδάζῃς, μὴ νόμιζε, σὸν εἶναι τὸ κατορθούμενον. Ἂν γὰρ μὴ τῆς ἄνωθεν τύχης ῥοπῆς, πάντα εἰκῇ. Πλὴν ὅτι τεύξῃ τοῦ σπουδαζουμένου, εὔδηλόν ἐστιν, ἕως ἂν τρέχῃς, ἕως ἂν ἐθέλῃς. Οὐ τοῦτο οὖν εἶπεν, ὅτι εἰκῇ τρέχομεν. ἀλλ' ὅτι εἰκῇ τρέχομεν, ἐάν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐάν μὴ τὸ πλέον ἀπονέμωμεν τῷ Θεῷ. Οὔτε γὰρ αὐτοῦ εἶναι τὸ πᾶν ἠθέλησεν ὁ θεὸς, ἵνα μὴ δόξῃ εἰκῇ στεφανοῦν ἡμᾶς, οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐμπέσωμεν. Εἰ γὰρ τὸ ἔλαττον μέρος ἔχοντες μέγα φρονοῦμεν, τί, εἰ τοῦ ὅλου κύριοι ἦμεν; πολλὰ γὰρ ὁ Θεὸς ἐποίησεν, ὑπὲρ τοῦ τὴν ἀλα-

miserebor: dicit Ergo non est volentis, neque currentis. Dices ergo mihi: Quid adhuc conqueritur? Deinde hoc responderi potest: cuius est id, quod plus est: eius id totum esse, ab Apostolo dici. Penes nos est, eligere & velle: Dei voto est, perficere, & ad finem perducere, Quoniam igitur, quod præstantius est, id illiusest: totum ei a Paulo tribuitur, in eo consuetudinem hominum imitato. Sic enim solemus. Exempli gratia, cum domum bene ædificari videmus: hoc totum Architecto tribuimus. Atqui non totum ipsius est: sed etiam operariorum & materiam suppeditantis patrisfamilias, & aliorum multorum. Veruntamen quia id quod potius est, ille contulit: illi totum tribuimus. Eodem modo etiam hic. Rursus de congregatione, vbi multi sunt, omnes esse dicimus: vbi pauci, neminem. Ita Paulus quoque dicit: Non est volentis. Quo in loco duo magna consequitur. Vnum, ne quis animo efferatur. Sive curris, (inquit) sive eniteris: ne puta, tuum esse id bellum facinus. Nisi enim superno potiaris impulsu: omnia frustra fiunt. Verum te consecuturum tamen id, quod efficere studes, perspicuum est: quamdiu cucurreris, quamdiu volueris. Non hoc ergo dicit, nos simpliciter frustra currere, sed frustra currere si negotium nobis totum opinionis errore adscribamus: nec maiorem eius partem Deo acceptam referamus. Neque enim suum esse illud omne Deus voluit, ne videretur frustra coronare nos: neque nostrum item, ne in amentiam arrogantiamque incideremus, Nam si ob minorem par-

ἀλαζονείαν ἐγκόψαι. Ἀλλὰ τινὲς πάλιν λέγουσι, τί τοῦτο; εἰς τί τοῦτο; ἂν δὲ μικρᾶς εὐπραγίας ἐπιλάβωμεν, πρὸς αὐτὸν φθάνομεν τὸν οὐρανὸν τῷ φρονήματι. Καὶ πάλιν, ἐν τῇ πρὸς Φιλιππησίους, (κεφ. ϛ'.) λέγει. Ὅταν γάρ τι ἀγαθὸν ἐργασώμεθα, τότε χαίρομεν. Ὁ Θεὸς γάρ, φησιν, ὁ ἐνεργῶν ἐν ἡμῖν. Προσέχωμεν, μὴ διαχέωμεν ἑαυτούς. Ἐὰν τοῦτο ᾖ, ὁ Θεὸς πάντα ἐργάσεται. Εἰ τοίνυν αὐτὸς ἐνεργεῖ, ἡμᾶς δεῖ τὴν προαίρεσιν παρασχεῖν συγκεκροτημένην, διαπαντὸς ἐσφιγμένην, ἀδιάχυτον. Εἰ τὸ θέλειν αὐτὸς ἡμῖν ἐνεργεῖ, πῶς ἡμῖν παρακελεύει. Εἰ γὰρ καὶ τὸ θέλειν αὐτὸς ποιεῖ, εἰκῇ ἡμῖν λέγει, ὅτι ὑπακούσατε. Οὐ γὰρ ὑπακούομεν. εἰκῇ λέγει, ἐν φόβῳ καὶ τρόμῳ, εἰ Θεῷ τὸ ὅλον ἐστίν. Οὐ διὰ τοῦτο εἶπεν, αὐτός ἐστιν ὁ ἐνεργῶν, καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν, ἀλλ' ἐκλῦσαι τὴν ἀγωνίαν ἡμῶν βουλόμενος. Ἂν θελήσῃς, τότε ἐνεργήσει τὸ θέλειν, καὶ προθυμίαν ἡμῖν δίδωσι καὶ ἐργασίαν. ἂν γὰρ θελήσωμεν, τότε αὔξει τὸ θέλειν ἡμῖν λοιπόν. Οἷον, βούλομαι ἀγαθόντι ἐργάσασθαι, ἐνήργησεν αὐτὸ τὸ ἀγαθὸν, ἐνήργησε δὲ αὐτῷ καὶ τὸ θέλειν. Ὥσπερ ἓν λέγων αὐτὰ χαρίσματα ἐκ ἐξωθεῖ τοῦ αὐτεξουσίου, ἀλλ' ἀφίησιν ἐν ἡμῖν τὸ αὐτεξέσιον, ἵνα τοῦτο ὅταν λέγῃ, ἐνεργεῖν ἐν ἡμῖν τὸ θέλειν, ἐκ ἀφαιρεῖται ἡμᾶς τὸ αὐτεξέσιον, ἀλλὰ δείκνυσιν, ὅτι ἀπὸ τοῦ κατορθοῦν, πολλὴν εἰς τὸ θέλειν λαμβάνομεν προθυμίαν. Καθάπερ γὰρ τὸ ποιεῖν, ἐκ τοῦ ποιεῖν γίνεται, ἵνα ἐκ τοῦ μὴ ποιεῖν, τὸ μὴ ποιεῖν. Ἔδωκας ἐλεημοσύνην, μᾶλλον περοετράπης δοῦναι, ἐκ ἔδωκας δέ, μᾶλλον ἠργησας. Ἐσωφρόνη-

tem quam habemus, ſuperbimus: quid faceremus, ſi totum poſſideremus? Multa enim Deus facit, vt arrogantiam noſtram inhiberet. Inſtant aliqui: Quid hoc? Ad quid hoc? At ſi paululum nobis res ex ſententia cedat: cœlum elatione Spiritus attingimus. Rurſus in Epiſtola ad Philippenſes ait: Quando aliquid boni facimus: tunc gaudemus. Deus enim eſt, inquit, qui operatur in nobis. Attendamus, ne gaudio ipſos nos diffundamus. Si hæc cautio erit: Deus omnia operabitur. Si ergo ipſe operatur: nos voluntatem & electionem adferre debemus, ſemper collectam, contractam, paratam, gaudio indiffuſam. Si ipſe in nobis efficit, velle: hoc eſt, voluntatem: quomodo nos ad officium adhortatur? Nam ſi etiam velle ipſe efficit: fruſtra nobis dicit, Obedite. Non enim obedimus. Fruſtra dicit: In timore & tremore, ſi penes Deum omnia ſunt. Non propter hoc dixit: Ipſe eſt, qui operatur, vt velimus, & operemur: ſed, vt anxietatem animis noſtris eximeret. Si voles: tunc efficiet, vt velis: ſtudium operandi tunc nobis indit. Nam ſi volemus: augebit ipſe deinceps velle noſtrum. Vt, Volo boni quid facere? Efficit is id bonum, efficit ipſum quoque velle. Quemadmodum itaque, quando ea vocat Chariſmata, hoc eſt, ſpiritus dona: non ejicit nos a poſſeſſione autexuſiii, id eſt, liberi arbitrii, ſed id in nobis relinquit: ſic quando dicit operari in nobis velle: non privat nos libertate voluntatis: ſed oſtendit, nos, dum rem bene gerimus, concipere magnam alacritatem ad ipſum velle: id eſt, vt velimus. Sicut enim

Φρόνησας μίαν ἡμέραν, ἔχεις προτροπὴν καὶ εἰς τὴν δευτέραν. ἐραθύμησας, ἐπέτεινας τὴν ῥαθυμίαν. ἀσεβὴς γὰρ φησι, (Παροιμ. κεφ. ιη.) ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. Οὕτω καὶ δίκαιος, ὅταν ἔλθῃ εἰς πλῆθος ἀγαθῶν, σπεδάζει. Καθάπερ γὰρ ἐκεῖνος ἀπογνὼς, ῥαθυμότερος γίνεται, ἕτω καὶ ἕτος, ἐννοῶν τὸ πλῆθος τῶν ἀγαθῶν, σπεδαιότερος γίνεται, δεδοικὼς, μὴ τὸ πᾶν ἀπολέσῃ. Ὑπὲρ τῆς εὐδοκίας αὐτῦ, φησὶν, ὁ ἀπόστολος. (Φιλιπ. κεφ. β') τετέχι, διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειαν αὐτῦ, ἵνα τὰ δοκοῦντα αὐτῷ γένηται, ἵνα κατὰ τὴν θέλησιν αὐτῦ. ἰδὲ, ὅτι πάντως ἐνεργεῖ, Θέλει γὰρ ἡμᾶς, ὡς αὐτὸς βέλεται, ζῆν. Εἰ δὲ βέλεται, πρὸς δὲ τῦτο αὐτὸς ἐνεργεῖ, ἵ τῦτο πάντως ἐνεργήσει, Θέλει γὰρ ἡμᾶς ὀρθῶς ζῆν. Ὁρᾷς, πῶς ἐκ ἀφαιρεῖται τὸ αὐτεξέσιον; ταῦτα πάντα ποιεῖτε, φησι, χωρὶς γογγυσμῶν, ἵ διαλογισμῶν. Ὁ διάβολος, ἐπειδὰν μὴ δυνηθῇ ἡμᾶς ἀπαγαγεῖν τῦ καλῶς ποιεῖν, ἑτέρως βέλεται κενῶσαι τὸν μισθόν. ἢ γὰρ κενοδοξίαν ἢ ἀπόνοιαν ἐπεισήγαγεν, ἢ εἰ μηδὲν τέτων, γογγυσμὸν, ἢ εἰ μὴ τῦτο, διάκρισιν ἐθῶν καὶ δογμάτων. Ἆρα καλὸν; ἆρα ἐ καλόν; κόλασις ἀπόκειται τοῖς τοιέτοις. κρατεῖν ὀφείλεσι τὰ ἀρχαῖα ἔθη, ὑπείκειν ὀφείλομεν τοῖς ἐξηγηταῖς τῆς γραφῆς. Ἐν Ἁγίῳ Πνεύματι Παῦλος ἐλάλησε, τῷ αὐτῷ καὶ Πέτρος, καὶ οἱ λοιποί. εἵτε Ἱεράρχαι, Βασίλειος ὁ μέγας, Γρηγόριος ὁ θεολόγος, Ἰωάννης ὁ Χρυσόστομος, καὶ ὁ λοιπὸς τῶν Διδασκάλων χορὸς,

enim facere fit ex facere: ſic ex non facere, non facere. Dediſti eleemoſynam? Magis ad dandum excitatus es. Non dediſti? Segnior factus es. Vnum diem temperanter vixiſti? Incitaris etiam ad ſequentem. Ignavus fuiſti? intendiſti ignaviam, Impius enim, vt dicitur, in profundum vitiorum lapſus, non curat. Contra, Iuſtus, quando ad cumulum bonorum venit, ſtudet. Nam vt ille, deſperatione ſui, ſegnior fit: ita hic contra, perpenſa bonorum copia, diligentior evadit: quia metuit, ne to-„tum amittat, Pro bono animi propoſito, ait Apoſtolus: hoc eſt propter charitatem ſuam, & quia ei ſic placet: vt, quæ ipſi videntur, & ſicut vult, fiant. Ecce, omnino operatnr. Vult enim nos ita vivere, vt ipſe vult. Si autem vult, et ad hoc ipſe operatur: etiam hoc omnino operabitur. Vult enim nos recte vivere. Vides, quam non tollat libertate„ arbitrii? Hæc omnia, inquit, facite, abſque murmurationibus, & diſceptantibus cogitationibus. Diabolus, quando non poterit vos abducere a recte agendo: alio aſtu volet evertere mercedem veſtram. Aut enim inanis gloriæ ſtudium, aut vecordiam deſperationemque invehere conſuevit: aut, ſi neutrum horum, murmurationem: aut, ſi hoc non poteſt, dubitationem, & diſceptationem de ritibus & dogmatibus. Num bonum? num non bonum? Pœna repoſita iacet talibus. Tenere debent veteres conſuetudines: cedere debemus Interpretibus Scripturæ. Impulſu Spiritus ſancti, Paulus locutus eſt: eodem & Petrus, & reliqui: tum Hierarchæ, id eſt, Principes ſacrorum: Baſilius magnus, Gregorius Theologus, Ioannes Chryſoſtomus,

ἀναφανέντες ὡς φωςῆρες ἐν κόσμῳ, λόγον ζωῆς διατρανώσαντες, καὶ τὰ τοῦ Θεοῦ ἡμῶν κηρύξαντες, καὶ ἡμῖν ταῦτα πάντα καλῶς σαφηνίσαντες.

Καὶ πάλιν, ἐν τῇ πρὸς Τιμόθεον, ὁ αὐτὸς χρυσόςομος λέγει, Ἐάν οὖν τις ἐκ„καθάρῃ ἑαυτὸν, ἔςαι σκεῦος εἰς τιμὴν „ἡγιασμένον. ὁρᾷς, ὅτι οὐ φύσεως, οὐδὲ ὑλικῆς ἀνάγκης ἐςὶ τὸ εἶναι χρυσοῦν, ἢ ὀςράκινον; ἀλλὰ τῆς ἡμετέρας προαιρέσεως. καὶ ἐκεῖ, τὸ ὀςράκινον οὐκ ἀνγένηται χρυσοῦν, οὐδὲ τοὔμπαλιν. Ἐνταῦθα δὲ μεταβολὴ πολλή. Σκεῦος ἦν ὁ Παῦλος ὀςράκινον, ἀλλ' ἐγένετο χρυσοῦν, ὁ δὲ Ἰούδας, χρυσοῦν ἦν, ἀλλ' ἐγένετο ὀςράκινον.

Καὶ ἔτι ἐν τῇ πρὸς ἐφεσίους, (κεφ: ϛ΄:) ἐξηγούμενος τὸ, τῇ χάριτι ἐςὲ σεσωσμένοι: ἵνα μὴ τὸ μέγεθος τῶν εὐεργεσιῶν ἐπάρῃ σε, ὅρα, πῶς σε καταςέλλει, διὰ τῆς πίςεως. Ἵνα δὲ μὴ πάλιν τὸ αὐτεξούσιον λυμήνηται, ἔθηκε καὶ τὰ ἡμῶν, καὶ πάλιν, καὶ τοῦτο οὐκ ἐξ ἡμῶν. Οὐδὲ ἡ πίςις, φησὶν, ἐξ ἡμῶν. Εἰ γὰρ μὴ ἐκάλεσε, πῶς ἠδυνάμεθα πιςεῦσαι; Θεοῦ τὸ δῶρον. Μὴ γὰρ ἤρκει ἡ πίςις σῶσαί φησιν. ἀλλ' ἵνα μὴ κενοὺς, μηδὲ ἀργοὺς σώσῃ, ταύτην ἐζήτησε, τὴν διὰ τῶν ἔργων, Καὶ τοῦτο Θεοῦ δῶρον, ἵνα μή τις καυχήσηται. καὶ ὅτι οὐδεὶς, φησιν, ἐξ ἔργων ἐδικαιώθη, ἵνα δειχθῇ ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ φιλανθρωπία. Οὐχὶ ἔχοντας ἔργα ἀπώσατο, ἀλλὰ προδεδομένους ἀπὸ τῶν ἔργων, χάριτι ἔσωσε. Εἶτα, ἵνα μὴ ἀκούσας τις, ὅτι οὐκ ἐξ ἔργων ἀλλὰ πίςει τὸ πᾶν κατορθώθη, ἀργὸς γενῇ, ὅρα, τὶ ἐπήγαγεν, Αὐτοῦ ἐσμὲν ποίημα, κτισθέντες ἐν Χριςῷ

& reliqui Doctores: qui, tanquam luminaria, in mundo fulserunt: sermonem vitæ explanarunt: Dei nostri oracula prædicarunt: hæc omnia nobis pulchre declararunt.

Rursus in epistola ad Timotheum idem Chrysostomus scribit: Si quis emundaverit seipsum: erit vas sacrificatum in honorem. vides, non esse naturæ, nec materialis necessitatis, esse aureum, aut testaceum; sed nostræ electionis. Illic, nec quod testaceum est, fieri aureum potest, nec contra. Hic vero magnæ mutationi locus est. Vas erat Paulus testaceum: sed factus est aureum. Iudas aureum vas erat: sed factus est testaceum.

Præterea ad Ephesios, vbi explicat hoc: Gratia seruati estis. Vt ne magnitudo beneficiorum efferat te: vide, quomodo te reprimat, Gratia per fidem. Contra, ne libertas voluntatis damnum accipiat: posuit etiam, quod nostrum est. Ac rursus hoc sustulit: Et hoc non ex nobis. Ne fides quidem, inquit, ex nobis est. Nisi enim nos vocavisset: qui potuissemus credere? Dei donum est. An non sufficiebat, inquit, fides ad seruandum? Ne vacuos & otiosos saluaret: hanc quæsiuit, quæ instructa esset operibus. Et hoc, Dei donum est, vt ne quis glorietur Nullus, inquit, ex operibus iustificatus est: vt ostendatur gratia & humanitas Dei. Non repulit instructos operibus: sed perditos, seu derelictos ab operibus (προδεδομένους ἀπὸ τῶν ἔργων: potest etiam significare, præ manibus datos, seu præparatos ab operibus.) gratia saluavit. Deinde, ne quis audiens, non

ϛῷ Ἰησῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεος, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Διαρκὴς γὰρ ἡμῖν χρεία τῆς ἀρετῆς καὶ ἐκτεταμένης, ἄλλως δὲ ἐδὲν ὤνησεν ἂν ἡμᾶς τὸ πρᾶγμα, Τηρεῖν γὰρ δεῖ, ὅσα ἐνετείλατο ὁ Χριϛὸς, καὶ λύειν ϗ δὲ τὴν ἐλαχίϛην τῶν ἐντολῶν, ἵνα ἡ πίϛις ἡ ἀληθὴς, διὰ τῶν ὀρθῶν ἔργων ἀναφανῇ τῆς ἀρετῆς.

non operibus, ſed fide, ſalutem nobis confectam eſſe, piger evadat: vide, quid inferat: Ipſius ſumus opus, conditi in Chrino Ieſu ad opera bona, quæ præparavit Deus, vt in iis ambulemus. Perpetuo enim contentoque nobis virtutis ſtudio opus eſt. Aliter nulla vtilitas erit. Seruanda ſunt, quæcunque mandavit Chriſtus: nec omittendum vel minimum mandatorum: vt benefactis & virtute veritas fidei comprobetur.

ΚΕΦΑΛ. ιϑ'.

Περὶ αἰτίϖ τῆς ἁμαρτίας.

Τὸ δέκατον ἔννατον, διαλαμβάνει ὅτι αἴτιον τῆς ἁμαρτίας ἡμεῖς, καὶ τὸ κακὸν ἡμέτερον θέλημα, καὶ ἡ προαίρεσις ἡμῶν, ὁ δὲ Θεὸς ἀθέλως ἐϛὶν αἴτιος κακῶν. Ὃ πάντως καλῶς ἔχει καὶ ἀληθῶς. ἐξηγέμενος γὰρ ὁ Χρυσόϛομος τὴν πρὸς Τιμόθεον, φησὶν, Ἴϑι, ὅτι πάντα ὁ Θεὸς οἰκονομεῖ, πάντων προνοεῖ. Τὰ μὲν ἐνεργεῖ, τὰ δὲ συγχωρεῖ. Οὐδὲν πονηρὸν γίνεϑαι βέλεται. πάντα τὰ ἀγαθὰ, καὶ ἀφ' ἡμῶν, καὶ ἀπὸ τῆς αὐτῦ ῥοπῆς, ὅτι ἐδὲν λανθάνει αὐτὸν, πάντα δὲ τὰ κακὰ, ἀπὸ τοῦ ἡμετέρου θελήματος. Οἱ δίκαιοι θλίβονται, ἵνα ϛεφανωθῶσιν, οἱ ἁμαρτωλοὶ, ἵνα τῶν ἁμαρτιῶν δίκην ἐκτίσωσιν. Οὐ πάντες δὲ οἱ ἁμαρτωλοὶ δίκην ἐνταῦϑα τίσουσιν, ἵνα μὴ τὴν ἀνάϛασιν οἱ πολλοὶ ἀπιϛῶσιν· ϗ πάντες δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐπαινετὴν νομίσωμεν. Ἂν ταῦτα ἀναλογιζώμεϑα, ϗδὲν ἡμᾶς ϑορυβῆσαι δυνήσεται. ἂν τῶν γραφῶν ἀκόωμεν συνεχῶς, ἑυρήσομεν τὰ δυνάμενα σοφίσαι ἡμᾶς εἰς ϛωτηρίαν.

Παρα-

CAP. XIX.

De cauſa peccati.

Decimum nonum caput ſtatuit: cauſam peccati eſſe nos, malam voluntatem noſtram, propoſitumque noſtrum, & Deum vero nullo modo authorem malorum eſſe. Hoc per omnia vere & recte dicitur. Nam in explicatione Epiſtolæ ad Timotheum Chryſoſtomus dicit: Scito, Deum omnia adminiſtrare, omnibus providere. Alio operatur, alia permittit: nullum malum fieri vult. Omnia bona, & a nobis, & ab eius inclinatione, ſunt: quia nihil eſt, quod lateat ipſum. Omnia vero mala a noſtra voluntate ſunt: Affliguntur iuſti, vt coronentur peccatores, vt peccatorum pœnas pendant. Non omnes autem peccatores pœnas hic pendunt, ne reſurrectio pleriſque incredibilis videatur: non omnes iuſti affliguntur, ne malitiam in laude ponamus. Hæc nos perpendentes, nihil turbare poterit. Si S. literas audierimus continenter: reperiemus ea, quæ nos erudire poterunt ad ſalutem. In ſequentibus rurſus dicit. In no-

Παρακατιὼν δὲ πάλιν φησίν. Ἐν ἡμῖν ἐστι κερδαίνειν ἐκ τῶν δεινῶν, καὶ βλάπτεσθαι. Ἐ παρὰ τὴν φύσιν δὴ τῶν δεινῶν γίνεται, ἀλλὰ παρὰ τὴν ἡμετέραν προαίρεσιν. Ἔπαθεν Ἰὼβ, εὐχαρίστως ἤνεγκεν, ἐδικαιώθη. Ἕτερος δὲ ἐλάττονα πολὺ, ἐδυσφόρησεν, ἠγανάκτησεν, ἐδυσχέρανε πρὸς τὸν Θεὸν, κατεκρίθη καὶ κατεδικάσθη. Ἰσχυρᾶς ἓν δεῖ ἡμῖν ψυχῆς, καὶ οὐδὲν ἡμῖν χαλεπὸν φανεῖται, ἀσθενούσης δὲ, τὰ πάντα. Ἐνεργεῖ γὰρ καὶ ὁ δαίμων τότε, ὅτε μὴ ἔυρη νοῦν ἔνθεον, ὅταν μὴ σώφρονα ψυχήν. Ὅταν γὰρ μὴ μνημονεύῃ τῶν ἐντολῶν τοῦ Θεοῦ, μηδὲ φυλάσσῃ τὰ δικαιώματα αὐτοῦ, τότε αἰχμάλωτον λαβὼν ἄπεισιν. Ὁ γὰρ Ἀδὰμ, εἰ ἐμνημόνευε τῆς ἐντολῆς λεγούσης, Ἀπὸ παντὸς ξύλου φαγῇ, εἰ ἐφύλασσε τὸ δικαίωμα, τὸ λέγον, ᾗ ἂν ἡμέρᾳ φάγητε, ἀποθανεῖσθε, οὐκ ἂν ἔπαθεν ἅπερ ἔπαθεν. Μὴ τοίνυν τὸν Θεὸν αἰτιάσθω τις. Οὐ γὰρ παρὰ τῶν καλούντων γίνεται τὸ μὴ πιστεῦσαι, ἀλλὰ παρὰ τῶν ἀποπηδώντων. ἀλλ' ἔδει, φησί, καὶ ἄκοντας ἐπαναγαγεῖν. Ἄπαγε. Οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει. Τίς γὰρ ἐπὶ τιμὰς, καὶ στεφάνους, καὶ εὐωχίας, καὶ πανηγύρεις καλῶν, ἄκοντας καὶ δεδεμένους ἕλκει; οὐκ ἔστιν οὐδείς. τοῦτο γὰρ ὑβρίζοντός ἐστιν. Εἰς γέενναν πέμπει ἄκοντας, εἰς δὲ βασιλείαν ἑκόντας καλεῖ. Καὶ πόθεν οἱ πάντες αἱρεῖνται; παρὰ τὴν οἰκείαν ἀσθένειαν. Τίνος δὲ ἕνεκα οἱ κόπτει ταύτην; οὐχὶ κτίσιν εἰργάσατο διδάσκουσαν αὐτοῦ τὴν φιλανθρωπίαν, καὶ τὴν δύναμιν; οὐχὶ Προφήτας ἔπεμψεν; οὐχὶ ἐκάλεσεν; οὐχὶ ἐθαυματούργησεν; οὐ γέενναν ἠπείλησεν; οὐ βασιλείαν ἐπηγγείλατο; οὐ καθ' ἑκάστην ἀνατέλ-

bis ſitum eſt, lucrum percipere ex malis, aut damnum accipere. In cauſa ergo ſunt non ipſa mala, ſed noſtra electio. Afflictus eſt Iobus, æquo animo tulit, iuſtificatus eſt. Alius multo minora paſſus eſt: impatienter tulit, indignatus eſt, Deo ſuccenſuit: talis iudicatus & condemnatus eſt: tum nihil nobis durum videbitur, Infirmo vero animo, difficilia omnia. Actuoſus tunc etiam dæmon eſt: quando animum Deo vacuum reperit, quando animam temperantiæ expertem. Cum enim non memor eſt præceptorum Dei: cum non ſeruat iura & inſtituta eius: in captivitatem Satanas abducit. Adamus ſi memor fuiſſet illius præcepti: De omni ligno comedes: ſi obſervaſſet decretum illud: Quo die comederitis, moriemini: non accidiſſet ei malum, quod accidit. Nemo igitur Deum accuſet. Non enim cauſam dant incredulitati qui vocant: ſed qui reſiliunt, & tergiverſantur. At debebat etiam invitos retrahere? Apage. Non ille vi adigit, non cogit. Quis enim, quæſo, ad honores, ad coronas, ad convivia, ad celebres conventus, vocans, trahit invitos & vinctos. Nemo prorſus. Contumelia hoc eſſet. In Geennam mittit invitos: ad Regnum vocat voluntarios. Sed vnde eſt, quod non omnes eligunt? A ſua propria vnicuique imbecillitate. Cur non amputat hanc? Audi. Non creaturam condidit, docentem de ipſius erga genus noſtrum amore, & de ipſius potentia? Non prophetas miſit? Non vocavit? Non miracula fecit? Non Geennam minatus eſt? Non promiſſit regnum? Non quotidie Solem ſuum ori-

ri

κατέλλει τὸν ἥλιον; Ἐβελόμην φησὶ πάλιν ἀνάγκη εἶναι καλὸς, καὶ πάντως ἀποστερεῖσθαι τῶν μισθῶν, ἢ προαιρέσει φαῦλος, καὶ κολάζεσθαι καὶ τιμωρεῖσθαι. ἔκ ἔστι ποτὲ ἀνάγκην εἶναι καλήν. Εἰ μὲν ἓν ἀγνοεῖς τὸ πρακτέον, δεῖξον. καὶ τότε ἐρεῖμεν ὅπερ εἰπεῖν δεῖ. Εἰ δὲ οἶδας τὰ ἀπηγορευμένα, τίνος ἕνεκεν ἀφεύγεις τὸ πονηρὸν; ἀ δύναμαι, φησὶν. ἀλλ' ἕτεροι οἱ τὰ μείζω κατορθώσαντες κατηγορήσασί σε, καὶ ἐπισομίσασί σε ἐκ περισσίας πολλῆς. Σὺ μὲν γὰρ, φησιν, ἴσως καὶ μετὰ γυναικὸς ἀ σωφρονεῖς, ἄλλος δὲ καὶ χωρὶς γυναικὸς, ἀκέραιαν τὴν ἀγνείαν διατηρεῖ. Τίνα ἓν ἔχεις ἀπολογίαν, τὸ μέτρον ἀ φυλάττων; ἀλλ' ἐκ εἰμὶ τοιοῦτος, φησὶ, τὴν φύσιν. Ἐπειδὴ μὴ θέλεις, ἐκ ἐπεὶ μὴ δύνασαι. Καὶ γὰρ δείκνυμαι, πάντας ἐπιτηδείως πρὸς ἀρετὴν ἔχοντας. Ὁ γὰρ μὴ δύναταί τις ποιῆσαι, ἀδὲ ἀνάγκης ἐπικειμένης δυνήσεται. Εἰ δὲ ἀνάγκης ἐπικειμένης δυνήσεται, ὁ μὴ ποιῶν, παρὰ προαίρεσιν ἀ ποιεῖ. Οἷον τὶ λέγω. ἀναπτῆναι, καὶ πρὸς ἀρανὸν ἀρθῆναι, σῶμα ἔχοντα βαρὺ, πάντως ἀ δυνατόν. Τὶ ἓν εἰ Βασιλεὺς ἐπιτάξειε τοῦτο ποιῆσαι, καὶ θάνατον ἠπείλησε, λέγων, ὅτι τὸς μὴ πετομένους ἀνθρώπους ἀποτέμνεσθαι κελεύω, καὶ καίεσθαι, ἢ ἄλλότι πάσχειν τοιοῦτον. ἆρα ἂν τις ἐποίησεν; ἀδαμῶς. ἀ δέχεται γὰρ ἡ φύσις. Ἂν δὲ θῆ δόγμα, σωφρονεῖν, ἆρα ἐκ ἂν ἐπείθησαν πολλοὶ τῷ προσάγματι; ἐχὶ, φησὶ, διὰ τὸς παραβαίνοντας. ἀλλ' εἰ δήσας καθείρξω, δυνήσεται ἐνεγκεῖν, κὴ μηδὲν παθεῖν ἀηδές, Οὐκοῦν ὁ δεῖνα φύσει καλὸς. κὴ ὁ δεῖνα φύσει κακὸς, ἀ γὰρ ἂν μεταβάλλοιτο, ὡς ὁρῶμεν ἐμφανῶς.

ri finit? At mallem, inquis, coactu & neceſſitate eſſe bonus, & omnino carere præmiis: quam voluntate & electione malus, & pœnis ſuppliciisque? At fieri non poteſt: vt, quod coactum eſt, bonum & pulchrum ſit. Heus tu, ſi neſcis, quid facere debeas, indica: tunc te de omni officio docebimus. Sin autem ſcis, quæ vetita ſunt: age, cur non fugis malum? Non poſſum, inquis. Ergo alii qui maiore cum laude fecerunt te accuſabuut: tibi os abunde obturabunt. Tu enim forte) exempli cauſa) vxorem habens, caſtus non es: alius etiam in cœlibatu purus permanet. Quam igitur habes defenſionem in tali exceſſu? Non ſum ita factus natura, inquis. Ita, quia non vis: non, quia non potes. Demonſtro enim ego, omnes ad virtutem aptos eſſe. Nam, quod volens non poteſt aliquis facere, neceſſitate quidem coactus poterit. Sin neceſſitate poterit: qui non facit, voluntate ſua non facit. Exempli gratia, qui grave corpus habet, fieri non poteſt, vt ad coelum ſubuolet. Quid ergo, ſi Rex imperet hoc ſub pœna mortis, dicens: Homines non volantes, obtruncari iubeo, & cremari, aut aliter necari: num ne aliquis faceret? Nequaquam. Repugnat enim natura. Si vero decretum faciat, temperantiam colendam eſſe: num non multi dicto audientes fuerint? Negas, propter transgreſſores. At ſi talem in vincula coniecero: poterit is illi decreto obedire, & pœnam effugere: Non igitur alius natura bonus eſt, alius natura malus. Alioqui non mutaretur, ſicut manifeſte videmus.

CAP.

ΚΕΦ. κ'.

Περὶ ἀγαθῶν ἔργων.

Τὸ δὲ εἰκοστὸν ἐστὶ, τὸ φάσκον, πῶς ὑμεῖς τὰ ἀγαθὰ μὲν τῶν ἔργων ἐ κωλύετε, ἀποκαλεῖτε δὲ, τὰς ἑορτὰς. τὰς τελετὰς, τὰς ῥητὰς νηστείας, τὰς ἀδελφότητας, τὴν μοναχικὴν πολιτείαν, ἢ τἆλλα τὰ τούτοις ὅμοια ἔργα ἀνωφελῆ. Τοῦτο δὲ καλόν ἐστιν, ἐ δὲ τοῖς θείοις πατράσι συνάδον. Εἰ γὰρ τὰ ἀγαθὰ ἔργα ῥέργετε πάντα, ὡς λέγετε, ἢ ταῦτα, ἀγαθὰ ὄντα, ῥέργειν ὀφείλετε. αὐτίκα γὰρ ὁ μέγας Βασίλειος λέγει, ὁ ἀσκητικὸς βίος, ἕνα σκοπὸν ἔχει τὴν τῆς ψυχῆς σωτηρίαν. Καὶ πᾶν τὸ δυνάμενον πρὸς αὐτὴν συνεργῆσαι τὴν πρόθεσιν, ὡς θείαν ἐντολὴν, ἕτω μετὰ φόβε Θεῦ παραφυλάττειν. Οὐδὲ γὰρ αὐταὶ αἱ ἐντολαὶ τῦ Θεῦ πρὸς ἄλλότι βλέπεσι, εἰ μὴ πρὸς τὸ σωθῆναι τὸν ἐπακέοντα. Χρὴ τοίνυν, καθάπερ οἱ ἐπὶ τὸν λετρὸν εἰσιόντες γυμνῆνται παντὸς περιβλήματος, ἕτω καὶ τὸς τῇ ἀσκητικῇ προσερχομένες ζωῇ, πάσης ὕλης βιωτικῆς γυμνωθέντας, ἐντὸς τῦ κατὰ φιλοσοφίαν γενέσθαι βίε. τὸ προηγέμενον ἐστὶ, γυμνωθῆναι τὰ κατὰ τὴν κακίαν πάθη, τὸ ἑπόμενον δὲ, καὶ ὑλικῶν πάντων. Ὅταν δὲ τὴν μετ' ἀλλήλων ζωὴν καταδέξωνται, χρὴ τοῦτο πρὸ πάντων ἐν αὐτοῖς κρατηθῆναι, τὸ μίαν ἐν πᾶσι καρδίαν εἶναι, καὶ θέλημα ἕν, καὶ ἐπιθυμίαν, καθὼς νομοθετεῖ ὁ Ἀπόστολος ἕν γίνεσθαι σῶμα ἐκ διαφόρων μελῶν συνηρμοσμένον, πᾶν τὸ πλήρωμα τῆς συνοδίας τῶν ἀδελφῶν, ἐδὲν ἴδιον ἐχόντων, ἀλλὰ τὰ πάντα κοινά. Χρὴ τοίνυν ἐπαινεῖν τὸς τοιύτες τῶν μοναχῶν, καὶ

CAP. XX.

De bonis operibus.

In Vigesimo capite dicitur, à vobis bona opera non prohiberi: ferias tamen initiationes & ceremonias, ieiunia certa, fraternitates, Monasticam vitam, cæteraque his similia, nominatis opera inutilia. Id, bonum non est, nec S. patribus consonum. Si enim bona opera amatis omnia, vt dicitis, enim hæc, quia bona, amare debetis. Prodeat statim Basilius magnus: is ita dicit. Ascetica vita (id est, Monastica, in studio & exercitatione sita) vnum sibi habet finem propositum, scilicet animæ salutem & vt omnia, quæ huic proposito inseruiunt, tanquam mandatum divinum, cum timore Dei obseruet. Nec enim ipsa mandata Dei alio respiciunt: nisi vt salutem qui eis paret, adipiscatur. Necesse igitur est, sicut illi qui in balneum ingrediuntur, omnem vestem exvunt ita hos, qui asceticam accedunt vitam, omni materia & impedimentis huius seculi nudatos, in hanc Philosophicam studiosamque includi vitam Primum est, nudari vitiis & malis affectibus: proximum, etiam meterialibus (id est, mundanis) omnibus. Postquam sese in mutuum convictum contulèrint: hoc ante omnia in ipsis fixum ratumque esse debet: vt vnum sit in omnibus cor, eadem voluntas, similis cupiditas, secundum legem ab Apostolo præscriptam. Vnum fieri corpus, ex diversis membris compactum, in toto hoc fraterno cœtu: in quo nulla rerum proprietas sit, sed omnia communia. Laudandi ergo tales monachi sunt: præsertim quia, quotquot amore

καὶ ταῦτα, ὅσους ὁ ἐράνιος ἔρως πρὸς τὴν τῶ καλῶ κατανόησιν ἔτρωσε, τὸν νυμφίον Χριστὸν περιέπειν, ἄλλας παρ' ἄλλοις τοῦ καλῶ τὰς ἰδέας ἀσκέμεοι ἐντῇ ἐκκλησίᾳ, καὶ ἄδοντες, οἱ μὲν τῆς παρθενίας ὕμνες, οἱ δὲ, τῶν νηστείαις τε καὶ χαμευνίαις ὑπωπιαζόντων τὸ σῶμα ἐγκώμια, ἄλλοι δὲ, τὸ μεγαλόψυχον τῶν πιπρασκόντων διὰ τὸν Κύριον τὰ ὑπάρχοντα θαυμάζοντες, τὰς ἐπαίνες ἐν μακρῷ διεξέρχονται. Οὐχ ὅπως ἔκαστον μετιέναι προσήκει τῶν εἰρημένων, διδάσκειν οἰόμενοι, ἀλλὰ τὰς ἐπαίνες τῶν εἰρημένων, εἰς τὴν τῶ καλῶ προκοπὴν μόνον ἀρκεῖν λογιζόμενοι, ἐπιτιμᾶν δὲ τοῖς μὴ τοιούτοις. Ὥσπερ γὰρ οἱ κληθέντες ὑπό τινος, εἰ μὲν σκοπὸς πρόκειται τῷ καλέσαντι τῶ θερίσαι, πρὸς αὐτὸ ἑαυτὰς παρασκευάζεσι, εἰ δὲ σκοπὸς τῶ οἰκοδομῆσαι, πρὸς τὴν οἰκοδομὴν ἐυτρεπίζονται, ἕτως οἱ εἰς τὸ ὄνομα τῶ κυρίε συναχθέντες, πάντως ὀφείλεσιν εὐδέναι τὸν σκοπὸν τῶ συναγαγόντος, καὶ πρὸς αὐτὸν ἑαυτὰς καταρτίζειν, ἵνα μὴ ἀποτύχωσιν, ἀλλ' ἐυαρεστήσεως χάριν ἔυρωσι, καὶ μὴ κακίας ἢ ἀμελείας κρίματι ὑποπέσωσι. Καὶ μνημονεύειν ὀφείλεσι τῶ ἀποστόλε λέγοντος. (Ἐφες. κεφ. δ.). Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε. Σαφέστερον δὲ ὁ Κύριος ἡμῖν ἐφίστησι τὸ πᾶν διὰ τῆς πρὸς ἕνα ἐπαγγελίας εἰπὼν, (Ἰωάν. κεφ. ιδ.) Ἐάν τις ἀγαπᾷ με τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὥσπερ ἓν γίνεται παρὰ τέτῳ ἡ μονὴ, ἐκ τῆς τηρήσεως τῶν ἐντολῶν. ἕτω καὶ τῶν δύο, ἢ τριῶν ἐν μέσῳ

amore cœlesti sauciati sunt: vt in boni & pulchri investigatione versentur, sponsoque Christo inseruiant: hi subinde in alio atque alio rerum laudabilium genere se exercent in Ecclesia: quorum alii virginitatem cantu laudant: alii castigationem corporis, quæ ieiunando & humi cubando fit, celebrant: alii celsitatem animi in illis, qui Domini causa bonis suis se abdicant, admirantur, atque has laudes prolixe commemorant, Quod non eo consilio fit: vt, quomodo singula hæc obeunda sint, doceant: sed quod laudes eorum, profectui modo boni & pulchri sufficere arbitrentur: sicut contra, quicquid non tale est, reprehensionem mereri. Quemadmodum enim qui ab aliquo vocati sunt, si is metendi causa vocavit, se ad id comparant: sin ædificandi gratia, ad hoc se instruunt: ita, qui in nomine Domini congregati sunt: omni modo scire debent, quoniam in finem is congregaverit: & ad hunc se conformare, vt ne a scopo aberrent, sed beneplacendi gratiam tangant: nec malitiæ aut negligentiæ nomine condemnentur. Meminisse ergo illius, quod Apostolus dicit: Adhortor vos ego vinctus in Domino: vt digne ambuletis vocatione, qua vocati estis. Dilucidius nobis Dominus totum subjicit, promissione ad vnum directa. Si quis, inquit, diligit me: sermonem meum seruabit: & pater meus diliget ipsum: & ad eum veniemus, & mansionem apud eum faciemus, Sicut itaque; fit apud hunc mansio, obseruatione præceptorum: ita ipse etiam duorum aut trium in medio est: si ad eius voluntatem se hi comparent. Sin non

μέσῳ ἐστὶν, ἐὰν πρὸς τὸ θέλημα αὐτῦ καταρτισθῶσιν. εἰ δὲ μὴ ἀξίως τῆς κλήσεως, μηδὲ πρὸς θέλημα τῦ Κυρίε συνηγμένοι, κἂν ἐπὶ τὸ αὐτὸ συνῆχθαι ἐν ὀνόματι τοῦ Κυρίε δοκῶσιν, ἀκέασι, Τί με καλεῖτε, Κύριε, Κύριε, καὶ ὰ ποιεῖτε ἃ ἐγὼ λέγω. Ὁ τοίνυν βελόμενος μέτοχος γενέσθαι τῆς θείας δόξης, καὶ ὥσπερ ἐν καθαρῷ κατόπτρῳ τὴν Χριστῦ μορφὴν ὁρᾶν, ἐν τῷ ἡγεμονικῷ, ὀφείλει ἀκορέστῳ ζοργῇ καὶ ἀπλήστῳ διαθέσει, ἐξ ὅλης καρδίας καὶ δυνάμεως, νύκτωρ τε καὶ μεθ' ἡμέραν ζητεῖν τὴν τοῦ Θεῦ ἀνάληψιν ἐν δυνάμει. ἧς ἀμήχανον μεταχεῖν, εἰ μὴ, ὡς προείπομεν, πρότερον ἀπεχόμενος τῆς τοῦ κόσμε ἡδυπαθείας, τῶντε ἐπιθυμιῶν, τῆς ἐναντίας δυνάμεως, ἥ τις φωτὸς ἀλλοτρία ἐστὶ καὶ ἐνεργείας ἀνοίκειος ἀγαθῆς καὶ πάντη ἀπεξενωμένη, τυγχάνει. Τοιγαρῦν, εἴπερ βέλει μαθεῖν, τίνος ἕνεκεν κτισθέντες, καὶ τεθέντες ἐν παραδείσῳ τελευταῖον παρασυνεβλήθημεν τοῖς ἀνοήτοις κτήνεσι, καὶ ὡμοιώθημεν αὐτοῖς, ἀποπεπτωκότες τῆς ἀχράντε δόξης, γίνωσκε, ὅτι, ἐπεὶ διὰ τῆς παρακοῆς δῆλοι τῆς σαρκὸς τοῖς πάθεσι γενόμενοι, ἑαυτὲς ἀπωκίσαμεν τῆς μακαρίας ζωῆς, τῆς τῶν ζώντων χώρας. καὶ ἐν αἰχμαλωσίᾳ γενόμενοι, ἔτι ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος καθεζόμεθα, καὶ διὰ τὸ ἔτι ἐν αἰγύπτῳ ἡμᾶς κατέχεσθαι, ἕπω ἐκληρονομήσαμεν τὴν γῆν τῆς ἐπαγγελίας τὴν ῥέεσαν μέλι καὶ γάλα. ἕπω συνεραντίωθη ἡμῶν ἡ καρδία τῷ αἵματι τῷ Ἀμνῷ τῷ Θεῷ. ἔτι γὰρ τὸ πέταυρον τῷ ᾅδε, καὶ τὸ ἄγκιστρον τῆς κακίας ἐμπέπηκται αὐτῇ. ἕπω ἀπειλήφαμεν τὴν ἀγαλλίασιν τῦ Σωτῆρος Χριστῦ. ἔτι γὰρ τὸ κέντρον

digne vocatione, nec ad voluntatem Domini, congregati sint: quanquam in vnum conueniisse in nomine Domini videantur, audiunt illud. Quid dicitis mihi, Domine, Domine, nec facitis, quae ego dico? Qui igitur particeps velit fieri diuinae gloriae: &, tanquam in speculo mundo, Christi formam videre oculis mentis: is debet insatiabili amore, & inexplebili affectione, ex toto corde & viribus, dies noctesque quærere, quomodo pro viribus Deum apprehendere possit. Quod nullo modo fieri potest: nisi, vt ante diximus, prius renunciarit voluptatibus mundi, concupiscentiæ, aduersariæ potentiæ, (id est, Satanæ) quæ aliena a luce est, & bonis actionibus inimica, & omnino ab hospitio virtutis excluſa. Itaque, si discere cupis: cuius finis gratia conditi, & in paradiso positi, ad extremum comparati fuerimus stolidis bestiis, iisque similes facti, delapsi ab illa sincera gloria: nosce, quod, dum per inobedientiam serui affectibus carnis facti fuimus, ipsi nos domicilio beatæ vitæ, & viventium regione, priuavimus, & captivitati obnoxii facti, adhuc ad flumina Babylonis sedemus: & quia etiamnum in Aegypto detinemur, nondum adiimus hæreditatem terræ promissæ melle & lacte fluentis. Nondum conspersum est cor nostrum sanguine agni Dei, Adhuc enim laqueus inferorum, & vitiorum hamus, ei infixus est. Nondum recepimus exultationem conseruatoris Christi. Adhuc enim stimulus mortis inhæret nobis. Nondum induimus novum hominem: qui secundum Deum conditus est in sanctitate & iustitia

τρον τῦ θανάτυ ἐμπέπαρται ἡμῖν. ἔπω ἐνεδυσάμεθα τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ δικαιοσύνη. ἐπειδὴ ἔπω ἀπεδυσάμεθα τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. ἔπω φορέσαντες τὴν εἰκόνα τῦ Ἐπουρανίυ, σύμμορφοι τῆς δόξης αὐτῦ γεγονότες. ἔτι γὰρ τὴν εἰκόνα τῦ χοϊκῦ φορῦμεν. ἔπω προσεκυνήσαμεν ἐν πνεύματι καὶ ἀληθείᾳ Θεῦ, διὰ τὸ ἔτι βασιλεύειν τὴν ἁμαρτίαν ἐν τῷ θνητῷ ἡμῶν σώματι. ἔπω ἐθεασάμεθα τὸν δόξαν τῦ ἀφθάρτυ Θεῦ. ἔτι γὰρ ὑπὸ τῆς σκοτομήνης διεργόμεθα. ἔπω ἐνεδυσάμεθα τὰ ὅπλα τῦ φωτὸς, ἐπεὶ ἔπω ἀπεδυσάμεθα τὰ τῦ σκότυς ὅπλα τε καὶ ἔργα. ἔπω μετεμορφώθημεν τῇ ἀνακαινώσει τῦ νὸς, ἔτι γὰρ συσχηματιζόμεθα τῷ αἰῶνι τύτῳ, ἐν τῇ τῦ νοὸς ματαιότητι. ἔτι ἐσμὲν ἐν τοῖς σαρκικοῖς παθήμασι, καὶ ἐν ταῖς ἐπιθυμίαις. ἔπω κληρονόμοι Θεῦ, καὶ συγκληρονόμοι Χριστῦ γεγόναμεν. ἔτι γὰρ πνεῦμα δελείας ἐνυπάρχει ἡμῖν, καὶ ἐχ Υἱοθεσίας. ἔπω γεγόναμεν ναὸς Θεῦ, καὶ ἐυκτήριον Πνεύματος Ἁγίυ. Ἔτι γὰρ ναὸς εἰδώλων, καὶ δοχεῖον πνευμάτων πονηρῶν, διὰ τὴν ἐπὶ τὰ πάθη ὁρμήν. Ὄντως γὰρ ὄντως, ἐδέπω τὸ ἀκέραιον τῦ τρόπυ καὶ τὴν τῆς διανοίας λαμπρότητα ἐκτησάμεθα. ἔπω κατηξιώθημεν τῦ ἀδόλυ καὶ λογικῦ γάλατος, καὶ τῆς νοητῆς αὐξήσεως. ἔπω ἡμῖν ἡμέρα ἠυγασεν, ἐδὲ ἑωσφόρος ἐν ταῖς καρδίαις ἡμῶν ἀνέτειλεν. ἔπω συνεκράθημεν τῷ Ἡλίῳ τῆς δικαιοσύνης, ἐδὲ ταῖς αὐγαῖς αὐτῦ συνηστράψαμεν. ἔπω ἀπειλήφαμεν τὴν τῦ Κυρίυ ὁμοίωσιν, ἐδὲ γεγόναμεν τῆς Θείας κοινωνοὶ φύσεως. ἔπω γεγόναμεν

tia: quia nondum exuimus veterem hominem: qui corrumpitur secundum cupiditates deceptionis. Nondum gestavimus imaginem illius cælestis, conformes gloriæ eius facti. Adhuc enim imaginem terreni gestamus. Nondum adoravimus in spiritu & veritate Dei: eo quod adhuc regnat peccatum in corpore nostro mortali. Nondum spectavimus gloriam incorruptibilis Dei. Adhuc enim nocte illuni vetamur. Nondum induti sumus armis lucis: quia nondum exuimus arma et facta tenebrarum. Nondum transformati fuimus renovatione mentis. Adhuc enim accommodamus nos figuræ habituique huius seculi, vanitate mentis. Adhuc sumus in carnis passionibus, & in concupiscentiis. Nondum hæredes Dei, & cohæredes Christi, facti sumus. Adhuc enim Spiritus seruitutis inest nobis, non adoptionis. Nondum facti sumus templum Dei: & oratorium seu sacrarium Spiritus S. Adhuc enim templum Idolorum, & receptaculum spirituum malorum, propter impetum, quo ad perturbationes, animi nostri, feruntur. Verissime enim nondum simplicitatem morum, & cogitationum splendorem, possidemus. Nondum donati sumus doli experte. candido, & rationali lacte, & intelligibili, seu spirituali, incremento. Nondum dies nobis luxit: neque Lucifer in cordibus nostris exortus est. Nondum contemperati sumus cum sole iusticiæ: neque cum splendore eius coniuncti resplenduimus. Nondum recepimus Domini similitudinem: nec facti sumus divinæ participes naturæ. Nondum facti sumus infucata purpura

ναμεν ἄδολος πορφύρα βασιλικὴ, ἐδὲ ἀνόθευτος εἰκὼν Θεϊκὴ. ἔπω ἐτρώθημεν ὑπὸ Θείε ἔρωτος, ἐδὲ ἐπλήγημεν ὑπὸ τῆς πνευματικῆς ἀγάπης τᾶ Νυμφίε. ἔπω τὴν ἀόρατον καὶ μυϛικὴν κοινωνίαν ἐγνωρίσαμεν. καὶ ἵνα συνελὼν τὰ πάντα εἴπω, ἔπω ἐσμὲν γένος Ἐκλεκτὸν, Βασίλειον Ἱεράτευμα, ἔθνος Ἅγιον. ἐπεὶ ἐσμὲν ὄφεις, γεννήματα ἐχιδνῶν. πῶς μὲν γὰρ ἐκ ὄφεις, οἱ ἐπὶ γῆς συρόμενοι, καὶ τὰ τῆς γῆς φρονᾶντες, καὶ ἐκ ἐν ἐρανοῖς τὴν πολιτείαν ἔχοντες; πῶς δὲ ἐ γεννήματα ἐχιδνῶν, οἱ μὴ ἐν τῇ ὑπακοῇ τᾶ Θεᾶ ἐυρισκόμενοι; ἀλλ' ἐν παρακοῇ, καὶ ἐν τοῖς ἰδίοις θελήμασι; πῶς ἦν ἐκβοήσω καὶ δακρύσω πρὸς τὸν δυνάμενον ἐξελάσαι τὴν αὐλιζομένην ἐν ἐμοὶ πλάνην; πῶς ἐξολοθρεύσω τὰ ἐν ἐμοὶ πάθη, καὶ μέτοχος γένωμαι τῆς δόξης τᾶ Θεᾶ; Σπεδάσω ἄμωμον τέκνον τᾶ Θεᾶ γενέσθαι, καὶ εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ὅπε πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησᾶς. καταφέρω δάκρυα, ὡς χειμάῤῥες. λέσω καθεκάσην νύκτα τὴν κλίνην με, ἵνα ἐκ θλίψεως καὶ συνοχῆς καρδίας ἐλεηθῶ, καὶ, ὡς ἡ Μαρία, τὴν ἀγαθὴν ἐκλεξάμενος μερίδα, εἰσακεσθῶ, καὶ τᾶ ἐπερανίε ἄρτε ἀξιωθῶ.

Ἆρα ἔν, φήσειέν τις, τὰ πλήθη τῶν Χριϛιανῶν, μὴ φυλάσσοντα πάσας τὰς ἐντολὰς, ἀνόνητον ἕξει τὴν τινῶν φυλακήν; πρὸς τᾶτο τὸ τᾶ μακαρίε Πέτρε μνημονεῦσαι καλὸν, τᾶ μετὰ τοσαῦτα μὲν κατορθώματα, τοσᾶτος δὲ τᾶς μακαρισμᾶς, ἐφ' ἑνὶ μόνῳ ἀκέοντος, Ἐὰν μὴ νίψωσε, ἐκ ἔχεις μέρος μετ' ἐμᾶ. Ἐῶ δὲ λέγειν, ὅτι ἐδὲ ἐκεῖνο ῥαθυμίαν ἐδὲ καταφρονήσεως εἶχεν ἔνδειξιν, ἀλλὰ τιμῆς καὶ ἐυλαβείας ἦν ἔμφασις.

Regia: neque germana imago divina Nondum ſaucii ſumus amore divino nec icti ſumus Spirituali charitate ſponſi. Nondum inviſibilem & myſticam communionem novimus. Atque vt in pauca conferam omnia, nondum ſumus genus electum, Regium ſacerdotium, gens ſancta: quia adhuc ſumus ſerpentes, progenies viperarum. Quomodo enim non ſerpentes: qui in terra repimus, terrena ſapimus, nec in cœlis civitatem habemus? Quomodo non progenies viperarum: qui non obedientes Dao deprehendimur, ſed rebelles, ad noſtram libidinem viventes? Quomodo igitur exclamabo, & lachrymabor ad illum: qui poteſt expellere in me habitantem errorem? Quomodo exterminabo animi mei motus: & particeps fiam gloriæ Dei? Studebo irreprehenſus Dei filius fieri: & ingredi in illam requietem: quam præcurſor pro nobis ingreſſus eſt Jeſus. Profundam lachrymas, vt torrentes: lauabo ſingulis noctibus cubile meum: vt ex afflictione & compreſſione cordis miſericordiam conſequar: &, ſicut Maria, bona parte electa, exaudiar: & coeleſti pane dignus habear.

Dicet aliquis: Num Chriſtianis, ſi non obſeruent omnia mandata, nihil proderit, aliqua obſeruaſſe? Adverſus hoc vtile eſt meminiſſe illudD. Petri: qui poſt tot benefacta, poſttales beatitatis prædicationes ob unum tantum audivit ſibi dici: Niſi lavero te, non habes partem mecum. Omitto dicere, nec illud ſocordiam aliquam habuiſſe, aut contemptionis ſignificationem, ſed honoris & reverentiæ indicium fuiſſe. At dicat aliquis, ſcriptum

φασις. Καὶ μὴν, εἴποι τις ἄν, γέγραπται, (Ἰωὴλ. κεφ. ϛ'.) Πᾶς ὃς ἐπικαλέσεται τὸ ὄνομα Κυρίε, σωθήσεται. ὥστε ἀρκεῖ καὶ αὕτη ἡ ἐπίκλησις τῦ Κυρίε, σῶσαι τὸν καλέμενον. ἀλλ' ἀκεέτω καὶ ἔτος τῦ Ἀποστόλε, λέγοντος, (Ῥωμ. κεφ. ι'.) Πῶς ἓν ἐπικαλέσονται, εἰς ὃν ὐκ ἐπίσευσαν; Εἰ δὲ πισεύεις, ἄκυε τῦ Κυρίε, (Ματθ. κεφ. ζ'.) Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν ὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τῦ Πατρός μυ. ὅπυ γε καὶ ὁ τὸ θέλημα τῦ Κυρίε ἐργαζόμενος, μὴ καθὼς θέλει δὲ ὁ Θεὸς, μηδὲ ἐν διαθέσει τῆς πρὸς Θεὸν ἀγάπης τῦτο ποιῶν, ἀνόνητον ἔχει τὴν τοῦ ἔργυ σπεδὴν, κατὰ τὴν τῦ Κυρίε φωνὴν, ποιῆσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχυσι τὸν μισθὸν αὐτῶν. Ὅθεν καὶ Παῦλος ἐπαιδεύθη εἰπεῖν, (ά. Κορ. κεφ. ιγ'.). Ὅτι ἐὰν ψωμίσω τὰ ὑπάρχοντά μυ, καὶ ἐὰν παραδῶ τὸ σῶμά μυ, ἵνα καυθῶ, ἀγάπην δὲ μὴ ἔχω, ὐδὲν ὠφελῶμαι. Πῶς ἓν τὸν καθ' ἡδονὴν βίον, τῦ κατ' ἐντολὴν προτιμήσαντες, ζωῆς μακαριότητα, καὶ ἰσοπολιτείαν Ἀγίων, καὶ τὰς μετὰ ἀγγέλων ἐυφροσύνας, ἐν προσώπῳ Χριτῦ ἑαυτοῖς ὑποθώμεθα; νηπίας ὄντως φρενὸς τὰ τοιαῦτα φαντάσματα. πῶς ἔσομαι μετὰ Ἰὼβ, ὁ μηδὲ τὴν τυχῦσαν πίσιν μετὰ ἐυχαριτίας δεξάμενος; πῶς μετὰ τῦ Δαυὶδ, ὁ μὴ πρὸς τὸν πολέμιον μακροθύμως διατιθεὶς; πῶς μετὰ Δανιὴλ, ὁ μὴ μετ' ἐγκρατείας διηνεκῦς, καὶ δεήσεως φιλοπόνυ, τὸν Θεὸν ἐκζητήσας; πῶς μεθ' ἑκάστυ τῶν Ἁγίων, ὁ μὴ τοῖς ἴχνεσιν αὐτῶν περιπατήσας; τίς ἔτως ἄκριτος ἀθλοθέτης, ὃς τῶν ἴσων ἀξιῶσαι στεφάνων

tum esse: quicunque invocaverit nomen Domini, saluum fore. Ergo nobis etiam invocationem hanc Domini satis esse ad salutem. At invicem audiat Apostoli dictum: Quomodo invocabunt, in quem non crediderunt? Sed si credis, audi Dominum, Non omnis, qui dicit mihi, Domine, Domine, ingredietur in regnum cœlorum, sed qui facit voluntatem patris mei. Vbi etiam is, qui voluntatem Domini facit non tamen ita, vt hic vult: nec affectione amoris erga ipsum: frustra illi operi studuit, sicut Dominus ait: Faciunt, vt conspiciantur ab hominibus. Amen dico vobis, abstulerunt mercedem suam. Vnde Paulus etiam didicit dicere: Si in alimoniam omnes facultates meas insumam: &, si tradam corpus meum, vt comburar: charitatem autem non habeam: nihil vtilitatis capio. Qua igitur fronte voluptariam vitam, vitæ præceptis Dei consonæ anteferentes, beatam vitam, & sanctorum conversationem, & communes cum Angelis lætitias, in conspectu Christi nobis subjiciamus, atque apud animum nostrum proponamus? Puerilis profecto mentis, tales imaginationes sunt. Quomodo ero cum Iobo: qui ne paruam quidem & vulgarem fidem, grato animo habuerim? Quomodo cum Davide: qui non erga inimicum tolerans & placabilis fuerim? Quomodo cum Daniele, qui non continua continentia, & laboriosa deprecatione Deum quæsiverim? Quomodo cum vnoquoque Sanctorum: qui non per vestigia ipsorum incesserim? Quis ita iudicio carens, ludorum præses est: qui æqualibus dignari coronis victorem, &

Φάνων τὸν νικητὴν, καὶ τὸν μηδὲν ἠγωνισμένον ἐθελήσειεν; τίς στρατηγὸς εἰς τὴν μερίδα τῶν σκύλων, ἐξίσᾳ ποτὲ τοῖς νενικηκόσι, τὸς μηδὲ φανέντας ἐπὶ τῆς μάχης, ἐκάλεσεν; ἀγαθὸς ὁ Θεὸς, ἀλλὰ καὶ δίκαιος. Μὴ οὖν ἐξ ἡμισείας τὸν Θεὸν γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥᾳθυμίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμβάνωμεν. διὰ τοῦτο βρονταὶ, διὰ τοῦτο κεραυνοὶ. ἵνα μὴ καταφρονῆται ἡ ἀγαθότης. Ὁ τὸν ἥλιον ἀνατέλλων καὶ ἀβλεψίαν καταδικάζει. ὁ τὸν ὄμβρον διδὲς, καὶ τὸ πῦρ βρέχει. ἐκεῖνα τῆς χρηστότητος, ταῦτα τῆς ἀποτομίας ἢ δι' ἐκεῖνα ἀγαπήσωμεν, ἢ διὰ ταῦτα φοβηθῶμεν, ἵνα μὴ ῥηθῇ καὶ ἡμῖν, ἢ τὸ πλοῦτος τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καταφρονεῖς; (Ῥωμ. κεφ. β'.) ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σε, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. Ἐπεὶ τοίνυν ἔστε δυνατὸν σωθῆναι, μὴ ποιοῦντας τὰ κατ' ἐντολὴν τοῦ Θεοῦ ἔργα, ἔστε παριδεῖν τι τῶν προστεταγμένων ἀκίνδυνον, δεινὴ γὰρ ἡ ἔπαρσις, κριτὰς ἡμᾶς τοῦ νομοθέτου καθέζεσθαι, φέρε φυλακὴν τῶν Εὐαγγελικῶν δογμάτων τιμήσωμεν, μετὰ πίστεως ἀληθοῦς, κοινὴν φροντίδα καὶ βουλὴν προθώμεθα, ὅπως ἂν μηδὲν ἡμᾶς διαφύγῃ τῶν ἐντεταλμένων. Εἰ γὰρ δεῖ τέλειον εἶναι τὸν τοῦ Θεοῦ ἄνθρωπον. ἀνάγκη πᾶσα διὰ πάσης ἐντολῆς καταρτισθῆναι, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. ὥσπερ γὰρ ἐμοὶ ἀνάγκη ἐπίκειται, καὶ οὐαί μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι, ἔτω καὶ ὑμῖν ἴσος ἀγὼν, ἀποραθυμήσασι πρὸς τὴν ἐξέτασιν ἢ ἀτόνως καὶ ἐκλελυμένως πρὸς τὴν

qui non certavit, velit? Quis Imperator, ad æqualem ſpoliorum partem cum victoribus, eos, qui ne quidem conſpecti fuerunt in prælio, vnquam vocavit? Bonus quidem eſt Deus: ſed idem etiam iuſtus. Ne ergo ex dimidio tantum Deum cognoſcamus, nec occaſionem negligentiæ ex eius humanitate capiamus. Ideo tonitrua ſonant, ideo fulmina cadunt: ne contemnatur illius bonitas. Qui ſolem facit oriri, etiam viſu privat: qui imbrem dat, etiam igne pluit. Illa a bonitate proficiſcuntur: hæc a ſeveritate. Aut propter illa diligamus, aut propter hæc timeamus: vt ne dicatur nobis illud: vt diuitias bonitatis eius & tolerantiæ, contemnis? ignorans, bonitate Dei te ad pœnitentiam duci? Nunc duritia tua & pœnitentiæ neſcio corde, tibimet colligis & reponis iram in die iræ. Quandoquidem igitur nec ſaluari poſſumus: niſi faciamus opera a Deo præcepta: nec, negligere aliquid ex mandatis, periculo vacat (magna enim arrogantia fuerit, ſi nos in legis latorem ſedere iudices velimus) age obſeruationem Euangelicorum dogmatum honoremus, cum fide vera: communem curam & conſultationem ſuſcipiamus: quomodo nihil nos effugiat mandatorum. Si enim perfectus eſſe debet homo Dei: omnino neceſſe eſt, per omne mandatum perfici: dum perveniat ad iuſtam menſuram ætatis & ſtaturæ completi corporis Chriſti, Vt enim mihi neceſſitas incumbit, ac væ mihi inſtat, niſi Evangelium docuero: ita par vobis certamen propoſitum eſt: ſi negligentes in perpendendis auditis fueritis:

τὴν φυλακὴν τῶν παραδιδομένων, καὶ τὴν διὰ τῶν ἔργων πλήρωσιν διατεθεῖσιν. Διότι φησὶν ὁ Κύριος. (Ἰωάνν. κεφ. ιϛ'.) ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ (Λεκ. κεφ. ιβ'.) δοῦλος ὁ μὴ γνοὺς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας, ὁ δὲ γνοὺς, καὶ μὴ ποιήσας, μηδὲ ἑτοιμάσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται, πολλάς. Γενέσθω οὖν ἡ οἰκονομία τοῦ λόγου, ἐμοὶ μὲν ἀμέμπτως, ὑμῖν δὲ ἔγκαιρος, ὡς ἂν εἰδότες, ὅτι ἀντιπρόσωπον ἡμῖν οἱ τῆς θεοπνεύστου γραφῆς λόγοι στήσονται, ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ Ἐλέγξω γάρ σε, φησὶ, (Ψαλμ. μθ.) καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Ἔτω καὶ προσέχωμεν νηφόντως τοῖς λεγομένοις, καὶ εἰς ἔργον προσαγαγεῖν τὰ θεῖα δόγματα σπουδαίως ἐπειχθῶμεν, ὅτι ἐκ οἴδαμεν, ποίᾳ ἡμέρᾳ καὶ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται. ἡ γὰρ πρὸν Θεὸν οἰκειότης, οὐκ ἐν τῇ κατὰ σάρκα συγγενείᾳ γνωρίζεται, ἀλλ' ἐν τῇ σπουδῇ τῶν θελημάτων τοῦ Θεοῦ κατορθοῦται. Ὁ ὢν ἐκ τοῦ Θεοῦ, τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει. Καὶ ἐν τῇ πρὸς Ῥωμαίους (κεφ. η'.) Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, ἔτοι εἰσὶ Υἱοὶ Θεοῦ. Ὅπερ ἐξηγέμενος ὁ Χρυσόστομος λέγει, Ἵνα μὴ τῇ δωρεᾷ τοῦ λουτροῦ θαῤῥήσαντες, τῆς μετὰ ταῦτα ἀμελήσωσι πολιτείας, ὃν εἶπεν, ἔλαβον, ἀλλ' ἄγονται. τουτέστι, ὅσοι πάντα τὸν βίον καλῶς πολιτεύονται, ἔτοί εἰσιν Υἱοὶ Θεοῦ. Καὶ ὁ Ἰωάννης, (κεφ. ιε'.) Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Καὶ ὅτι ἀδύνατον, καταξιωθῆναι βασιλείας Οὐρανῶν, τὸν μὴ πλείονα τῆς ἐν τῷ νόμῳ τὴν κατὰ τὸ Εὐαγγέλιον δικαιοσύνην

Ἁγίῳ χαρισάμενος τὴν ἐνέργειαν, ἀλλὰ τί φησιν; „Ἐν τούτῳ γνώσονται πάντες, „ὅτι ἐμοὶ μαθηταί ἐστε ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Καὶ ἔτω πανταχῆ τὰς ἐντολὰς ταύτας συνάπλει, ὥστε τὴν εἰς τὸν πλησίον ἐυποιΐαν εἰς ἑαυτὸν μετατίθησιν. Ἐπείνασα γάρ, φησι, καὶ ἐδώκατέ μοι φαγεῖν. εἶτα ἐπάγει, „Ἐφ' ὅσον ἐποιή„σατε ἑνὶ τούτων, τῶν ἀδελφῶν μου τῶν „ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Οὐκοῦν διὰ μὲν τῆς πρώτης, ἐπὶ κατορθῶσαι καὶ τὴν δευτέραν, διὰ δὲ τῆς δευτέρας αὖθις ἐπανελθεῖν ἐπὶ τὴν πρώτην. καὶ ἀγαπῶντα μὲν τὸν Κύριον, ἀγαπᾶν ἀκολούθως καὶ τὸν πλησίον. Ὁ γὰρ ἀγαπῶν με, εἶπεν, τὰς ἐντολάς μου τηρήσει. Αὕτη δέ ἐστιν ἡ ἐμὴ ἐντολή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. ἀγαπῶντα δὲ πάλιν τὸν πλησίον, τὴν εἰς τὸν Θεὸν ἀγάπην ἀποπληροῦν, αὐτῷ εἰς ἑαυτὸν ἀποδεχομένου τὴν χάριν. Διόπερ ὁ μὲν πιστὸς θεράπων τοῦ Θεοῦ Μωσῆς, τοσαύτην ἀπεδείκνυτο τὴν ἀγάπην τὴν εἰς τοὺς ἀδελφούς, ὥστε καὶ ἐξαλειφθῆναι ἠρῆτο ἐκ τῆς Βίβλου τοῦ Θεοῦ, εἰς ἣν ἐγέγραπτο, εἰ μὴ συγχωρηθείη τῷ λαῷ τὸ ἁμάρτημα. Ἦν δὴ περιέχοντες, οὐκ ἐξαθενεῖν δίκαιον τὰ παρὰ τῶν Πατέρων προστεταγμένα. ὅθεν καὶ Βασίλειος. τῶν μὲν ἐπιτασσόντων ἡ διαφορά, οὐδὲν ὀφείλει παραβλάπλειν τὴν ὑπακοὴν τῶν ὑποτασσομένων. ἔτε γὰρ Μωσῆς παρήκουσε τοῦ Ἰωθόρ, ἀγαθὰ συμβουλεύσαντος. τῶν δὲ ἐπιταγμάτων διαφορᾶς ἐκ ὀλίγης ὔσης, (τὰ μὲν γὰρ ἐναντίως ἔχει πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου, ἢ παραφθείροντα αὐτὴν, ἢ μολύνοντα πολλαχῶς ἐπιμιξία τοῦ κεκωλυμένου, τὰ δὲ συνεμπίπλει τῇ ἐντολῇ, τὰ δὲ, κἂν μὴ συνεμπίπλει κατὰ τὸ προφανὲς, ἀλλὰ συμβάλλεται, καὶ οἱονεὶ βοήθειά

quoque efficiendi facultatem, munere Spiritus S. conceſſerat) ſed quid ait? Ex „hoc cognoſcent omnes, vos eſſe meos „diſcipulos: ſi mutuam inter vos habeatis charitatem. Adeoque vbique mandata hæc connectit: vt, quæ proximo benigne facta ſunt, in ſe transferat. Eſurivi enim, „inquit: & dediſtis mihi, quod comede„rem. Deinde infert: Quatenus vni ho„rum feciſtis, fratrum meorum minimo„rum, mihi feciſtis. Ergo per primum impleri poteſt etiam alterum: & rurſum ab altero rediri ad primum: ita vt, ſi quis diligit Dominum, diligat exinde proximum, (Qui enim diligit me, inquit: is mandata mea ſervabit. Hoc autem eſt mandatum meum: vt vos invicem diligatis, ſicut ego dilexi vos) & ſi quis diligit proximum, dilectionem erga Deum expleat: ipſo in ſeſe recipiente eam gratiam. Idcirco fidelis famulus Dei Moſes, tanto flagrabat charitatis erga fratres igne: vt etiam deleri ſe vellet ex libro Dei, in quo nomen ipſius inſcriptum erat: ſi non condonaretur peccatum populo. Quam charitatem ſi teneamus: non eſt æquum, quæ a S. Patribus mandata ſunt, nihili æſtimare. Hinc & Baſilius, diverſitas præcipientium, inquit, non debet incommodare obedientiæ ſubditorum. Nec Moſes enim bonum Iothoris conſilium aſpernatus eſt. Cum autem mandatorum diverſitas non parva ſit, (alia enim adverſantur præcepto Domini: aut labefactantia id, aut pluribus modis polluentia, additione alicujus vetiti. Alia vero coincidunt cum præcepto. Alia etiamſi non aperte coincidunt, tamen aliquid conferunt, & quo-

τις ἐστὶ τῆς ἐντολῆς) ἀναγκαῖον, μεμνῆθαι τοῦ Ἀποστόλου, εἰπόντος, (ά. Θεσ. κεφ. έ.) „Προφητείας μὴ ἐξουθενεῖτε, πάντα δὲ „δοκιμάζοντες τὸ καλὸν κατέχετε. ἀπὸ „παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. καὶ πάλιν. (Β΄. Κορ. κεφ. ί.) „Λογισμοὺς καθαιροῦντες, „καὶ πᾶν ὕψωμα, ἐπαιρόμενον κατὰ τῆς „γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες „πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. ὥστε εἰ μέν τι συμπίπτον τῇ ἐντολῇ τοῦ Κυρίου, ἢ συμβαλλόμενον ἐπιταχθῶμεν, ὡς τοῦ Θεοῦ θέλημα σπουδαιότερον καὶ ἐπιμελέστερον καταδέχεσθαι χρὴ, πληροῦντας τὸ εἰρημένον, Ἀνεχόμενοι ἀλλήλων, ἐν ἀγάπῃ Χριστοῦ. Ὅταν δέ τι ἐναντίον τῇ τοῦ Κυρίου ἐντολῇ, παραφθεῖρον ἢ μολῦνον αὐτὴν, ἐπιταχθῶμεν παρά τινος, καιρὸς „εἰπεῖν τότε. Πειθαρχεῖν δεῖ Θεῷ μᾶλ„λον, ἢ ἀνθρώποις, μνημονεύοντες τοῦ „Κυρίου λέγοντος. Ἀλλοτρίῳ δὲ ἐ μὴ ἀκο„λουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, „ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. καὶ τοῦ Ἀποστόλου, τολμήσαντος ὑπὲρ τῆς ἡμετέρας ἀσφαλείας, καὶ αὐτῶν καθάψασθαι τῶν Ἀγγέλων, δι' ὧν φησι, (Γαλ. „κεφ. ά.) κἂν ἡμεῖς αὐτοὶ, ἢ Ἄγγελος „ἐξ Οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' „ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ἐξ ὧν παιδευόμεθα, ὅτι κἂν πολυγνήσιός τις ἢ καὶ ὑπερβαλλόντως ἔνδοξος, ὁ κωλύων τὸ ὑπὸ τοῦ Κυρίου προστεταγμένον, ἢ προτρέπων ποιεῖν τὰ παρ' αὐτοῦ κωλυόμενα, φευκτὸς καὶ βδελυκτὸς ὀφείλει εἶναι ἑκάστῳ τῶν ἀγαπώντων τὸν Κύριον.

Ὅπερ ἐπὶ τῶν προειρημένων, ἃ δύναταί τις προφασίζεσθαι. Τὰ γὰρ συνοδικῶς ἐπιταχθέντα, ἅπαντες οἱ πιστοὶ δέχονται, ὡς συνῳδὰ τοῖς τῆς θεοπνεύστου γραφῆς. Διὸ καὶ ἔστε τὸ πνικτὸν παρ' ἡμῖν

dammodo ſuccurrunt præcepto) neceſſe eſt, meminiſſe ejus, quod Apoſtolus dicit: „Prophetias ne pro nihilo putate ſed „omnia probantes, quod bonum eſt, tene„te: ab omni malo opere abſtinete. Et iterum: conſilia demolientes, & omnem celſitudinem, ſe adverſus cognitionem Dei extollentem: & captivam ducentes omnem cogitationem ad obediendum Chriſto. Quocirca, ſi quid, quod concurrat cum mandato Domini, aut aliquid ad id afferat, nobis præcipitur: eo majore ſtudio & diligentia, tanquam voluntatem Dei, id recipi convenit: & impleri dictum, ſuſtinentes invicem in charitate Chriſti. Sin autem aliquid contra Domini mandatum, quod aut convellat id, aut polluat, ab aliquo imponatur: oportune tunc dicetur, magis obediendum eſſe Deo, quam hominibus: & in memoria habendum dictum Domi„ni: Alienum autem paſtorem non ſe„quentur: ſed refugient ab eo: quia non noverunt vocem alienorum. Apoſtoli item dictum, auſi ob nos muniendos, ipſos etiam Angelos inceſſere: Etiamſi nos, aut „Angelus de cœlo, aliud vobis Evangelium „annunciaverit, quam quod ego annuncia„vi vobis: anathema eſto. Vnde docemur hoc: etiamſi eximiis dotibus, & excellenti gloria præditus ſit is: qui prohibeat illud, quod a Domino mandatum eſt: aut hortetur facere, quæ ab eo prohibita ſunt: hunc talem, fugiendum & abominandum eſſe vnicuique, qui Dominum diligat.

Hoc autem in prædictis nemo allegare poteſt. Quæ enim Synodice (legitima conciliorum ratione) mandata ſunt: ea ab omnibus fidelibus recipiuntur, tanquam Scripturis divinitus inſpiratis conſonantia.

Hinc

ἡμῖν, μεταλαμβάνεται, μέχρι νῦ σήμερον, ἀλλ' ἀποστρεφόμεθα, τοῖς ὑπὸ τῶν Πατέρων ξηθεῖσι νῦ Ἀποστόλων, ἐμμένοντες. γέγραπται γὰρ. Ἀπέχεσθε εἰδωλοθύτε, αἵματος, καὶ πνικτῦ. καὶ ἐν τῷ ς'. κανόνι καὶ ξζ. τῆς ἕκτης συνόδε λέγεται, Εἴ τις αἷμα ζώε ἐσθίει, ἀφοριζέσθω. καὶ ὁ Βασίλειος περὶ τέτων νομοθετῶν λέγει. Εὑρίσκω τοίνυν ἀναλαβὼν τὰς θείας γραφὰς ἐν τῇ παλαιᾷ νῦ καινῇ διαθήκῃ, ἔτε ἐν τῷ πλήθει τῶν ἁμαρτανομένων, ἔτε ἐν τῷ μεγέθει τῶν ἁμαρτημάτων, ἐν μόνῃ δὲ τῇ παραβάσει, ἔτινος ἓν προσάγματος, σαφῶς κρινομένην τὴν πρὸς Θεὸν ἀπείθειαν, νῦ κοινὸν κατὰ πάσης παρακοῆς τῦ Θεῦ κρίμα. Καὶ πάλιν, ἐκ μὲν ἓν τέτων νῦ τῶν τοιέτων, φανερὸν εἶναι ἐλογιζόμην, ὅτι καθόλε μὲν ἡ τῶν παθῶν κακία διὰ τὴν περὶ Θεῦ ἀγνωσίαν, ἢ ἀδόκιμον γνῶσιν ἐγγίνεται, ἰδίως δὲ, ἡ διαφωνία τῶν πολλῶν πρὸς ἀλλήλες, διά τ' ἀναξίας ἡμᾶς αὐτὲς κατασκευᾶσαι τῆς τῦ Θεῦ ἐπισασίας ἐπισυμβαίνειν. Πρὸς δὲ τὴν ἐπίσκεψιν τῦ τοιέτε βίε, εἴποτε δεῖ νῦ ἐλθεῖν, ἐβελευσάμην, ἔτε μετρεῖν ἔχον τὸ μέγεθος τῆς τοιαύτης ἀνοησίας, ἢ ἀλογίας, ἢ ἀπονοίας, ἢ διὰ τὸ ὑπερβάλλον τῆς κακίας, ἢ ἐκ ἔχω τί εἴπω. Εἰ γὰρ νῦ ἐν ἀλόγοις ἔτω κατορθεμένην εὑρίσκομεν τὴν ἐν ἀλλήλοις συμφωνίαν, διὰ τὴν πρὸς τὸν καθηγέμενον εὐπείθειαν, τί ἂν εἴποιμεν ἡμεῖς, ἐν τοσαύτῃ μὲν τῇ πρὸς ἀλλήλες διαστάσει, τοσαύτῃ δὲ τῇ πρὸς τὰς ἐντολὰς τῦ Κυρίε ἐναντιότητι εὑρισκόμενοι; ἢ ἐχὶ ταῦτα πάντα ἡγέμεθα, νῦν μὲν εἰς διδασκαλίαν καὶ ἐντροπὴν ἡμετέραν ὑπὸ τῦ Θεῦ προτεθῆσθαι, ἐν δὲ τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ εἰς αἰσχύνην καὶ

Hinc nec, quod ſuffocatum eſt, apud nos in cibum adhibetur, in hodiernum vſque diem: ſed averſamur, patribus & Apoſtolis conſtanter obedientes. Sctiptum enim eſt: abſtinete ab Idolothyto (idolis conſecrato) & a ſanguine, & a ſuffocato. Et in VI. canone, & in LXVII. ſextæ Synodi dicitur: Si quis ſanguine animalis veſcitur ſegregetur. Baſilius quoque de his legem ferens, Invenio igitur, inquit, quando S. ſcripturas in manus ſumo: in veteri & novo Teſtamento, nec ex multitudine perperam factorum, nec ex magnitudine peccatorum, ſed ex ſola trangreſſione cujuscunque præcepti, manifeſto ſpectari inobedientiam adverſus Deum admiſſam: & commune contra omnem contumaciam Iudicium Dei. Et iterum: Ex his igitur, & ſimilibus, perſpicuum eſſe arbitrabar: vniverſe quidem, affectuum improbitatem, ex ignoratione Dei, aut reproba cognitione, homini accidere: peculiariter vero, ex diſſenſione plerorunque mutua: propterea quod accedat, vt ipſi nos principatu & gubernatione Dei indignos faciamus. Ad conſiderationem autem talis vitæ, num etiam venire aliquando oporteat, conſultavi: nec metiendo aſſequi poteram magnitudinem talis incogitantiæ, aut abſurditatis, aut vecordiæ: ſeu ex nimia vitioſitate ortæ, ſeu neſcio ex qua cauſa. Si enim in brutis etiam, propter eorum erga ducem obedientiam, tantum conſenſum mutuum reperimus: quid ad excuſandum afferemus nos: qui tot inter nos diſſenſionibus, tanta adverſus præcepta Domini rebellione, laboramus? An non hæc omnia arbitramur, nunc quidem ad doctrinam & pudorem nobis

καὶ κατάκρισιν τῶν μὴ πεπαιδευμένων προσενεχθήσεσθαι ὑπ' αὐτοῦ, τοῦ εἰπόντος, (Ἡσαΐ. κεφ. ά.) ὅτι Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ. Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκε, καὶ πολλὰ τοιαῦτα. Καὶ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον. Εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη. καὶ τὸ, Ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ μεριμνῶσιν ὑπὲρ ἀλλήλων τὰ μέλη, ὑπὸ μιᾶς δηλονότι κινούμενα τῆς ἐνοικούσης ψυχῆς. Τίνος ἕνεκεν ἔτως οἰκοδομήθη; ἐγὼ μὲν οἶμαι, ἵνα σώζηται ἡ τοιαύτη ἀκολουθία τε καὶ εὐταξία, πολλῷ πλέον παρὰ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, πρὸς ἣν εἴρηται, Ὑμεῖς δὲ ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. κρατούσης δηλαδὴ καὶ συναπτούσης ἕκαστον τῷ ἄλλῳ πρὸς ὁμόνοιαν, τῆς μιᾶς καὶ μόνης ἀληθοῦς κεφαλῆς, ἥτις ἐστὶν ὁ Χριστός. παρ' οἷς δὲ οὐχ ὁμόνοια κατορθοῦται, οὐχ ὁ σύνδεσμος τῆς εἰρήνης τηρεῖται, οὐχὶ ἐν Πνεύματι πραότης φυλάσσεται, ἀλλὰ καὶ διχοστασία, καὶ ἔρις, καὶ ζῆλος εὑρίσκεται, πολλῆς μὲν τόλμης ἂν εἴη μέλη Χριστοῦ τοὺς τοιούτους ὀνομάζειν, ἢ ὑπ' αὐτοῦ ἄρχεσθαι λέγειν. Ἁπλῆς δὲ διανοίας μὴ μετὰ παῤῥησίας εἰπεῖν, ὅτι κρατεῖ ἐκεῖ καὶ βασιλεύει τὸ τῆς σαρκὸς φρόνημα, κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, λέγοντος μὲν ὁρισικῶς, Ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε. διεξιόντος δὲ σαφῶς τοῦ τοιούτου φρονήματος τὰ ἰδιώματα, ὡς ὅταν λέγῃ, Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος, καὶ ἔρις, καὶ διχοστασία, οὐχὶ σαρκικοί ἐστε; διδάσκοντός τε ἅμα ἀποφαντικῶς τό, τε χαλεπὸν αὐτῶν τῆς ἐκβά-

a Deo propoſita eſſe: in magno vero, & terribili illius Iudicii die, ad turpitudinem & condemnationem, qui non correxerimus nos, exprobratum iri ab illo, qui dixit: Cognovit bos poſſeſſorem ſuum & Aſinus præſepe Domini ſui: ſed Iſrael me non novit, populus meus non intellexit: & id genus alia multa. Illud vero, quod ab Apoſtolo dictum eſt: ſive patitur vnum membrum, omnia membra compatiuntur: & illud, ne ſint ſchiſmata (diſtractiones) in corpore: ſed vnum idemque ſollicite cogitent pro mutua ſalute membra: vnius ſcilicet inhabitantis animæ motu gubernata. Cujus rei gratia ſic exædificatum eſt? Meo quidem judicio, vt conſervetur talis cohærentia & ordo multo magis in Eccleſia Dei: cujus cauſa hoc dicitur: Vos autem eſtis corpus Chriſti, pars diſperſorum vbique membrorum: quia ſcilicet continet & connectit ſingula cum ſingulis in concordiam, vnum & ſolum verum caput, nimirum Chriſtus. Inter quos vero non colitur concordia: non ſervatur pacis vinculum: non manſuetudo Spiritus cuſtoditur: ſed & diſſidium, & contentio, & æmulatio, reperitur: ibi magnæ fuerit audaciæ, hos tales nominare membra Chriſti: aut dicere, eos ab hoc regi. Magnæ item ſimplicitatis, non libere dicere: dominari ibi, & regnare, ſenſum carnis: cum Apoſtolus clare ſententiam pronunciet: cui aſſtituitis vos ſervos ad obediendum: ſervi eſtis, cui obeditis. Cum item manifeſte talis ſenſus proprietates recenſeat, vt quando dicit: Vbi inter vos æmulatio eſt, & contentio, & diſſidia: an non carnales

ἐκβάσεως, ἢ τὸ ἀκοινώνητον πρὸς θεοσέβειαν. δι' ὧν φησιν, ὅτι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν. Τῷ γὰρ νό-
„μῳ τοῦ Θεοῦ ἐχ ὑποτάσσεται, οὐδὲ γὰρ
„δύναται. Διότι φησὶν ὁ Κύριος, οὐδεὶς
„δύναται δυσὶ Κυρίοις δουλεύειν. οὐδὲ πλη-
ροῦν τὸ ἐν ταῖς πράξεσιν εἰρημένον, ὅτι
τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία
καὶ ἡ ψυχὴ μία. Οὐδενὸς μὲν δηλονότι
τὸ ἴδιον θέλημα ἰσῶντος, πάντων δὲ ζη-
τούντων κοινῇ ἐν ἑνὶ τῷ Ἁγίῳ Πνεύματι,
τὸ τοῦ ἑνὸς Κυρίου Ἰησοῦ Χριστοῦ θέλημα,
εἰπόντος, (Ἰωάνν. κεφ. ς'.) „καταβέβη-
„κα ἐκ τοῦ οὐρανοῦ, οὐχ' ἵνα ποιῶ τὸ θέλη-
„μα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμ-
„ψαντός με Πατρός.

Στοιχῶμεν, τοίνυν τῷ κανόνι τῶν Ἁ-
„γίων, (Ἐφεσ. κεφ. β'.) ὡς ἐποικοδομη-
„θέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων
„καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου,
„αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ
„πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει
„εἰς ναὸν ἅγιον ἐν Κυρίῳ. Ὁ δὲ Θεὸς τῆς
„εἰρήνης, (ἀ. Θεσ. κεφ. ε'.) ἁγιάσαι ὑμᾶς
„ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ Πνεῦ-
„μα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, ἀμέμ-
„πτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου τηρηθείη.
„Πιστὸς δὲ ὁ Θεὸς, ὁ καλῶν ὑμᾶς καὶ ἡμᾶς,
„καὶ πάντας θέλων σωθῆναι, ὃς καὶ ποιή-
σει, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρήσωμεν,
(ὅπερ τὸ κεφάλαιόν ἐστι τῆς σωτηρίας
πάντων, καὶ ὧν ἄνευ σωθῆναι ἀδύνα-
τον,) καὶ τῇ χάριτι τοῦ Χριστοῦ, ἐν Πνεύ-
ματι Ἁγίῳ, ὡς δεδήλωται καὶ μερικῶς
σεσαφήνισαι. Μὴ ἓν ἐξ ἡμισείας τὸν
Θεὸν γνωρίζωμεν, μηδὲ ἀφορμὴν ῥᾳθυ-
μίας τὴν αὐτοῦ φιλανθρωπίαν λαμβά-
νωμεν, ἀλλὰ πρόσχωμεν νηφόντως τοῖς
λεγομένοις, καὶ εἰς ἔργον προαγαγεῖν
τὰ

nales estis? cum præterea gravi asseveratione tristem illorum exitum, & a pietatis communione exclusionem, ponat, vbi dicit. Sensus carnis, inimicitia contra Deum est. „Legi enim Dei se non subdit:
„quia nec potest: cum Dominus dicat:
„Nemo potest duobus Dominis servire.
Nec etiam implere, quod in Actis dicitur: Multitudinis credentium, erat cor & anima vna: quod nemo vtique suam propriam voluntatem figebat: sed cuncti communiter, vno eodemque Spiritu Sancto vnius Domini Iesu Christi voluntatem quærebant, dicentis: „Descendi cœ-
„litus, non vt faciam meam voluntatem:
„sed illius, qui me misit, patris.

Incedamus igitur juxta canonem san-
„ctorum: tanquam superstructi fundamen-
„to Apostolorum & Prophetarum: eum
„angularis lapis sit, ipse Dominus noster
„Iesus Christus: in quo omnis structura
„quæ coagmentatur, crescit in Templum
„sanctum in Domino. Deus autem pa-
„cis, nos ad totam perfectionem sancti-
„ficet: integerque noster Spiritus, & ani-
„ma, & corpus, inculpate in adventum
„Domini servetur. Fidelis vero est Deus,
„qui vocavit vos & nos, & omnes vult
„salvari: qui id etiam faciet, si mandata
ejus servaverimus: (quod est caput salutis omnium: sine quibus salutem consequi, impossibile est) gratia etiam Christi, in Spiritu S. sicut indicatum est, & particulatim declaratur. Ne igitur ex dimidio Deum cognoscamus: nec in occasionem socordiæ humanitatem ipsius vertamus: sed attendamus animum sobrie ad ea, quæ dicuntur: & vita factisque divina decreta repræsentare, omni studio contendamus:

τὰ Θεῖα δόγματα σπεδαίως ἐπεχθῶμεν, πρὸς ἑδὲν ἀφορῶντες ἕτερον, ἢ πρὸς τὸν εἰπόντα, Πῦρ ἦλθον βαλεῖν, καὶ τί ἤθελον, εἰ ἤδη ἀνήφθη; Καὶ τέτε τῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαβὶδ ἔλεγε, Δοκίμασόν με Κύριε, καὶ πύρωσόν με, πύρωσον τὰς νεφρές με, καὶ τὴν καρδίαν με. Τῦτο τὸ πῦρ, τὴν ἐν τῷ ἔνδον ὀφθαλμῷ δοκὸν κατακαῖον, καθαρὸν ἀποκαθίστησιν, ἵνα ἀπολαβὼν τὸ κατὰ φύσιν διορατικὸν, ὁρᾷ διηνεκῶς τὰ τῦ Θεῦ θαυμάσια, κατὰ τὸν λέγοντα. Ἀποκάλυψον τὰς ὀφθαλμές με, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τῦ νόμε σε. Τῦτο τοιγαρῦν τὸ πῦρ, Δαιμόνων ἐστὶ φυγαδευτήριον, κακίας τε καυστικὸν, ἀναστάσεως δύναμις, καὶ ἀθανασίας ἐνέργεια. Ψυχῶν ἁγίων φωτισμὸς, καὶ λογισμῶν δυνάμεων σύστασις. Τῦτο τὸ πῦρ εὐξώμεθα καὶ εἰς ἡμᾶς φθάσαι, ἵνα πάντοτε ἐν φωτὶ περιπατῦντες, ἔργων ἀγαθῶν, μηδὲ πρὸς βραχὺ προσκόψωμέν ποτε, ἀλλ' ὡς φωστῆρες ἐν κόσμῳ φαινόμενοι, λόγον ζωῆς ἐπέχωμεν ἀϊδίως, εἰν' ἀπολαύοντες τῶν τῦ Θεῦ συν τῷ Κυρίῳ ἡμῶν Ἰησῦ Χριστῷ, ἐν ζωῇ ἀναπαυσώμεθα, τὰς ἐντολὰς ἢ ἀρετὰς ἢ πᾶν σωτηριῶδες καὶ θεῖον ἐκπληρώσαντες ἁγιοπρεπῶς, ὡς ἀναγκαῖον. Οὕτω γὰρ ἀναστρεφόμενοι, πάντα τὸν τῆς παροικίας ἡμῶν χρόνον, εἰς τὴν ἀληθινὴν πατρίδα καταντήσομεν, ἧς καὶ ἀξιωθείημεν χάριτι Χριστῦ, Ἀμήν.

Ἅπαντα ταῦτα τὰ παρ' ἡμῶν ῥηθέντα, ἀγαπητοὶ, (ὡς καὶ ὑμεῖς καλῶς οἴδατε,) τῆς θεοπνεύστε γραφῆς ἔχεται, κατὰ τὴν τῶν σοφῶν καὶ Ἁγίων Θεολόγων ἡμῶν ἑρμηνειαν, καὶ ὑγιῆ διδασκαλίαν καὶ διασάφησιν. Οὐ γὰρ ἡμῖν ἔξεστι, τῇ

ad nihil aliud oculos noſtros convertentes quam ad dicentem: Ignem veni jacere: & quid volui, ſi jam accenſus eſt? „Hujus ignis operationem quærens beatus David, ait: Proba me Domine: & igne explora me. Igne renes meos explora, & cor meum. Hic ignis trabem, in oculo interno hærentem, comburens, oculum purum reddit: vt, recepto naturali acumine ſuo, continenter videat mirabilia Dei, ex dicto hoc: „Retege oculos meos: & intelligentia comprehendam mirabilia ex lege tua. Hic itaque ignis, Dæmones fugandi, vitiaque comburendi, vim habet: potentia reſurrectionis eſt, & immortalitatis operatio: ſanctarum animarum illuminatio eſt, & cogitationum potentiarum conſtitutio, & compactio. Hunc ignem etiam ad nos volare precemur: vt ſemper in luce ambulantes bonorum operum, ne vel paululum impingamus vnquam: ſed vt luminaria in mundo lucentia verbum vitæ retineamus in æternum: vt beatitudine Dei fruentes, cum Domino noſtro Ieſu Chriſto in vita requieſcamus: mandatis, & virtutibus, & omni re divina ſalutarique expletis: ſicut & Sanctis dignum eſt, & neceſſarium. Hujusmodi enim converſatione per omne incolatus noſtri tempus, in veram patriam perveniemus: qua vtinam digni fiamus per gratiam Chriſti, Amen.

Vniverſa hæc, quæ a nobis allata ſunt, dilecti (vt & vos bene ſcitis) divina ſcriptura nituntur, ſecundum ſapientium & ſanctorum Theologorum noſtrorum interpretationem, & ſanam doctrinam atque explanationem. Non enim

τῇ ἰδίᾳ καταθαῤῥῆσιν ἐξηγήσει, τὶ τῶν τῆς θεοπνεύστε γραφῆς ῥητῶν συνιέναι καὶ κατανοεῖν, ἢ διερμηνεύειν, εἰ μὴ κατὰ τὰς παρὰ τῶν Ἁγίων Συνόδων, ἐν Ἁγίῳ Πνεύματι, πρὸς τὸν εὐσεβῆ σκοπὸν δοκιμασθέντας θεολόγους, ἵνα μὴ ἀπὸ τῆς ὀρθῆς εὐαγγελικῆς διδασκαλίας, καὶ ἀληθοῦς σοφίας τε καὶ φρονήσεως ἐκκλινόντων, ἡ διάνοια ἡμῶν δίκην Πρωτέως ἐντεῦθεν κἀκεῖθεν περιφέρηται. Ἀλλὰ ποία ἂν τις εἴποι διόρθωσις ἔσαι τούτοις; ποία; Θεοῦ συναιρομένου, αὕτη, τὸ, μηδὲν παρὰ τὰ διατεταγμένα τοῖς ἱεροῖς Ἀποστόλοις καὶ ταῖς Ἁγίαις Συνόδοις, μεταχειρίζεσθαι, ἢ φρονεῖν. Ὁ γὰρ τοῦτον τὸν ὅρον φυλάττων ὀρθῶς, συγχορευτὴς ἡμῖν ἔσαι, συγκοινωνὸς, καὶ ὁμόψηφος. Ὁ γὰρ τοὺς προειρημένους κανόνας ἀπαναινόμενος, καὶ κατὰ τῶν Ἀποστόλων χωρῶν, καὶ κατὰ τῶν Ἁγίων ἀναίδην φερόμενος Ἀποστόλων, τίνα ἂν ἔχοι πρὸς ἡμᾶς κοινωνίαν; τίς δὲ μερὶς μεθ' ἡμῶν ἔσαι τούτῳ; Ὅπερ ὁ μὲν τῶν διδασκάλων ἕτω λέγει τοῖς θέλουσιν εὐσεβεῖν, „Ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν „ἀξιόπιστος ᾖ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, ἔτος λύκος προβάτοχημος ἀντικρυς, φθοράν „προβάτων κατεργαζόμενος. Ὁ δὲ, εἴ „τις τῶν δοκούντων τοῖς θεοφόροις πατράσι σαλεύει τι, ἐκέτι τοῦτο οἰκονομίαν „κλητέον, ἀλλὰ παράβασιν, καὶ προ„δοσίαν δόγματος. Ὁ δὲ, χρὴ τὸν „πρὸ ὀφθαλμῶν ἔχοντα τὸ τοῦ Χριστοῦ „δικαστήριον, εἰδότα, ὅσος κίνδυνος τοῖς „τολμῶσιν ὠφελεῖν τι, ἢ προσθεῖναι, „τῶν παραδεδομένων ὑπὸ τοῦ Πνεύμα„τος, μὴ παρ' ἑαυτοῦ φιλοτιμεῖσθαι „καινοτομεῖν, ἀλλὰ τοῖς προκατηγγελμένοις

enim nobis licet, noſtræ propriæ confidendo explicationi, aliquod divinæ Scripturæ dictum aliter intelligere, animadvertere, aut interpretari: niſi quemadmodum Theologis illis viſum eſt: qui a ſanctis Synodis in S. Spiritu, ad pium ſcopum, probati receptique ſunt: vt ne, ſi a recta Evangelica doctrina, & vera ſapientia & prudentia, declinemus: mentis noſtræ cogitatio inſtar Protei huc illuc circumferatur. Sed quærat aliquis: quomodo iſta corrigentur? Quomodo? Deo adjuvante, ſic. Nihil præter illa, quæ a S. Apoſtolis, & a S. Synodis, inſtituta & ordinata ſunt, in manus ſumendo, aut ſentiendo. Qui enim hunc limitem terminumque recte ſervat, Synchoreuta (choreæ particeps) nobis erit ſocius, & fidei conſors. Qui vero prædictos canones recuſat, & contra Apoſtolos fertur: quam nam haberet nobiſcum communionem? Quæ huic pars nobiſcum eſſet? Quippe Doctorum vnus ita dicit pietatis ſtudioſis: Qui loquitur præter inſtituta & recepta: „etiamſi fide dignus ſit, etiamſi „virginitatem ſervet, etiamſi ſigna faciat, „etiamſi prophetet: is lupus ſub ovis habi„tu, extra controverſiam eſt, ovibus perni„ciem machinans. Alius ita: Si quis aliquid „eorum, quæ Dei plenis patribus viſa „ſunt, concutit: non hoc jam diſpen„ſatio nominandum eſt: ſed transgreſ„ſio, & prodito dogmatis. Alius ita: „Oportet eum, qui ante oculos habet „tribunal Chriſti: cum ſciat, quantum periculum immineat his: qui audent aliquid detrahere, aut addere, a Spiritu traditorum: non ex ſeſe ambitioſe contendere aliquid innovare: ſed illis,

„μένοις ὑπὸ τῶν ἁγίων ἐφησυχάζειν. Ὅπȣ τοίνυν τοσȣ̃τοι καὶ τοιȣ̃τοι ἡμέτεροι Θεολόγοι δοξάζειν ἄλλως κωλύȣσι, μία καὶ μόνη διόρθωσις αὕτη, τὸ, ταῖς Ἁγίαις Συνόδοις συςοιχεῖν, καὶ τοῖς τῶν Ἀποςόλων ἕπεσθαι κανόσι, καὶ ȣ̃τω διὰ πάντων ἀκολȣθεῖν τῷ Χριςῷ.

Καὶ ὑμῶν ȣ̃ν, ὦ ἄνδρες Γερμανοὶ σοφώτατοι, καὶ τέκνα ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, βȣλομένων, ὡς νȣνεχῶν, ὁλοψύχως τῇ ἡμετέρᾳ προσελθεῖν ἁγιωτάτῃ Ἐκκλησίᾳ, ἡμεῖς, ὡς πατέρες φιλόςοργοι, προθύμως τὴν ὑμετέραν ἀγάπην καὶ φιλοφροσύνην ἀποδεξόμεθα, ἐὰν θελήσητε τοῖς Ἀποςολικοῖς καὶ Συνοδικοῖς δόγμασι συμφώνως ἡμῖν ἀκολȣθήσειν, καὶ τȣ́τοις ὑπείξειν. Τηνικαῦτα γὰρ τῷ ὄντι συγκοινωνοὶ ἡμῖν ἔσεσθε, καὶ ὡς παῤῥησίᾳ ὑποταγέντες τῇ καθ' ἡμᾶς Ἁγία καὶ Καθολικῇ τȣ̃ Χριςȣ̃ Ἐκκλησίᾳ, παρὰ πάντων τῶν νȣνεχῶν ἐπαινεθήσεσθε, καὶ ȣ̃τω ταῖν δυοῖν ἐκκλησίαιν μιᾶς σὺν Θεῷ γενομένης, τȣ̃ λοιπȣ̃ συζήσομεν, καὶ συμβιοτεύσομεν θεαρέςως, ἕως ȣ̃ καὶ τῆς ἐπȣρανίȣ τύχοιμεν βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριςῷ Ἰησȣ̃, ᾧ ἡ δόξα εἰς τȣ̀ς αἰῶνας, Ἀμήν.

illis, quæ antea a Sanctis annunciata sunt, acquiescere. Quoniam igitur tot talesque Theologi nostri, aliter opinari & statuere vetant: vna sola correctionis ratio erit hæc: Sanctis cum Synodis pari passu incedere, & Apostolorum canones sequi: atque ita per omnia comitari Christum.

Si igitur & vos, viri Germani sapientissimi, & filii mediocritatis nostræ dilecti, vultis, vt mente præditi, ex toto animo vos nostræ adjungere sanctissimæ Ecclesiæ: nos, vt patres amantissimi, prompte vestram charitatem benevolentiamque recipiemus: si volueritis decreta Apostolica & Synodica, vnanimi consensu nobiscum sequi, & his cedere. Tunc re vera consortes nobiscum eritis: &, tanquam aperte huic nostræ & Catholicæ Christi Ecclesiæ subditi, ab omnibus recte sentientibus laudabimini: Hoc modo, si ex vtraque Ecclesia vna Deo bene juvante facta fuerit: conjunctionem societatemque vitæ posthac colemus piam, Deoque placentem: donec etiam cœleste intremus Regnum: quod vtinam omnes consequamur per Christum Iesum; cui gloria in sæcula, Amen.

Ἐγράφη σὺν Θεῷ ἐν Κωνςαντινȣπόλει, ἔτει ἀπὸ τῆς ἐνσάρκȣ οἰκονομίας τȣ̃ Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριςȣ̃ ᾳ φοϛ΄. Μαΐȣ ιέ. ἐν τῇ Πατριαρχικῇ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκȣ Μαρίας.

Scriptum Dei auxilio Constantinopoli, Anno ab incarnata dispensatione Domini nostri Iesu Christi, 1576. Die May 15, in Patriarchico & venerando sanctissimæ virginis Mariæ Monasterio.

Ἱερεμίας ἐλέῳ Θεȣ̃ Ἀρχιεπίσκοπος Κωνςαντινȣπόλεως, νέας Ῥώμης, καὶ Οἰκȣμενικὸς Πατριάρχης.

ΔΕΥΤΕ-

ΔΕΥΤΕΡΑ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ, ΑΠΟΚΡΙΣΙΣ, ΕΙΣ ΤΥΒΙΓΓΑΝ ΠΕΜΦΘΕΙΣΑ.

SECVNDVM PATRIARCHAE CONSTANTINOPOLITANI, D. HIEREMIAE, RESPONSVM: A MARTINO CRVSIO, TYBING. ACADEMIAE PROFESSORE, LATINE CONVERSVM.

Ἱερεμίας ἐλέῳ Θεῷ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἡ Μετριότης ἡμῶν, δεξαμένη, τὰ τῆς ἀγχινοίας ὑμῶν, ἃ δεύτερον πεπόμφατε γράμματα, περί τε τῆς τοῦ Ἁγίου Πνεύματος ἐκπορεύσεως, καὶ ἄλλων Θεολογικῶν Ζητημάτων, πάλαι μὲν ἀνταπεκρίνατ' ἂν, εἴγε μὴ εἰς Δῦσιν καὶ Πελοπόνησον ἀποδημοῦσα ἐτύγχανεν. Εὐχαριστοῦσα δὴ ἐν Θεῷ, τῷ δοτῆρι παντὸς ἀγαθοῦ, πολλῶν μὲν καὶ ἄλλων ἕνεκα εὐφραίνεται, οὐχ ἥκιστα δὲ, τῷ ἐν πολλοῖς ὑμᾶς τῇ ἡμετέρᾳ συμφωνεῖν Ἐκκλησίᾳ. Γένοιτο δὲ καὶ ἐν οἷς διαφωνοῦμεν, εὐσεβῶς συμφωνῆσειν, νεύσει Θεοῦ, τὰ πάντα πρὸς τὸ συμφέρον τελειοῦντος.

Hieremias Misericordia Dei, Archi Episcopus Constantinopoleos, novæ Romæ, & Oecumenicus Patriarcha.

Acceptis vestris, quæ secundo misistis, de Spiritus Sancti processione, & aliis Theologicis quæstionibus, Scriptis: jamdudum mediocritas nostras respondisset: nisi profectione in Occidentem, & Peloponnesum impedita fuisset. Nunc eadem Deo, omnis boni autori, gratias agens: cum aliis multis lætatur, tum non minimum hoc, quod in multis vestra Doctrina cum nostra consonat Ecclesia. Faxit vero idem, qui omnia perfectione ad bonum dirigit, Deus: vt in cæteris quoque, in quibus discrepamus, pie consonemus.

ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ τῦ Ἁγίε Πνεύματος.

Ἔστιν ἓν τὸ πρῶτον, ἐν ᾧ διαφωνῦμεν, ἡ τῦ Ἁγίε Πνεύματος ἐκπόρευσις. Τοίνυν ὦ Τέκνα με ἀγαπητὰ, εἰ καὶ τὸ τοιῦτον ζήτημα πολλάκις εἰς μέσον προτεθὲν, ἀκριβῶς τε ἐξεταθὲν παντὶ ἐξόχῳ τῆς Ἐκκλησίας Κανόνι, καὶ πάσῃ πνευματικῇ πετραλυδίᾳ, προδήλως ἐτμήθη καὶ ἐσαφνίσθη, τοσῦτον, ὥςε τῆς οἱασῦν μηκέτι δεῖσθαι νέας ἐρεύνης, ὅμως ἡμεῖς τῇ ὑμετέρᾳ χαριζόμενοι ἀγάπῃ, καί τοι πολλαῖς καὶ συνεχέσιν ἀσχολέμενοι φροντίσιν, ἐδὲν ἧτλον Πατρικῶς, καὶ παχείᾳ, (ὡς ἡ παροιμία,) τῇ ἀθηνᾷ, πρὸς οἰκοδομὴν ὑμῖν προσδιαλέξεται, Θείαις μαρτυρίαις ἀσφαλιζόμενοι, ὡς ἐδέξαντο ταύτας οἱ Θεοφόροι Πατέρες. Ὅρος γάρ ἐςι τῆς Ἁγίας καὶ Οἰκμενικῆς Ἕκτης Συνόδε διαγορεύων, τὰς Θείας Γραφὰς ἑκλαμβάνειν, ὡς ἐξηγήσαντο οἱ δοκιμαθέντες τῆς Ἐκκλησίας Διδάσκαλοι, καὶ μὴ παρ' ἑαυτῶν σοφίζεσθαι περιτλὰ, τὲς βελομένες τὰ τοιαῦτα διερμηνεύειν. Ἀνάγνωτε δὲ καὶ τὸν ὅρον, ἐκ τῦ, ιθ'. Κανόνος. Ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τῦτον ἑρμηνεύτωσαν, ἢ ὡς ἂν οἱ τῆς Ἐκκλησίας φωςῆρες, διὰ τῶν οἰκείων Συγγραμμάτων παρέθεντο. Καὶ μᾶλλον ἐν τῦτοις εὐδοκιμάτωσαν, ἢ λόγες οἰκείες συντάτλοντες. Ἵνα μὴ ἔςιν ὅτε πρὸς τῦτο ἀπόρως ἔχοντες, ἀποπίπλοιεν τῦ προσήκοντος.

Προσέχωμεν ἓν τοῖς ῥηθησομένοις, μετ' εὐνοίας καὶ φόβε Θεῦ, αἰτῶ. Τῆς μὲν ἐκπορεύσεως τῦ Ἁγίε Πνεύματος, ἄλλο

DE PROCESSIONE Spiritus Sancti.

Primum itaque Caput, de quo inter nos dissentimus processio Sancti Spiritus est. Etsi igitur hæc quæstio, dilecti filii mei, sæpe in disceptatione versata, omni excellenti Ecclesiæ canone, ita accurate, examinata, omni Spirituali lapide Lydio ita aperta sectione declarata est, vt nulla prorsus inquisitione amplius indigeat: tamen nihilominus nos, vt vestræ charitati gratificemur, (licet multis continuis distracti curis) paterno affectu, pingui (vt in Proverbio est) Minerva, ad ædificationem, de illa vobiscum colloquemur, divinis destimoniis freti, sicut ea S. Spiritus pleni accepere Patres. Regula enim est, velut terminus quidam immodus, sacræ œcumenicæ Synodi sextæ: qua jubemur S. scripturas sic interpretari, quemadmodum eas recepti Ecclesiæ Patres interpretati sunt: non autem interpretationibus ex nobis afferendis, sapientiæ laudem quærere. Extat ea Regula in XIX. ibi canone, his verbis. Quin etiam, si qua de S. scri„ptura existat disceptatio: nemo illam ali„ter interpretetur, quam Ecclesiæ lumina „eam suis scriptis interpretati proposue„runt. Ac magis ex his laudem præstan„tiæ petant: quam scriptis ex suo ingenio „proditis: ne quando in hoc facultate de„stituti, non assequantur id, quod animo „intenderant.

Attendamus igitur animos ad ea, quæ sequentur, benevole, & cum timore Dei, quæso. Cum processio Spiritus Sancti, aliud

ἄλλο πραγματικῶς ἔσης, τῆς δὲ πέμψεως, ἄλλό τι, (ἡ μὲν γὰρ ἐκπόρευσις, φυσικὴ ἐστιν ὕπαρξις τοῦ Ἁγίου Πνεύματος, ἀμέσως ἐκ μόνου τοῦ αἰτίου Πατρὸς, ἡ δὲ πέμψις, ἀποστολὴ χρονικὴ, καθ' ἣν καὶ ὁ Υἱὸς πέμπει τὸ Πνεῦμα, ὡς ἐνταῦθα. καὶ τὸ Πνεῦμα πέμπει τὸν Υἱὸν, ὡς ἐν τῷ, Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, Ἡσαϊ. ξά.) πῶς ἢ διὰ τί ὑμεῖς καινοτομοῦντες, φατὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς ἢ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; Εἰ μὴ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα ἐξεπορεύετο, εἶχεν ἂν εἰπεῖν ποτε ὁ Κύριος περὶ τοῦ Παρακλήτου, ὃν ἐγὼ ἢ ὁ Πατὴρ προβαλλόμεθα. Καθὰ πολλάκις, τὸ, ὃν ἐγὼ πέμψω, εἰρήκει. Πρῶτον μὲν ἓν τὸ σῶμα Κυρίου τὸ ἀψευδὲς ἀποφαίνεται (Ἰωάνν. κεφ. ιέ.) τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Δεύτερον, αὐτὸς ὁ Παῦλος, ἐν τῇ πρὸς Τίτον; (κεφ. γ'.) συνῳδά. „Ἐκ ἔργων ἡμᾶς ἐδικαίωσεν ὁ „Θεὸς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσω„σεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, „καὶ ἀνακαινώσεως Πνεύματος, ὃ ἐξέ„χεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χρι„στοῦ τοῦ Σωτῆρος ἡμῶν. Τί τοῦτο σαφέστερον; ὁ Κύριος ἔφη, καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς. Ὁ Παῦλος ἀκολούθως, ὃ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως. Αὐτὸ τοῦτο, καὶ ὁ Κορυφαῖος ὑπέδειξε Πέτρος, (Πραξ. κεφ. β'.) εἰπών, „Τῇ δυνάμει τοῦ Θεοῦ „ὑψωθεὶς ὁ Χριστὸς, τὴν ἐπαγγελίαν τε „τοῦ Ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ „Πατρὸς ἐξέχεε τοῦτο, ὃ νῦν βλέπετε, „καὶ ἀκούετε. Οὕτω μὲν ἓν οἱ Κορυφαῖοι τῶν Ἀποστόλων φάσκουσιν, οἷς ἀντιλέγειν ἐκ ἔυλογον. Περὶ ὧν ὁ μέγας Κύριλλος, καὶ ἔτι περὶ τῶν Θεοφόρων Πατέρων, τῶν ἐν ταῖς Ἁγίαις Συνόδοις συνελ-

aliud reipsa sit, quam ejusdem missio, (processio enim, est naturalis essentia sancti Spiritus, immediate ex solo autore Patre: missio vero legatio temporaria: qua & Filius mittit Spiritum, vt hoc loco: & Spiritus mittit Filium, vt in illo: Spiritus Domini, super me: cujus causa vnxit me: ad nunciandum bona pauperibus misit me) quonam modo, & qua de causa, vos novum quid comminiscentes, dicitis Spiritum S. & ex Patre, & ex Filio procedere? At nisi ex solo Patre procederet: dixisset aliquando Dominus de Paracleto, quem ego & Pater producimus: sicut sæpe dixit, quem ego mirtam. Primo itaque Domini os, quod mentiri nescit, pronunciat, Spiritum S. ex Patre procedere. Deinde Paulus ipse in Epistola ad Titum huic sententiæ consonat. „Non propter opera, „inquit, nos justificavit Deus: sed pro sua „misericordia conservavit nos, lavacro „Regenerationis, & renovatione Spiritus: „quem effudit in nos opulente, per Iesum „Christum Salvatorem nostrum. Quid hac sententia apertius? Ait Dominus: Ecce ego mittam promissum Patris mei super vos. Paulus, eodem modo: Quem effudit in nos divite manu. Idem hoc summus quoque Apostolorum inquit Petrus, cum ait: „Potentia Dei exaltatus „Christus, accepta promissione Spiritus „S. a Patre, effudit hunc, quem nunc „videtis & auditis. Hoc modo summi Apostoli loquuntur, quibus contradicere, fas non est. De quibus magnus ille Cyrillus, itemque de divinis Patribus, qui sacris Synodis interfuerunt, sic ait.

θόντων, φησίν. „ἐκ ἦσαν αὐτοὶ οἱ λα-
„λοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ
„Πατρὸς, ὃ προέισι μὲν ἀῤῥήτως ἐκ
„τοῦ Πατρὸς, ἔστι δὲ καὶ τοῦ Υἱοῦ ἐκ ἀλ-
„λότριον, κατὰ τὸν τῆς ὁσίας λόγον.
ἀλλὰ καὶ Ἀθανάσιος ὁ Θεῖος, ἐν τῇ
„πρὸς Σεραπίωνα, λέγει, εἰ καλῶς ἐ-
„φρόνουν περὶ τοῦ Υἱοῦ, ὑγιῶς ἂν ἐφρόνουν
„καὶ περὶ τοῦ Πνεύματος. ὃ παρὰ τοῦ Πα-
„τρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιόν ἐστιν,
„ὅτι παρ' αὐτοῦ δίδοται τοῖς μαθηταῖς.
Τὰ δὲ τοιαῦτα ῥητὰ, ἡμῶν ἐ καθάπλε-
ται, ὡς φαντάζονταί τινες. Ὅτι μηδὲ
τοιαύτης ἐννοίας ἐξήρτηται, χαριζομέ-
νοις δῆθεν καὶ τῷ Υἱῷ, τὴν τοῦ Πνεύμα-
τος ἐκπόρευσιν. οὐ γὰρ λέγεσι, καὶ ἐκ τοῦ
Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι, ἀλλὰ δίδο-
σθαι, καὶ ὅτι ὁμοούσιον, ἃ δὴ ὁμολογέμενα.
Ἀλλὰ καὶ ὁ πολὺς τὴν Θεολογίαν Γρηγό-
ριος, ἐν τῷ πρὸς Εὐάγριον, λόγῳ. Ὡς
„ἀπό τινος πηγῆς δύο ποταμοὶ, καὶ πόῤ-
„ῥω πως τέλονται, καὶ τῆς πηγῆς ἐκ ἐ-
„ξίσανται, ἕτω καὶ περὶ τῆς Θείας Φύσεως
„δεῖ ἐννοεῖν. πηγὴν μὲν τὸν Πατέρα, πο-
„ταμοὺς δὲ δύο, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα
„ὀνομάζων, ἀμέσως ἐκ μόνου τοῦ αἰτίου
„Πατρὸς προχεομένους. ἢ καθάπερ ἔκ τι-
„νος ῥίζης βλαστοὶ δύο κατὰ ταὐτὸν προϊ-
„όντες, ἀλλήλων αἴτιοι τῆς ὑπάρξεως εἶναι
ἀδύνατον. Ἔτι πρὸς τέτοις, ὦ σοφοὶ καὶ
προσφιλέστατοι ἄνδρες, εἰ τοῦτο προβάλ-
λεσθε εἰς ὑμέτερον δικαίωμα, ὡς ὁ μέγας
Ἀθανάσιος ἐχρήσατο, τῇ ΕΚ προθέσει,
πάντως, ἐν οἷς κατὰ Ἀρειανῶν περὶ τοῦ
Ἁγίου διαλέγεται Πνεύματος, λέγων,
„ὅτι τὸ Ἅγιον Πνεῦμα, ἐξ αὐτοῦ τοῦ Υἱοῦ
„δίδοται πᾶσι, καὶ ὅτι ὁ Πατὴρ διὰ τοῦ
„Λόγου, ἐν τῷ Πνεύματι κτίζει τὰ πάν-
τα, καὶ ἐνεργεῖ καὶ δίδωσιν. εἰ τοῦτο προ-
βάλλε-

Non erant ipſi, qui loquebantur: Sed
„ſpiritus Dei Patris: qui procedit quidem
„ineffabili modo e Patre: non tamen a
„Filio alienus eſt, ratione eſſentiæ. Atha-
naſius etiam ille divinus, in Epiſtola ad
„Sarapionem, Si recte, inquit, ſenſiſ-
„ſent de Filio: ſanam etiam ſententiam
„habuiſſent de Spiritu: qui e patre egre-
„ditur, & Filii proprius eſt, eo quod ab
„ipſo datur diſcipulis. Talia autem dicta
non adverſantur nobis, vt quidam ſibi
fingunt. Non enim & illorum ſententia
eſt: quaſi Filio quoque proceſſionem Spi-
ritus largiantur. Non enim dicunt, etiam
ex Filio procedere Spiritum, ſed dari, &
eſſe ejuſdem eſſentiæ: quæ, in confeſſo
ſunt. Accedit inſignis Theologus Gre-
gorius: qui in oratione, quem ad Eva-
grium ſcripſit, ſic ait. „Quemadmo-
„dum ab vno fonte duo flumina longe
„profluunt, nec ab eo tamen fonte ab-
„ſcinduntur: eodem modo de divina
„natura cogitandum. (Fontem, Patrem
„vocat: duo flumina, Filium & Spiritum:
„qui immediate ex ſolo principio, quod
„eſt Pater, profunduntur) Aut quemad-
„modum, ſi duo rami ex eadem radice
„eodem ortu exeant, hos ex ſe invicem
„eſſentiam habere, impoſſibile eſt. Præ-
„terea, ſapientes dilectiſſimique viri, ſi
ad veſtri defenſionem objeceritis, ma-
gnum Athanaſium vſum eſſe præpoſitio-
ne EX: adeoque in illis, vbi contra Aria-
nos de S. Spiritu diſputat: quando dicit,
Spiritum S. ex ipſo Filio dari omnibus:
& patrem, per verbum, in Spiritu creare
omnia, operari, ac dare: ſi hoc, inquam,
objeceritis: audite, & duo hæc conſi-
derate. Vnum, ſanctum illum, in

Arianos

βάλεσθε, ἀκέσατε, καὶ δύο τινὰ σκοπήσατε. Ἓν μέν, ὅτι ὁ Ἅγιος κατ' Ἀρειανῶν γραφῶν, ἐπειδὴ ἐκεῖνοι (ὡς καλῶς οἴδατε) τὸν Υἱὸν κτίσμα ἔλεγον, λέγοντες δὲ τοῦτο, τὸν Υἱὸν κτίσμα, καὶ ἐκτίσην, ἐδὲ συνδημιεργὸν τῷ Πατρὶ, ἐξ ἀνάγκης καὶ τὸ Πνεῦμα τὸ Ἅγιον κτίσμα ἔλεγον. Τότε καὶ μόνε ἕνεκεν, δεῖξαι βελόμενος ὁ μέγας Ἀθανάσιος, τὸ Πνεῦμα τὸ Ἅγιον ὁμοούσιον, καὶ ἐχὶ ἑτεροούσιον, τῷτε Πατρὶ καὶ τῷ Υἱῷ, ἕτω καὶ διὰ ταύτην τὴν αἰτίαν, τῇ ΕΚ προθέσει ἐχρήσατο, ἐγκαίρως καὶ ἁρμοδίως. Ἕτερον δὲ ἀναλογίσαδε, ὅτι ὁ Ἅγιος ἔτος, ἐδαμῶ ἀλλαχῶ ἐν τοῖς αὐτῶ συγγράμμασι λέγει, τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεδαι, ἀλλὰ δίδοδαι, καὶ χορηγεῖδαι τῇ κτίσει. Προείπομεν δὲ, πάμπολυ διαφέρειν πέμψιν τὴν εἰς τὰ κτίσματα, τῆς ἀχρόνε καὶ ἀϊδίε ἐκείνης ἐκπορεύσεως. Καθ' ἣν ἀμέσως, ἐκ μόνε τῦ Πατρὸς ἐκπορεύεται, ὡς εἴπομεν, καὶ προϊόντος τῦ λόγε σαφηνίσομεν πλατύτερον συν Θεῷ. Οὐκ ἄρα ὁ μέγας Ἀθανάσιος, ὃν συνήγορον προφέρετε, βοηθεῖ ὑμῖν, μάχεται δὲ μᾶλλον, συμμαχῶν τῷ Κυρίῳ καὶ πᾶσι τοῖς Θεοφόροις, καὶ Σοφοῖς Θεολόγοις τῆς Ἐκκλησίας. Διὸ καὶ καταγελῶν τῶν ἄλλως φρονέντων, ἤτοι τῶν τότε Πνευματομάχων, ἐπιφέρει τὸ ἀεῖον τῦτο κατ' ἐκείνων. Εἰ ἐκ ἔστι κτίσμα τὸ Πνεῦμα τὸ Ἅγιον, ἄρα Υἱός ἐστι. Καὶ ἕτω δύο Υἱοὶ καὶ ἀδελφοὶ ἐυρεθήσονται. ἢ μᾶλλον Υἱὸς ὁ Λόγος, καὶ ἔγγονος τὸ Πνεῦμα, πάππος δὲ ὁ Πατήρ. ταῦτα τὰ ἐκείνων ληρήματα. διὸ καὶ κωμῳδεῖ αὐτές.

Παρὰ

Arianos scribentem: quoniam illi, vt bene scitis, Filium creaturam dicebant: & dum creaturam statuebant, non autem Creatorem, nec in creatione rerum Patri præsentem ac socium: inde necessario etiam Spiritum Sanct. inter creaturas reponebant: propter hanc solam causam, vt ostenderet, Spiritum Sanct. esse ejusdem substantiæ, non autem diversæ, cum Patre ac Filio, præpositione EX, oportune & convenienter vsum esse. Alterum, quod reputandum vobis venit, est illud: nuspiam alibi in suis scriptis Doctorem illum dicere: Spiritum S. etiam ex Filio procedere: sed dari & præberi rebus creatis. Antea autem diximus, plurimum differre missionem, quæ in creaturas fit, ab illa temporis experte, æternaque progressione: qua, sine medii interventu, ex solo Patre egreditur: sicut diximus, & in progressu sermonis nostri fusius declarabimus, Deo juvante. Non ergo ista Athanasiani loci citatione, sententiam vestram defendere potestis: sed repugnat potius ille sanctus, vobis, & pro Domino propugnat, omnibusque numine plenis & sapientibus Ecclesiæ Theologis. Itaque, vt derideat eos, qui aliter sentiunt, nempe Spiritus S. oppugnatores, qui illo tempore vivebant: facete contra eos infert hoc. Si non est creatura, Spiritus sanctus: vtique Filius est: & sic duo filii, interque se fratres, erunt. Aut potius Filii rationem, verbum habebit: Nepotis, Spiritus: Aui autem, Pater. Hæc, illorum deliria scilicet erant: de quibus etiam exagitat ipsos.

Παρὰ ταῦτα, ἡ Μετριότης ἡμῶν, σφόδρα θαυμάζει τὴν ὑμῶν ἀγχίνοιαν, ὅτι γράφετε ἐν τούτοις τοῖς δευτέροις ὑμῶν γράμμασιν, ἔτως αὐτολεξεί. Εἰ δέ τις οἴεται, ἐκ μόνε μὲν τε Πατρὸς εἶναι τὸ Ἅγιον Πνεῦμα, διὰ δὲ τε Υἱε, ἀλλὰ μὴ ἐκ τε Υἱε, ἐκπορεύεθαι, ἀδύνατον ἴσω οἰόμενος. Ταῦτα γὰρ ἐναντία ἀλλήλοις, καὶ ἄλληλα ἀνατρέπει. ἐκ ἄρα ταῦτα ἃ ὁμολογῶμεν ἀδύνατα, ἀδ' ἐναντία, ἀδ' ἄλληλα ἀνατρέπει, ὡς φατὲ, ἀλήθεια γὰρ τῇ ἀληθείᾳ, ἀδὲ ποτε μάχεται. Καὶ ταῦτα μὲν μερικῶς νῦν περὶ τέτων. Ἐγὼ δὲ σκοπήσας, δύο εὗρον τὰ κυριώτατα τῆς ὑμῶν, καὶ ἡμῶν ἐν τέτῳ ἀσυμφωνίας, ἓν μὲν, τὸ ὑμᾶς νοεῖν, τὴν πέμψιν καὶ τὴν ἐκπόρευσιν τὸ αὐτὸ εἶναι. Διὸ καὶ λέγετε ἐκ ὀρθῶς, εἰ ἓν τὸ Πνεῦμα παρὰ τε Υἱε πέμπεται, ἄρα ἐξ αὐτε καὶ ἐκπορεύεται. Ἕτερον δὲ, τὸ ὑμᾶς ἐκλαμβάνειν, ταὐτὸν εἶναι ἐσίαν καὶ ἐνέργειαν ἐπὶ Θεε. ὅπερ ἐκ ἔστι. Ὅτι δὲ Θεε ἐσία καὶ ἐνέργεια ἐ ταυτὸν, ἀλλὰ διαφέρεσιν, ἀκέσατε πρὸς Θεε. Εἰ σωματικῶν μελῶν διάθεσις ἐν τῷ Θεῷ ἐκ ἔστιν, ἄρα ταῦτα τὰ περὶ αὐτε ὡς μέλη παρὰ τῇ γραφῇ ὑμνέμενα, τῶν ἐνεργειῶν εἰσι δηλωτικὰ, αἳ πρὸς ἡμᾶς καταβαίνεσι, τῆς ἐσίας ἀπροσίτε μενέσης, ὡς οἱ Θεολόγοι βεβαιῶσιν, ὡς δηλονότι Θεοπρεπῶς ταυτῶν ἐκληπτέον. Εἰ ἐκ τῆς ἐσίας τὴν ἐνέργειαν προϊεναί τε καὶ πηγάζειν ἀεννάως εἴρηται, τόδ' ἐπ' ἐδενὸς ἂν ἐδεὶς τολμήσειε τῶν κτισμάτων εἰπεῖν, ἐκ ἄρα ἡ ἐνέργεια κτίσμα, καὶ μὴν ἀδ' αὐτὴ καὶ ἐσία. Εἰ ἅπερ ἔστιν ὁ Θεὸς, ταῦτα καὶ ἔχειν λέγεται, ζωήτε γὰρ

Hæc cum ſeſe ſic habeant: vehementer miratur mediocritas noſtra: vos homines ingenioſos, in altero veſtro ſcripto, ad verbum ſic ponere. Quod ſi quis putat, ex ſolo quidem Patre eſſe S. Spiritum, per Filium vero, non autem ex Filio, procedere: is ſe impoſſibile quiddam opinari ſciat: Hæc enim inter ſe pugnant, & ſe invicem evertunt. Non enim certæ hæc, quæ nos confitemur, eſſe non poſſunt: nec inter ſe pugnantia ſunt, nec alterum ab altero evertitur, ſicut dicitis. Veritati enim nunquam repugnat veritas. Hæc, de his hactenus particulatim. Cum autem ego rem conſidero: duas præcipue cauſas reperio, cur vos a nobis in hac parte diſſentiatis. Vna eſt, quod vobis videtur miſſio & proceſſio idem eſſe. Ideo dicitis: ſed non recte: Si igitur Spiritus a filio mittitur: ex ipſo vtique progreditur. Altera, quod ſubſtantiam, ſeu eſſentiam, & operationem, idem eſſe in Deo ſtatuitis, cum ſecus ſit. Nam quod eſſentia, & operatio Dei, non idem, ſed diverſa ſint: hæc argumenta audite, obſecro. Si corporea membra, alia aliis in partibus poſita, in Deo non ſunt: ſequitur, illa, quæ in ipſo, tanquam membra, a S. literis perhibentur, ſignificationem actionum, ſeu operationum habere: quæ ad nos deſcendant, eſſentia interim illius intra ſeſe manente: ſicut Theologi confirmant, hæc dextre, & Deo convenienter exponenda eſſe. Si ex ſubſtantia operationem, & progredi, & ſcaturire perenni fluxu, dicitur: id vero de nulla creatura quiſquam dicere audeat: non eſt operatio creatura: nec tamen idem, quod ſubſtantia. Si, quæcunque Deus eſt,

eadem

γάρ ἐστι, καὶ ζωὴν ἔχει. καὶ σοφία ἐστὶ, καὶ σοφίαν ἔχει, καὶ τὰ λοιπά. Ἡ μὲν αὐτά ἐστιν ὁ Θεὸς, ἐδαμῶς αὐτῆ διακρίνονται, ἐσιώδη γάρ εἰσι καὶ φυσικὰ τῆ Θεῆ. Ἡ δὲ, αὐτά ἔχει, διακριτικὰ καὶ πρὸς ἡμᾶς καταβαίνουσι, καὶ αὐταί εἰσιν αἱ ἐνέργειαι. πληθυνόμεναί τε ἑνικῶς, καὶ ἀδιαιρέτως διαιρέμεναι τῆς μιᾶς ἐσίας. Εἰ τὰ ἀόρατα τῆ Θεῆ ἀπὸ κτίσεως κόσμε τοῖς ποιήμασι νοέμενα καθοράται, ἥ, τε ἀΐδιος αὐτῆ δύναμις καὶ Θειότης, ἐκ δὲ τῶν ποιημάτων, ἐ τῆς ἐσίας, ἀλλὰ τῆς ἐνεργείας ἐν περισία γινόμεθα, ἕτερον ἄρα ἡ τῆ Θεῆ ἐσία, καὶ ἕτερον ἡ καθορωμένη καὶ νοεμένη διὰ τῶν ποιημάτων δύναμις αὐτῆ καὶ Θειότης. Ἀΐδιος μέν τοι καὶ αὐτὴ τυγχάνεσα. Εἰ κατὰ πολλῶν μὲν ἡ ἐσία τῆ Θεῆ ἐ λέγεται, μία γάρ αὐτῆ ἐσία, κατὰ πολλῶν δὲ καὶ διαφόρων ἡ ἐνέργεια λέγεται, πολλαὶ γάρ αἱ αὐτῆ ἐνέργειαι, ἕτερον ἄρα ἡ αὐτῆ ἐσία, καὶ ἕτερον ἡ ἐνέργεια. Εἰ πᾶσα δύναμις πρὸς ἕτερον λέγεται, πρὸς γὰρ τὸ δυνατὸν ἀποδίδοται, ὡς καὶ Θωμᾶς δεικνύω δοκεῖ, ἕτερον ἄρα ἐσία Θεῆ, καὶ ἕτερον ἐνέργεια. Εἰ μὴ καὶ τὴν ἐσίαν φαίη τὶς, εἶναι τῶν πρός τι. Ἀκέσωμεν καί τινα ἃ εἶπον Λατῖνοί ποτε. ἀνετράπησαν δὲ παρὰ τῶν τότε Διδασκάλων ἡμῶν.

eadem habere dicitur, (& vita enim ipſe eſt, & vitam habet: & ſapientia eſt, & ſapientiam habet: & ſic de aliis) quatenus ea Deus eſt, nullo modo ab eo ſeparatur, (Subſtantiam enim & naturam Dei conſtituunt) quatenus vero ea habet, ſeparationis efficientia ſunt, & ad nos deſcendunt: eædemque illæ actiones ſunt, quæ & multiplicantur vnice, & citra ſeparationem ab vna illa eſſentia ſeparantur. Si illa Dei, quæ cerni oculis non poſſunt, a creatione mundi, ex rebus conditis intellectu conſpiciuntur: tum æterna ipſius potentia, tum divinitas: & ex conditis rebus, non eſſentiam, ſed operationem Dei, deprehendimus: aliud quiddam certe ſubſtantia Dei eſt: & aliud, quæ ex creaturis conſpicitur & intelilgitur, potentia & divinitas ejus: quæ tamen & ipſa æterna eſt. Si de multis, ſubſtantia Dei non dicitur, (vna enim eſt, eſſentia ejus) de multis autem & diverſis, operatio prædicatur, (multæ enim operationes ejus ſunt) ſubſtantiæ & operationis illius ratio diverſa ſit, neceſſe eſt. Si omnis potentia, ad aliud dicitur: (nam ad poſſibile quoque refertur: ſicut Thomæ Aquinati quoque videtur) aliud, ſubſtantia Dei eſt: aliud, ipſius actio. Niſi ſubſtantiam etiam aliquis in numero Relatorum ponat. Accedamus nunc ad quædam veterum Latinorum argumenta: quæ a Doctoribus noſtris, qui tunc vixerunt, refutata ſunt.

α) Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ταὐτὰ, αὐτὸς γὰρ ἔφη ὁ Κύριος, ἐγὼ καὶ ὁ Πατὴρ, ἕν ἐσμεν. πάντα ἓν ὅσα εἰσὶ ταὐτὰ, τῶν αὐτῶν εἰσιν αἴτια. ὥστε ἐπεὶ ὁ Πατὴρ αἴτιος τῆ Ἁγίε Πνεύματος, καὶ ὁ Υἱὸς ἄρα,

1) Pater & Filius, idem ſunt. Ipſe enim Dominus ait: Ego & Pater, vnum ſumus. Omnia igitur, quæ idem ſunt, eorundem cauſæ ſunt. Quare, cum Pater autor S. Spiritus ſit: etiam Filium, autorem

ἄρα, πότερον, ἐπὶ ταὐτῷ τὸ ταὐτὸν ἐν ἀμφοτέραις λαμβάνεις, ἢ δηλονότι παρὰ τὴν ὁμωνυμίαν παραλογίζῃ; ἐπ' ἄλλῳ μὲν ἐν τῇ μείζονι τοῦτ' ἐκλαμβάνων, ἐπ' ἄλλῳ δ' ἐν τῇ ἐλάττονι. τοῦτο γὰρ ἦν ἀναγκαῖον, εἴπερ ἀληθεῖς αἱ προτάσεις. Ὁ γὰρ Πατὴρ καὶ ὁ Υἱὸς τῷ εἴδει καὶ τῇ οὐσίᾳ ταὐτά. τὸ δὲ τὰ αὐτὰ τῶν αὐτῶν εἶναι αἴτια, ἐπὶ τῶν αὐτῶν τῷ ἀριθμῷ καὶ τῷ λόγῳ, ἀληθές. ἢ οὖν ἐπ' ἄλλῳ καὶ ἄλλῳ τὸ ταὐτὸν ἐκλαμβάνεις, καὶ τὸ χῆμα ἀσυλλόγιστον, μὴ ἔχον μέσον ὅρον, δι' οὗ συνάψει τὰ ἄκρα, καὶ τὸ συμπέρασμα ἀναγκαῖον ποιήσει, ἢ ἐπὶ τοῦ αὐτοῦ, καὶ ἡ ἑτέρα τῶν προτάσεων, ψευδὴς ἐξ ἀνάγκης. Εἰ γὰρ τὸ ταὐτὸν τῷ ἀριθμῷ ἐν ἀμφοτέραις λαμβάνεις, ἡ ἐλάττων ἐκ ἀληθής. Οὐ ταυτὰ γὰρ τῷ ἀριθμῷ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ὅπερ Σαβελλιανῶν. Εἰ δὲ ἃ τοῦτο, ἀλλὰ τῷ εἴδει καὶ τῇ οὐσίᾳ ταὐτὸν ἐν ἀμφοτέραις ἀκούεις, ἡ μείζων ψευδής. Οὐ γὰρ ἀναγκαῖον, ὅσα τῷ εἴδει ταὐτὰ, τῶν αὐτῶν ἀριθμῷ εἶναι αἴτια.

β) Πᾶν τὸ ὑπάρχον τοῦ Πατρὸς, ὑπάρχον ἐστὶ καὶ τοῦ Υἱοῦ, τὰ γὰρ ἐμὰ πάντα σά, καὶ τὰ σὰ ἐμά, φησὶν ὁ Κύριος. Τὸ εἶναι ἄρα προβολέα τοῦ Ἁγίου Πνεύματος, ὑπάρχον ἐστὶ καὶ τοῦ Υἱοῦ. ἄτοπον καὶ τοῦτο. Τὸ γὰρ ὑπάρχον τοῦ Πατρὸς οὐχ ἁπλῶς λέγεται. ἢ γὰρ ὡς ἴδιον καὶ παραστατικὸν τῆς ἐκείνου ὑποστάσεως ὑπάρχον αὐτοῦ λέγεται, ὡς τὸ ἐναντίον καὶ ἀγέννητον, ἢ ὡς κοινὸν κατὰ πάσης τῆς Θεότητος λεγόμενον, ὡς τὸ ἀναρχον καὶ ἀίδιον. εἰ μὲν οὖν τὸ ὡς ἴδιον ὑπάρχον, μέσον ὅρον λαμβάνεις, ἡ μὲν

autorem esse sequitur. Quæro, vtrum de eodem, vocabulum, IDEM, in vtraque præmissarum accipias: an potius æquivocatione dolum struas: dum aliter id in majore, aliter in minore, sumis? Id enim necesse erat: si modo ambæ propositiones, veræ sint. Pater enim, & Filius, specie, & essentia idem sunt. Propositio vero, quæ dicit: illa, quæ idem sunt, eorundem esse causas: de iis, quæ numero & ratione idem sunt, vera est. Aut igitur de diversis dictionem, IDEM, accipis: & tunc figura, syllogisticam connexionem non habet: dum medio termino, quo extrema conjungantur, & conclusio necessaria efficiatur, caret: aut de eodem: & tunc alterutrem præmissarum falsam esse necesse est. Nam si IDEM numero, in vtraque accipis: minor non est vera: (Non enim idem numero sunt Pater & Filius: quia hoc, Sabellianorum est) Si vero non illo modo, sed specie & essentia IDEM, in vtraque intelligis: major falsa est. Non enim, quæcunque specie idem sunt, eorum, quæ numero eadem sunt, causas esse necesse est.

2) Quicquid Patris est, etiam Filii est. Mea enim (inquit Dominus) omnia sunt tua: & tua mea. Ergo productorem esse S. Spiritus, Filii quoque est. Non minus & hoc absurdum est. Esse enim aliquid Patris, non simpliciter dicitur. Nam vel, vt proprium, & quod vim repræsentandi habeat illius substinentiam, ipsius esse dicitur: vt est, contrarium & non genitum esse: vel, vt communiter de tota Divinitate dictum: quale est, principio carere, & æternum esse. Iam si illud, quod ejus proprium est,

pro

ἢ μὲν ἐλάττων ἀληθής, ἡ δὲ μείζων ψευδής. Οὐ γὰρ ταὐτὰ τῷ ἀριθμῷ ὁ Πατὴρ καὶ ὁ Υἱός, ἐπεὶ συμβήσεται τὸ ἀγέννητον γεννητὸν εἶναι, καὶ τὸ γεννητὸν, ἀγέννητον. Τὸ γὰρ τὰ ἐμὰ σὰ, καὶ τὰ σὰ ἐμὰ, ἃ περὶ τῶν ὑποστατικῶν ἰδιωμάτων εἴρηται, ἀλλὰ περὶ τῶν κατὰ πάσης τῆς θεότητος λεγομένων. Εἰ γὰρ περὶ ἀμφοτέρων ἐλέγετο, οὐδὲν ἄτοπον ὁ Σαβέλλιος ἔλεγεν, εἰς μίαν ὑπόστασιν, τὴν Τριάδα περιορίσας.

pro medio termino ponis: minor vera est: maior vero, falsa. Non enim eadem numero, Pater & Filius sunt. Sequeretur enim, quod genitum non est, genitum esse: & quod genitum est, genitum non esse. Illud enim, mea, tua sunt: & tua, mea: non de proprietatibus, quæ personas S. Trinitatis constituunt, dictum est: sed de his, quæ de tota divinitate præd cantur. Si, enim de ambobus diceretur: nihil absurdi dixisset Sabellius: qui Trinitatem ad vnam Hypostasin redegit.

γ'.) Εἰ μὴ τὸ Πνεῦμα ἐκπορευτὸν ἦν καὶ ἐκ τοῦ Υἱοῦ, ἐκ οὗ δι' ἐμφυσήματος τοῖς Μαθηταῖς ἔδωκεν. Ὦ πολλὰ λέγοντες, ἵνα τὴν ἀλήθειαν συσκιάσητε. Κατὰ τὸν Θεῖον Χρυσόστομον καὶ ἄλλους τῶν θεολόγων, χάρισμα τὴν ἄφεσιν ἁμαρτίας ἔδωκεν αὐτοῖς, ἀ μὴν αὐτὸ τὸ Πνεῦμα. Ἀλλὰ δεδόσθω αὐτοῖς καὶ τοῦτο, ὅτι αὐτὴν τὴν ὑπόστασιν τοῦ Ἁγίου Πνεύματος ἔδωκε τοῖς μαθηταῖς. ὅπερ ἄτοπον. τί ἓν παρὰ τοῦτο ἀπαραιτήτως ἔχει, καὶ ἐξ αὐτοῦ ἐκπορεύεσθαι; ἐδαμῶς, Τὸ γὰρ ἐκπορεύεσθαι καὶ δίδοσθαι ἀ ταυτὸν. εἴπερ τὸ μὲν ἀεὶ ὑπάρχει, τόδε δὲ οὐκ ἀεί. ἔστω γὰρ ταυτόν. Ἐπεὶ ἓν, ὅπερ ἐστὶ τῷ Υἱῷ τὸ γεννᾶσθαι, τοῦτο τῷ Πνεύματι ἐκπορεύεσθαι, δίδοται δὲ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, ὡς πολλαχοῦ φέρεται παρὰ τῇ Θείᾳ Γραφῇ, ἔστι ἄρα τὸ δίδοσθαι τῷ γεννᾶσθαι ταυτὸν. Εἰ ἓν γεννᾶσθαι καὶ ἐκπορεύεσθαι ταυτὸν τῷ δίδοσθαι, ἔστι δὲ τὰ τῷ αὐτῷ ταυτὰ καὶ ἀλλήλοις ταυτὰ, τὸ γεννᾶσθαι καὶ τὸ ἐκπορεύεσθαι ταυτὸν. ὅπερ ἄτοπον. Ἄλλως τε, εἰ τὸ Πνεῦμα τὸ Ἅγιον ἀ μόνον παρὰ τοῦ Υἱοῦ δίδοται, ἀλλὰ

3) Si non etiam ex Filio proficiscereturSpiritus: non eum inflando discipulis dedisset: O loquacitatem, vt veritati vmbram obiiciatis. At ex D. Chrysostomi, & aliorum Theologorum, sententia, donum peccata remittendi eis dedit: non ipsum Spiritum. Verum detur hoc, (quod tamen absurdum est) ipsam S. Spiritus hypostasin discipulis a Domino datam esse. Quæro, num ideo inde necessario efficiatur, etiam ex ipso Spiritum progredi? Nequaquam. Procedere enim & dari, non sunt idem: cum illud semper sit, hoc non semper. Sed sint idem. Quoniam igitur, quod in Filio est, gigni: hoc in Spiritu est, procedere: datur autem et Filius e Patre, vt sæpe in S. literis invenitur: erit idem, dari, quod gigni. Iam si gigni & procedere, idem sunt, quod dari: ea autem, quæ cum vno tertio eadem sunt, inter se quoque eadem sunt: fiet, vt gigni & procedere, idem sint: quod, vt absurdum, nemo dicit. Accedit, quod cum Spiritus S. non solum a Filio detur, sed & ipse det: id quod ex verbis

λὰ καὶ αὐτὸ δίδωσι, καὶ τοῦτο δῆλον οἷς ὁ Κύριος λέγει, ὅταν ἔλθῃ ὁ Παράκλητος, καὶ τὸ, ἥξει. καὶ τὸ, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, ἔσαι ἄρα τὸ αὐτὸ προβάλλον, καὶ ἐξ αὐτοῦ τὴν ὑπαρξιν ἔχον. ἢ οὐχ ὁμολογεῖς, ὅτι καὶ αὐτὸ τοῦτο αὐτὸ δίδωσιν; οὐχ ἡ αὐτὴ ἄρα ἐξουσία Υἱοῦ καὶ Πνεύματος. εἰ γὰρ ὁ Υἱὸς ἐξουσίαν ἔχοι, καὶ ἑαυτὸν, καὶ τὸ Ἅγιον Πνεῦμα διδόναι, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον, ὅτε ἑαυτὸ ὅτε τὸν Υἱὸν διδόναι, διήρηται ἄρα ἡ τούτων ἐξουσία. Ἀλλὰ μὴν ἡ αὐτὴ τῆς Τριάδος ἐξουσία, ὡς διαβεβαιῶται τοῖς πιστοῖς.

δ) Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ὅσα τοιαῦτα πλήρη τὰ Εὐαγγέλια. τὸ πέμψω, καὶ ἄλλα ὅμοια. ἐκ ἀναγκαῖον, ὃ πέμπει τις, αὐτὸν εἶναι τῆς ἐκείνου ὑπάρξεως ὁπωσοῦν, ὅτε μόνον ὁ Υἱὸς, ὡς εἴρηται παρὰ τῇ Γραφῇ, πέμπει τὸ Πνεῦμα, ἀλλὰ καὶ τὸ Πνεῦμα τὸν Υἱόν. τὸ δὲ, ἐκ τοῦ ἐμοῦ λήψεται, δηλονότι ἐκ τοῦ ἐμοῦ Πατρός. Εἶτα εἴτις ἐκείνοις συγχωρήσειεν, εἰρηκέναι τὸν Κύριον, ἐξ ἐμοῦ, ἀδ' ὅτως ἀναγκαῖον ἔσαι αὐτοῖς, καὶ ἐξ αὐτοῦ τοῦτο ἐκπορεύεσθαι. Ἄλλο γάρ ἐσι τὸ λαμβάνειν, καὶ ἄλλο τὸ ἐξ οὗ λαμβάνει. Καὶ ἕτερόν τι παρὰ ταῦτα τὸ λαμβανόμενον. Λαμβάνον μὲν ἂν ἐσι τὸ Πνεῦμα. ἐξ οὗ δὲ λαμβάνει, ὡς αὐτοὶ ἀξιοῦσιν, ὁ Υἱός. Τὸ δὲ λαμβανόμενον, ἕτερον τι παρ' ἀμφότερα. ἐπάγει γὰρ, καὶ ἀναγγελεῖ ὑμῖν, ἤγουν, ὃ λήψεται ἐξ ἐμοῦ, τοῦτ' ἀναγγελεῖ ὑμῖν. ὥστε τὸ μὲν λαμβανόμενον, ἀναγκαῖον ἴσως ἐξ ἐκείνου ἐκπορεύεσθαι. ὃ μὴν καὶ τὸ λαμβάνον. ἢ τὸ αὐτό ἐσι τό, τε λαμβάνον καὶ τὸ λαμβανόμενον. καὶ ἔσαι αὐτὸ ἑαυτὸ λαμβάνον. διαιρετὸν ἄρα τὸ ἀδιαίρετον, καὶ

mini patet: Cum venerit paracletus: & veniet: & superueniente vobis S. Spiritu: idem erit, qui producet, & ex se ipso essentiam habebit. An vero non fateris, hunc ipsum etiam dare seipsum? Non ergo eadem potentia erit Filii, & Spiritus. Si enim Filius potest, tum se, tum S. Spiritum, dare: Spiritus vero S. neque se neque Filium dare: eorum potentia dirempta vtique est. Atqui, eadem S. Trinitatis potentia est: sic vt ab omnibus piis firmiter creditur.

4) Ex meo accipiet: & alia huiusmodi, quibus Evangelia plena sunt: vt est, mittam, & id genus alia. Non est necesse, si quid aliquid mittit: eum ideo autorem huius, vt sit, esse vllo modo. Neque solum Filius, vt dictum in Scriptura mittit: Sed Spiritus etiam, Filium. Quod vero dicitur, Ex meo accipiet: intelligendum est, Ex meo patre. Quanquam, si etiam concedatur, Domini sententiam esse, Ex me: nihilomagis evincetur, etiam ex ipso progrediSpiritum. Aliud enim est, Quod accipit: aliud, ex quo accipit: aliud ab vtroque differens. Quod accipitur. Quod accipit, Spiritus est: Ex quo accipit, Filius (vt ipsis quidem videtur) est: Quod vero accipitur, diversum quiddam ab vtroque est. Infert enim, Et annunciabit vobis: nempe, quo accipiet ex me, hoc annunciabit vobis. Quapropter, illud quidem, quod accipitur, forte necesse sit, ex illo procedere: non autem id etiam, quod accipit. Alioqui idem erit, & quod accipit, & quod accipitur idem seipsum accipit.

Divi-

καὶ τὸ ἁπλῆν, σύνθετον. ἔσαι γὰρ τὸ μέντοι αὐτῆ λαμβάνον, τὸ δὲ λαμβανόμενον. ἄλλως τε, εἰ τὴν οἰκείαν ὕπαρξιν ἔμελλε λήψεσθαι, πῶς ἦν, μή πω τό εἶναι λαβὸν. ὃ δὲ μάλιστα πάντων τῶν σοφισμάτων αὐτῶν δύσλυτον δοκεῖ, καὶ πολλὴν ἀπορίαν περιέχει τοῖς λύσι, τοῦτό ἐσι.

ε) Τὸ Πνεῦμα τὸ Ἅγιον ὁμολογεμένως λέγεται καὶ τῆ Πατρὸς καὶ τῆ Υἱῆ, καὶ τέτε πλήρης ἡ Θεία Γραφή. Εἴ τις γάρ, φησι, Πνεῦμα Χριςῆ ἐκ ἔχει. καὶ ἐξαπέςειλεν ὁ Θεὸς τὸ Πνεῦμα τῆ Υἱῆ αὐτῆ. καὶ ἡμεῖς πολλάκις πρὸς τὸν Υἱὸν προσευχόμενοι, τὸ Πνεῦμα αὐτῆ πέμψαι ἡμῖν δεόμεθα. ἢ ἓν ἕτερόν ἐσι τὸ λεγόμενον τῆ Υἱῆ, ἢ ἕτερον τῆ Πατρὸς, ἢ τὸ αὐτό. ἀλλὰ μὴν ἐχ ἕτερον. ἔσαι γὰρ ἡ Τριὰς τετρὰς. Εἰ δὲ τὸ αὐτὸ, πῶς ἀμφοῖν λέγεται; πότερον ὡς χέσιν ἔχον πρὸς ἀμφότερα, ἢ ὡς μὴ ἔχον χέσιν; ἀλλὰ μὴν πῶς ἐκείνων ῥηθήσεται, εἰ μὴ ἔχει πρὸς ἐκεῖνα χέσιν; εἰ δ' ὡς ἔχον χέσιν πρὸς ἐκεῖνα, εἰ μὲν τὸ Πνεῦμα λέγεθαι, ὄνομα ὑπάρχει δηλωτικὸν τῆς πρὸς ἐκεῖνα χέσεως. ὥσπερ τὸ Πατὴρ ὄνομα, καὶ τὸ Υἱὸς ὄνομα, χέσεως δηλωτικὰ ὑπάρχει, πάντως τὴν αὐτὴν χέσιν πρὸς ἀμφότερα ἕξει. ὥσπερ γὰρ τὰ λοιπὰ τῶν πρός τι καὶ χέσεως δηλωτικὰ, ὡς πρὸς μυρία ἀποδίδοται, μίαν καὶ τὴν αὐτὴν χέσιν πρὸς ἅπαντα ἔχει. Τὸ γὰρ μεῖζον, εἰ καὶ πολλῶν λέγοιτο, ὅμως ὡς ἐλαττόνων λέγεται πάντων. Καὶ τὸ ἴσον πολλοῖς ἀποδιδόμενον, ὡς ἴσοις ἅπασι ἀποδίδοται. ὁμοίως καὶ τὰ λοιπὰ, ἕτω καὶ ἐπὶ τέτοις.

Diuisioni ergo subiectum erit, quod diuisionem fugit: & quod simplex, compositum: cum eius quiddam sit, quod accipiat: & quiddam quod accipiatur. Huc adde. Si suam propriam essentiam erat accepturus Spiritus quomodo erat, cum nondum ipsam essentiam, accepisset? Quod vero omnium Sophismatum difficilime solui posse videtur, & multum torquet soluentes, est hoc.

5) In Confesso est, Spiritum S. perhiberi & Patris & Filii: cuius rei plenæ sunt S. literæ. Inquiunt enim: Si quis Spiritum Christi non habet: &, Emisit Deus Spiritum Filii sui. Sæpe item nos, cum Filium invocamus, ab eo, vt Spiritum suum nobis mittat, petimus. Aut ergo alius est, qui dicitur Filii: & alius, qui Patris: aut est idem Spiritus. At non est alius. Fieret enim ex Trinitate, Quaternitas. Sin autem idem: quomodo amborum dicitur? Vtrum, tanquam respectum, seu relationem habens ad vtrumque: an tanquam non habens respectum? At quomodo illorum dicitur: si non illa respiciat? Sin, vt respiciens illa: tunc, si Spiritum dici, verbum est, quod ipsius ad illa respectum significet, sicut Patris et Filii vocabula, cum respectu dicuntur) omnino eundem respectum ad vtrunque habebit. Sicut enim cætera, quæ relationem et respectum ad aliud significant: vt ad innumera referuntur: ita, vnum eundemque respectum ad vniversa habent velut quod maius est, licet multorum esse, dicatur: tamen eorum omnium, tanquam minorum, dicitur. Et quod æquale est, licet ad multa referatur: tamen ad ea vniversa tan-

τοις. Εἰ τὸ Πνεῦμα λέγεσθαι δηλωτικόν ἐστι τῆς σχέσεως τῆς πρὸς ἐκεῖνα, πρὸς ἀμφότερα τὴν αὐτὴν σχέσιν ἔξει. ὅτι δὲ τῆς πρὸς ἐκεῖνα σχέσεως δηλωτικὸν δῆλον. Λέγεται γὰρ τὸ αὐτὸ πολλοῖς ὀνόμασιν. οἷον παράκλητος, παντοκρατορικὸν, παντεπίσκοπον, καὶ ἄλλοις πολλοῖς. ἀλλ' ἔτε παντοκρατορικὸν λέγεται τῶ Πατρὸς καὶ τῶ Υἱῶ, ἔτε παντεπίσκοπον, ἔτε παράκλητος, ἔτε τι τῶν ἄλλων ὀνομάτων. εἰλλὰ μόνον Πνεῦμα καὶ ἀμφοτέρων λέγεται, ὡς τότε τῶ ὀνόματος δηλωτικῶ ὄντος τῆς πρὸς ἐκεῖνα σχέσεως. Δεῖ ἓν κἀκεῖνα πρὸς αὐτὸ ἀντιστρέφειν, τοιαῦτα γὰρ τὰ πρός τι ἅπαντα. πῶς ἓν σωθήσεται ἡ ἀντιστροφή; ἄτοπον γὰρ τὸ τὸν Πατέρα καὶ τὸν Υἱὸν τῶ Πνεύματος λέγειν. ἔσαι γὰρ ἕτω τὸ αὐτὸ Πατὴρ καὶ Υἱός. Τῶ μὲν Πατρὸς Υἱὸς, Τῶ δὲ Υἱῶ Πατὴρ. ἀλλὰ μὴν, τί λεγόμενον ὁ Πατὴρ, πρὸς αὐτὸ ἀντιστρέφει, εἴδαμεν. αἴτιος γὰρ καὶ προβολεὺς, καὶ ἀρχὴ καὶ πηγὴ τῶ πνεύματος λέγεται. ἐκῶν καὶ ὁ Υἱὸς ταῦτα πρὸς ἐκεῖνο ῥηθήσεται. Καὶ ἔσαι τῶ Πνεύματος προβολεὺς καὶ ἀρχὴ, καὶ αἴτιος, καὶ πηγή. ἐπεὶ καὶ πρὸς αὐτὸν τὴν αὐτὴν σχέσιν ἔχει. ὥσπερ γὰρ εἰ λέγεταί τι μεῖζον Πέτρε καὶ Παύλε, εἰ δὲ λέγεται ὁ Πέτρος Πέτρος ἐκείνε, ἀλλ' ἐλάττων, καὶ ὁ Παῦλος ἐλάττων ῥηθήσεται, ἕτω κἀνταῦθα. ἐπεὶ λέγεται τὸ Πνεῦμα καὶ τῶ Πατρὸς καὶ τῶ Υἱῶ, καὶ δὲ λέγεται ὁ Πατὴρ, Πατὴρ τῶ Πνεύματος, ἀλλ' αἴτιος καὶ προβολεὺς, καὶ ὁ Υἱὸς ἄρα αἴτιος, καὶ προβολεὺς αὐτῶ ῥηθήσεται.

quam æqualia refertur. Eadem ratio cæterorum est, eodem modo se res in hisce habet. Si Spiritus nomine appellari, respectum habere ad illa significat: eandem rationem ad vtrumque habebit. Quod autem ad illa respectum significat: patet. Idem enim multis nominibus appellatur: velut, paracletus, omnipotens, omnia intuens, & regens: & alia multa. Sed neque quatenus omnipotens vocatur, dicitur Patris & Filii, neque quatenus omnia intuens & regens, neque quatenus paracletus, aut aliud tale nomen habet: sed tantum sub appellatiotione Spiritus, amborum esse dicitur: tanquam id modo verbum, eius ad illa respectum exprimat. Qua de causa, illa vicissim ad ipsum convertantur, necesse est. Hæc enim, vniversorum relativorum natura est. Quomodo igitur consistet conversio? Vt enim Patrem & Filium, Spiritus Patrem & filium dicamus: locum non habet. Fiet enim hoc modo, vt idem sit Pater & Filius: Patris quidem, Filius: Filii vero, Pater, Atqui, sub qua significatione Pater ad ipsum convertatur, scimus. Autorem enim, & productorem, principium & fontem, Spiritus dici, notum est. Ergo & Filius sub iisdem appellationibus ad illum referetur: ita vt Spiritum producat, & eius sit principium, autor & fons: quandoquidem eodem modo ad ipsum affectus est. Quemadmodum enim, si quid dicitur maius Petro & Paulo: si non dicitur Petrus, illius Petrus, sed minor Petro: etiam Paulus, minor dicetur: ita & hoc loco res se habet. Quia enim Spiritus dicitur tum Patris tum Filii: nec dicitur Pater, Spiritus Pater, sed autor & productor: Filius quoque autor & productor eius dicatur, necesse est. Quod si quis obiciat: Spiritum dici quatenus sit spiritus Patris, filii vero non quatenus Spiritus

εἰ δέ τις λέγει, ὅτι Πνεῦμα μὲν λέγεται, ἢ Πνεῦμα τοῦ Πατρὸς, τοῦ δὲ Υἱοῦ οὐχ ἢ Πνεῦμα, ἀλλ' ὡς ὁμοούσιον, ὁμοούσιον γάρ ἐστιν αὐτῷ, ἄτοπον. ὁ γὰρ κωλύει καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα τοῦ Πνεύματος λέγειν, ἐπεὶ ὁμοούσια ἐκείνων ὑπάρχετον, ἄλλωστε, ὅθεν ἕτερον πρὸς ἕτερον ἀποδίδοται ὡς ὁμοούσιον, εἰ μὴ προσκειται ἐνεργείᾳ τὸ ὁμοούσιον. Πέτρος γὰρ Παύλῳ ὁμοούσιον λέγεται. Πέτρος δὲ Παύλος ὁμοούσιον ἃ λέγεται, εἰ μὴ προσκειται αὐτῷ ἐνεργείᾳ. ἐκ τοῦ Πατρὸς ἄρα καὶ ἐκ τοῦ Υἱοῦ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὅτι δὲ τοῦτο παραλογισμὸς, ῥᾴδιον συνιδεῖν. ὁ γὰρ ἀληθὲς, ὅτι τὸ Πνεῦμα λέγεσθαι τῆς σχέσεως ἐστὶ δηλωτικὸν ἣν ἔχει πρὸς τὸν Πατέρα. Καὶ τοῦτο δῆλον, τὸν Πατέρα αἴτιον καὶ προβολέα καὶ ἀρχὴν καὶ πηγὴν οἰκείως τοῦ Πνεύματος λέγεσθαι Καὶ μήτε τὸ Πνεῦμα ἁπλῶς προβολέως λέγεσθαι Πνεῦμα, ἢ αἰτίας, ἢ πηγῆς, ἢ ἀρχῆς; μήτ' ἐκείνων αὖθις Πνεύματος. Οὐ γὰρ ἔστι προβολεὺς, Πνεύματος λέγεται προβολεὺς, ἢ ἔστι αἴτιον, τοῦτο Πνεύματος λέγεται. ὁμοίως δὲ καὶ ἀρχὴ καὶ πηγή. Ἀλλ' ὁ μὲν προβολεὺς, πρὸς προβλητὸν ἀποδίδοται. Τὸ δὲ αἴτιον πρὸς αἰτιατόν. Ἡ δὲ πηγὴ πρὸς πηγαζόμενον. Ἡ δὲ ἀρχὴ, πρὸς τὸ μετ' αὐτὴν. Οὐκοῦν ἂν εἴπῃς αὐτὸ, προβλητὸν ἢ αἰτιατὸν, ἢ πηγαζόμενον, ἢ ὑπὸ τὴν ἀρχὴν, τὰ δηλοῦντα ὀνόματα εἶπες τὴν σχέσιν, καθ' ἣν οἰκείως ἔχει πρὸς τὸν Πατέρα, ὡς προβολέα καὶ αἴτιον καὶ ἀρχὴν καὶ πηγήν. Οὐ μὴν ἂν εἴπῃς αὐτὸ Πνεῦμα, τὴν σχέσιν δηλοῖς, ἣν ἔχει πρὸς τὸν Πατέρα. Πνεῦμα γὰρ λέγεται, ἐκ μεταφορᾶς τοῦ ἀεριδὸς πνεύματος, ὡς

ritus sed eidem sit consubstantialis, est enim eiusdem cum ipso substantiæ: absurdum est. Non enim prohibet & Patrem & Filium Spiritus dicere, quoniam ambo eiusdem sunt substantiæ. Præterea vnum ad alterum non refertur vt consubstantiale, nisi eadem actu sit substantia. Petrus enim Paulo consubstantialis dicitur. Petri vero eadem esse cum Paulo substantia non dicitur, nisi actu eadem adsit substantia. Ex Patre igitur & Filio Spiritus sanctus procedit. Quod vero fallax sit hæc ratiocinatio, perspicuum est. Non equidem verum est, quod Spiritum dici significet eum, quem habet ad Patrem, respectum. Idque inde constat, quod Pater causa, productor, fons & principium Spiritus proprie vocatur, neque Spiritus simpliciter productoris spiritus nuncupatur aut causæ, seu fontis, seu principii: neque illorum rursus spiritus. Non enim, si quid productoris nomen habet, spiritus productor esse dicitur, aut si quid causa est, id ipsum Spiritus causa appellatur. Simili ratione vero & principium & fons. Sed productor quidem ad productum refertur: causa vero ad effectum: fons autem ad id quod inde manat, & principium ad id quod posterius est. Igitur si dicas idem productum aut effectum aut emanans aut quod est sub principio, nomina significantia respectum dixisti, quem proprie habet ad patrem tanquam productorem, & causam & principium & fontem. Non tamen, si dicas ipsum Spiritum respectum denotas, quem habet ad patrem. Spiritus enim dicitur, metaphora sumpta a Spiritu aëreo, quod sit subtilis, materiæ expers, & omnia

ὡς λεπτὸν καὶ ἄϋλον καὶ διὰ πάντων διῆκον. Τὶς ἄρα ἡ ἀνάγκη, ἵνα ᾖ ὁ Υἱὸς προβολεὺς καὶ αἴτιος καὶ ἀρχὴ καὶ πηγὴ τῆ Ἁγίε Πνεύματος, ἐπεὶ αὐτῆ λέγεται; Εἰ γὰρ ἐλέγετο καὶ τῆ Υἱῆ προβλητὸν καὶ αἰτιατὸν, ὡς λέγεται καὶ τῆ Πατρὸς, ἀναγκαῖον ἂν ἦν καὶ αὐτὸν προβολέα καὶ αἴτιον αὐτῆ εἶναι. Ἀλλὰ μὴν ἔτε προβλητὸν, ἔτε αἰτιατὸν καὶ αὐτῆ λέγεται, ἀλλὰ μόνον Πνεῦμα. Οὐκ ἀναγκαῖον ἄρα τότε, καὶ αὐτὸν προβολέα καὶ αἴτιον εἶναι. Ὁ παραλογισμὸς ἓν παρὰ τὸ συμβεβηκὸς. Ἐπεὶ γὰρ τὸ αὐτὸ καὶ Πνεῦμα, καὶ προβλητὸν, καὶ αἰτιατὸν λέγεται, ἔχει δὲ πρὸς τὸν Πατέρα ὡς προβολέα καὶ αἴτιον χέσιν, καθὸ προβλητὸν καὶ αἰτιατὸν, κακέργως τὸ προβλητὸν καὶ αἰτιατὸν σιωπήσαντες, καθὸ λέγεται Πνεῦμα χέσιν ἔχειν, ἔλαβον πρὸς τὸν Πατέρα, ὡς πρὸς προβολέα καὶ αἴτιον. Καὶ ἕτως ἔδοξαν συλλογίσασθαι. Ὅτι ἐπεὶ τὸ Πνεῦμα λέγεται καὶ τῆ Υἱῆ, ἔστι δὲ τῆτο δηλωτικὸν τῆς πρὸς προβολέα καὶ αἴτιον χέσεως, ἡ Υἱὸς ἄρα προβολεὺς ἢ αἴτιος ὑπάρχει τῆ Πνεύματος. Εἰ δὲ λέγεται καὶ τῆ Πατρὸς ἢ τῆ Υἱῆ Πνεῦμα, ἢ Πνεῦμα, ἃ δεῖ ταράσσεσθαι. Οὐ γὰρ πάντα ὅσα ἑτέρων εἶναι λέγεται, τῶν πρός τι ἐστί. Καὶ δεῖ πείθεσθαι τοῖς ταῦτα τεχνολογῆσιν. Ἀλλὰ τῆ μὲν Πατρὸς λέγεται ὡς οἰκεῖον αὐτῶ, καὶ ἐξ αὐτῆ τὴν ὕπαρξιν ἔχον. Καὶ πρὸς ἀντιδιαστολὴν τῶν λοιπῶν πνευμάτων. Τῆ δὲ Υἱῆ ὡς σὺν αὐτῶ ἐκ τῆς αὐτῆς πηγῆς προϊὸν, ὥς φησι Κύριλλος, ἐν τῶ περὶ τῆ Πνεύματος λόγω. Καὶ γὰρ τὸ Πνεῦμα τὸ Ἅγιον, ὥσπερ κατ' ἰσίαν ὑπάρχει τῆ Θεῆ καὶ Πατρὸς, ἕτω καὶ τῆ Υἱῆ κατ' ἰσίαν

penetret. Quæ tandem neceſſitas eſt, vt ſit Filius productor & cauſſa & principium & fons Spiritus ſancti, quia ipſius eſſe dicitur? Si enim appellaretur etiam Filii productum & effectum, ſicut, etiam Patris nuncupatur, neceſſarium ſane foret, & ipſum Filium eius productorem & autorem haberi. Sed neque productum neque etiam effectum illius ſed ſolummodo Spiritus vocatur. Non neceſſe igitur eſt huius ipſum etiam productorem & authorem eſſe. Fallacia igitur eſt accidentis, Quia enim idem etiam Spiritus & productum & effectum dicitur, habet autem ad patrem tanquam productorem & autorem reſpectum, quatenus productum & effectum eſt: malicioſe productum & effectum reticentes: illud ſecundum quod Spiritus dicitur habere reſpectum, transtulerunt ad patrem, vtpote ad productorem & autorem. Et ſic videntur voluiſſe argumentari. Quia Spiritus dicitur etiam Filii, illud vero ſignificat relationem ad productorem & autorem, etiam Filius paoductor & autor eſt Spriritus. Si vero dicitur tum Patris, tum Filii Spiritus, quatenus ſpiritus eſt, nemo perturbetur. Non enim omnia, quæ aliorum eſſe dicuntur, relativa ſunt. Et oportet aſſentiri illis, qui de hac re diſputant ex profeſſo. Sed Patris quidem Spiritus dicitur, quia ipſi proprius eſt, & ex ipſo eſſentiam habet. Et quoniam etiam cæteris Spiritibus opponitur. Filii autem, quod cum ipſo ex vno fonte progreditur, vt inquit Cyrillus in ſermone de Spiritu, ſpiritus enim ſanctus, ſicut ratione eſſentiæ eſt Dei & Patris Spiritus: ita etiam filii Spiritus eſt ratione eſſentiæ,

quia

ὐσίαν ἐστιν, ὡς μετὰ τοῦ Υἱοῦ ὐσιωδῶς γεννηθέντος, ἐκ τοῦ Πατρὸς ἀφράστως ἐκπορευόμενον. Ἡμεῖς δὲ, τῇ Θείᾳ Γραφῇ καὶ τῇ ἀληθείᾳ ἑπόμενοι, τὴν δυάδα ὑπὸ τὴν μονάδα ἀνάγομεν, τὴν μονάδα τῆς δυάδος ἀρχὴν καὶ αἰτίαν τιθέμενοι. Οἱ δὲ Λατῖνοι, τὴν δυάδα ἀρχὴν καὶ αἰτιαν τῆς μονάδος τίθενται. Εἰ γὰρ καὶ αἱ τρεῖς ὑποστάσεις, τῷ τῆς ὐσίας ἢ ταυτότητος λόγῳ ἕν εἰσιν ἡ μονὰς, ἀλλ' ἑκάστη τῶν τριῶν, τῷ τῆς ὑποστάσεως λόγῳ, ὑπάρχει μονάς, Καὶ αἱ δύο, δυάς. ἐπεὶ καὶ αἱ τρεῖς, τριάς. ἐκεῖν οἱ τὸ Πνεῦμα ἐκ Πατρὸς καὶ Υἱοῦ τιθέμενοι, τὴν δυάδα ἀρχὴν τῆς μονάδος λέγουσιν, ὅπερ ἄτοπον. Ἔτι παρεδόθη ἡμῖν, ὑπὸ τῶν Ἁγίων Πατέρων, ὅτι αἱ τρεῖς ὑποστάσεις, τῆς αὐτῆς ὐσίας καὶ ἀξίας ὑπάρχουσι, δι' ἀλλήλων χωρεῦσαι, χωρὶς τινος φυρμοῦ καὶ συγχύσεως. Καὶ ὡς ὁ Πατὴρ ὅλως ἐν ὅλῳ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, καὶ ὁ Υἱὸς ὅλος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι. Καὶ τὸ Ἅγιον Πνεῦμα ὅλον, ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ. ἔτι δὲ καὶ ὡς ἀπερίγραπτοι. Τούτων τοίνυν ὑποκειμένων, φανερὸν ὡς ἄτοπος ἡ ἐκείνων θέσις δειχθήσεται. Εἰ γὰρ διὰ μέσου τοῦ Υἱοῦ, ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ Ἅγιον τὴν ὕπαρξιν κέκτηται, καὶ ἐκ μέσου, διηρημένον ἂν εἴη τοῦ Πατρὸς. ἃ γὰρ ἐστιν ἀδιαίρετα, τούτων οὐδὲν μεταξύ. Ὧν δὲ ἐστί τι μεταξύ, ταῦτα πάντως ἀλλήλων διηρημένα. δι' ἃ γὰρ ἀλλήλοις ἑνῶνται, ἐκεῖνο ἀμφοτέρων διαίρεσις, ὥστε ἐκ ἀδιαίρετος ἡ Τριὰς, ὅπερ ἡμῖν ἐχ ὑπέκειτο. ἔτι ἐπεὶ τὰ τρία πρόσωπα, ὁμοούσιά τε καὶ ἰσότιμα ἀλλήλοις ὑπάρχοντα, ἀπερίγραπτα τυγχάνει δι' ἀλλήλων χωρεῦντα, κατ'

quia cum Filio, essentialiter genito, ex Patre ineffabili modo procedit. Nos vero sacram scripturam & veritatem sequentes duernionem sub vnitatem reducimus: vnitatem duernionis principium & causam statuentes. Latini autem duernionem principium & causam vnitatis constituunt. Si enim quoque tres personæ essentiæ & identitatis ratione vnum sunt, quatenus vnitas est, sed quælibet ex tribus ratione hypostaseos est vnitas: etiam duæ, duernio, quoniam & tres, trinitas. Igitur Spiritum e Patre & Filio statuentes, duernionem principium vnitatis faciunt, quod est absurdum. Præterea traditum nobis est à sanctis Patribus: tres Personas eiusdem substantiæ & dignitatis esse, se inuicem permeantes, absque vlla permixtione & confusione. Et Patrem esse totum in toto Filio, & S. Spiritu: Filium totum, in toto Patre, & S. Spiritu: Spiritum S. totum, in toto Patre & Filio. Esse item in circumscriptos. His ita præmissis, absurditas sententiæ illorum demonstrabitur. Si enim interventu Filii, e Patre Spiritus S. essentiam habet, non autem immediate: diremptus & separatus est a Patre. Nam quæ inseparata sunt: inter ea nihil intercedit. Inter quæ vero medium est: ea inter se dirempta sint, necesse est. Quod enim ea inter se coniungit, vnumque facit: id alterum ab altero dispescit, Non igitur diuisionis expers est Trinitas: quod nostrum propositum non fuit. Deinde, cum tres personas, quarum eadem substantia, eadem dignitas inter se est, sine circum-

κατ' ἀδένα τρόπον ἐνδέχεται, ἓν ἐξ αὐτῶν μέσων τῶν λοιπῶν δύο εἶναι, ὥστε δι' ἐκείνε ἀλλήλοις ἡνῶθαι. Πᾶν γὰρ τὸ ἔκτινος διὰ τε πρώτου, ἢ τόπῳ ἢ φύσει ἐκείνε διώρισται. Ἀμέσως ἄρα τὸ Ἅγιον Πνεῦμα πρόεισιν ἐκ τε Πατρός. Ἔτι πῶς ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὑπάρχουσιν ἐν ὅλῳ τῷ Ἁγίῳ Πνεύματι, πότερον ἀμέσως ἀμφότεροι, ἢ ἀμέσως μὲν ὁ Υἱός, δι' αὐτε δὲ ὁ Πατήρ, οἰκειότερον ἄρα τῷ Υἱῷ, ἢ τῷ Πατρὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Ὃ γὰρ ἀμέσως ἐνυπάρχει, τετο ἐγγύτερον. τὸ δ' ἐγγύτερον, ἅπαν οἰκειότερον. εἰ δὲ τετο ἄτοπον, καὶ ἀμέσως ἐν ὅλῳ τῷ Πνεύματι, ὁ Πατὴρ ὑπάρχει, δῆλον ὅτι ἀντιτρέφει, ὥστε τὸ Πνεῦμα, ὅλον ἐν ὅλῳ τῷ Πατρὶ ἀμέσως ὑπάρχειν. Οὐκ ἂν ἄρ' ἐμμέσως ἐξ ἐκείνε χοίη τὴν ὕπαρξιν, μάλιστα δ' ἄν τις τετο ἐλέγξειεν ὡς ἀνακόλεθον ἐκ τῶν ὧν προφέρεσι λόγων τινὲς, συνιξᾶν βελόμενοι τὰς ἑ, αυτῶν ὑπολήψεις. ὡς γὰρ λέγεσι δι' ἀδένα ἄλλο τὸ Πνεῦμα καὶ ἐκ τε Υἱε προβάλλεσιν, ἢ ἵνα δείξωσι, κατὰ πάντα τετον ἴσον τῷ Πατρί. ἄνισον αὐτὸν ὑπολαμβάνοντες τῷ Πατρὶ, εἰ μὴ καὶ ἐξ αὐτε ὁ παράκλητος πρόεισιν, Οὐκεν ἔδει τὸν αὐτὸν τρόπον ἐξ ἀμφοτέρων προέρχεθαι, ἢ ἀμέσως, ἢ ἐμμέσως. καὶ μὴ ἐκ τεδε μὲν ἐμμέσως, ἐκ τε λοιπε δὲ ἀμέσως. εἴπερ κατὰ τετο ἐξισεν τῷ Πατρὶ τὸν Υἱὸν ἐβέλοντο. νῦν δὲ καὶ τὸ ἐκ ὀρθὸν δόγμα ἔχε παρείσδυσιν, καὶ ἡ ἀνισότης ἔμεινεν ὡς πρῶτον. Ἔτι εἰ δεῖ καὶ τὸν Υἱὸν αἴτιον εἶναι, εἴπερ τῷ Πατρὶ ὁμοούσιος, δεῖ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον τεθ' ὑπάρχειν, εἴπερ ἀμφοῖν ὁμοούσιον. Καὶ

cumscriptione per se invicem commeent: nullo modo fieri potest, vt illarum vna, media reliquarum duarum sit: vt ea, ceu vinculo, inter sese colligentur. Quicquid enim ex aliquo per aliquid procedit: aut loco, aut natura, disterminatum est. Immediate igitur S. Spiritus e Patre exit. Ad hæc, quomodo Pater & Filius sunt in toto S. Spiritu? Vtrum immediate ambo: an proxime quidem Filius, per eum autem Pater? Coniunctior ergo, & familiarior, ipsi Filio, quam Patri, Spiritus S. Quod enim immediate inest, propius est: quod autem propius est: coniunctius & familiarius omne. Sin hoc rationi alienum est: & proxime in toto Spiritu Pater est: manifestum est, converti: ita vt Spiritus totus in toto Patre immediate insit. Quare non per medium ex eo ortum ducit. Maxime autem hoc coargui absurditatis potest rationibus iis: quas quidam ad stabiliendas suas opiniones afferunt. Dicunt enim, se nulla alia de causa, e Filio quoque producere Spiritum: nisi vt hunc per omnia aequalem Patri demonstrent: opinantes, Patri inæqualem fore paracletum nisi ex ipso quoque progrediatur. Igitur oportebat eodem modo ex vtroque procedere, seu immediate seu mediate, non autem ex uno mediate, ex altero immediate: si hoc modo exæquare Patri Filium vellent. Nunc vero, præterquam quod inæqualitatem non sustulerunt, dogma insuper non rectum introduxerunt. Deinde. Filium quoque causam esse oportet, quod eiusdem essentiæ sit cum Patre: idem ius Spiritui S. esse convenit, cum vtrique consubstantialis sit. Ne-

que alio atque alio, sed eodem modo, & eorundem, omnes quoque tres illos causas esse.

Quo-

Καὶ ἐκ ἄλλως καὶ ἄλλως, ἀλλ' ὡσαύτως καὶ τῶν αὐτῶν, καὶ τὰ τρία αἴτια εἶναι. ὥς ἐπεὶ ὁ Πατὴρ αἴτιός ἐστι τῆ Υἱῆ καὶ τῆ Ἁγίᾳ Πνεύματος, τῆ μὲν γεννητῶς, τῆ δ' ἐκπορευτῶς, δεῖ ἄρα τῶν αὐτῶν ὡσαύτως καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα εἶναι αἴτια. τῆτο δὲ ἀδύνατον. πῆ γὰρ μὲν ὁ Θεολόγος Γρηγόριος διῤῥύτον χάριν καὶ δίδυμον ἀκτῖνα, ἐκ μόνης πηγῆς τῆ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα φάσκων, πῆ δὲ εἰς ἓν αἴτιον τὸν Πατέρα ἄμφω τὰ αἰτιατὰ λέγων ἀναφέρεσθαι. πρῶτον μὲν ὅτι πάντων μία πρώτη ἀρχὴ, ἐξ ἧς ἅπαντα. εἶθ' ὅτι καθ' ὅσα λέγεται ὁ Υἱὸς τῷ Πατρὶ ὁμοούσιος, ταῦτα ἀπαραλλάκτως καὶ ἐπίσης ὁ Υἱὸς τῷ Πατρὶ ἔχει. Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐπεὶ ἀμφοῖν ὁμοούσιον. Καὶ ὅτι, ὅπερ ἐκ ἔχει μία τις τῶν τριῶν ὑποστάσεων, ἑτέρα δέ τις τῆτ' ἔχει, τῆτο χαρακτηριστικόν ἐστιν ὑποστάσεως. Εἰ ἓν ἀμέσως ἐξ ἀμφοῖν ἐκπορεύεται, ἢ πάντως ὡς ἐκ μιᾶς πηγῆς τῷ ἀριθμῷ, ἢ ὡς δύο. Εἰ μὲν ἓν ὡς ἐκ μιᾶς τῷ ἀριθμῷ πηγῆς ἐκ τῆ Πατρὸς καὶ ἐκ τῆ Υἱῆ τὸ Πνεῦμα προέρχεται, ἓν ἔσαι τῷ ἀριθμῷ τὸ προβάλλον. Ὥστε ἔσαι ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἷς τῷ ἀριθμῷ προβολεὺς, καὶ αἴτιος τῆ Ἁγίᾳ Πνεύματος. Μία ἄρα Πατρὸς καὶ Υἱῆ ὑπόσασις. καὶ ἀπώχετο ἡ Τριὰς, εἰς δυάδα περιοριθεῖσα. Τὸ γὰρ εἶναι προβολέα καὶ αἴτιον, ἐμφαντικόν ἐστιν ὑποστάσεως, εἴπερ ἐκ ἔστι καὶ τῆ Πνεύματος. Εἰ δὲ ὡς ἐκ δύο τῷ ἀριθμῷ πηγῶν, ἐξ ἀμφοῖν πρώτως πρόεισιν, δύο πρῶται ἀρχαὶ ἔσονται, μὴ ἀναγομένης τῆς ἑτέρας ὑπὸ τὴν ἑτέραν. Καθὸ γὰρ ἀρχὴ ἐ συμβαίνει τὸν

Quocirca, cum Pater ſi autor, ſeu cauſa, Filii & Spiritus Sancti: illius, modo generationis: hujus modo proceſſionis: eorundem profecto, ſimili modo, & Filium, & Spiritum, eſſe cauſas oportet: quod tamen fieri nulla ratione poteſt. Gregorius enim ille Theologus, alicubi duplicis rivi gratiam, & geminum radium, ex ſolo fonte Patris, Filium & Spiritum, perhibet: alicubi ad vnam cauſam & originem, nempe Patrem, ambo illius cauſæ effecta refert. Primum, quia omnium eſt quoddam primum principium, ex quo omnia fluunt. Deinde, quod, quibuscunque rebus Filius dicitur Patri conſubſtantialis: eas immutabili & pari ratione cum Patre Filius habet: ſicut & Spiritus S. cum ejus eadem ſit cum ambobus eſſentia. Et quod, quicquid vna aliqua trium perſonarum non habet, alia autem habet: illud propria nota eſt illius perſonæ, a cæteris eam diſtinguens. Si igitur immediate ex vtroque procedit: omnino hoc aut tanquam ex vno ad numerum fonte, aut tanquam e duobus, facit. Si tanquam ex vno ad numerum e Patre & Filio progreditur: vnum numero erit id, quod Spiritum profert. Erit itaque Pater & Filius, vnus numero productor, & autor S. Sptritus. Quare vna erit Patris & Filii perſona, ſeu hypoſtaſis: ſublata Trinitate, jam ad duernionem redacta. Nam productorem cauſamque eſſe, ſignum determinatioque perſonæ eſt: ſiquidem non convenit etiam ſpiritui. Sin autem, tanquam ex duobus numero fontibus, ex ambobus primum procedit: duo prima principia erunt, non reducto altero ſub alterum. Quatenus enim principium eſt: non quadrat, Filium ſub

τὸν Υἱὸν ὑπὸ τὸν Πατέρα ἀνάγεσθαι. Ὅπερ συνέβαινε τοῖς δι' αὐτῆ ἐκ τῆ Πατρὸς τὸ Πνεῦμα προβάλλεσιν, ἀλλ' εἴπερ καθὸ Υἱὸς. Ὥστε ἡ μία πρώτη πάντων ἀρχή.

Ὁρᾶτε πόσα ἄτοπα ἕπεται παντα-χόθεν τοῖς λέγεσι τὸ Πνεῦμα ἐκ τῆ Πατρὸς Υἱῆτε ἐκπορεύεσθαι; μὴ διὰ τὸν Κύριον κακῶς φρονεῖν θέλετε. Εἰ γὰρ καὶ λατῖνοι, ἡ τῆς Ῥώμης Ἐκκλη-σία, καὶ ἄλλοι, ἐυπαραδέκτες δῆθεν παρά-γεσι μάρτυρας, Αὐγεσῖνον, Ἀμβρό-σιον, Ἱερώνυμον, καὶ ἄλλες τινὰς, ἀλλ' ἔχομεν καὶ ἡμεῖς ἀντιπαραγαγεῖν ὑπὲρ τῆς ἀληθείας πολλῶ πλείονας καὶ ἀξιο-πιστοτέρες. Ποίες τέτες; τὲς ἐν ταῖς Ἁγίαις Συνόδοις διαπρέψαντας ΘεοΦό-ρες Πατέρας. Τὲς τὴν γῆν ἐρανώσαντας, καὶ ὑπὲρ ἥλιον τοῖς θαύμασι καὶ καλοῖς ἔργοις διαλάμψαντας, ἐκ Πα-τὸς μόνε τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορεύε-σθαι ἀποφηναμένες. Καὶ μὴ ἕτερον φρονεῖν προσάτλοντας, ἐν ἐπιτιμίοις βα-ρυτάτοις τῆ ἀναθέματος, Παύλω ἑπό-μενοι ἀποφηναμένω. εἴτις ἐυαγγελίζεται ὑμῖν, ἄλλό τι παρὸ παρελάβετε, ἀνά-θεμα ἔςω.

Εἰ γὰρ ἦν προβολεὺς ὁ Υἱὸς καὶ τῆ Πνεύματος αἴτιος, πῶς αἱ Οἰκεμενικαὶ Σύνοδοι τὸ τοιῆτον ἀναγκαιότατον Δό-γμα παρεσιώπησαν; ἔυδηλον ἓν ἐντεῦ-θεν, ὅτι τοῖς αὐτῶν θελήμασι χαριζό-μενοι, μετὰ τὰς Ἁγίας Συνόδες, τὴν προσθήκην ταύτην προσέθεντο. Εἰ μὴ γὰρ τῆτο ἦν, ἐκ ἂν ὁμονοέντων ἁπάν-των, καὶ αὐτοὶ συμπαρῆσαν ταῖς Ἁ-γίαις ἑπτὰ Συνόδοις, οἱ τῆς Ῥώμης Ἱε-ρώτατοι πρόεδροι.

Εἰ

Patrem subjici, (quod accidit illis, qui per ipsum e Patre Spiritum educunt) sed si omnino: tum ea ratione, qua est Filius. Quapropter non erit vnum primum principium omnium.

Videtis, quantum absurditatis sequatur vndique: si statuatur Spiritus ex Patre Filioque prodire? Nolite per Dominum immortalem male sapere. Si enim Latini (Ecclesia Romana, & alii) probatos, vt ipsi putant, producunt testes: Augustinum, Ambrosium, Hieronymum, alios nonnullos: possumus etiam nos veritatis tuendæ causa producere multo plures, eosque fide digniores. Quos nam illos? Spiritu Dei afflatos Patres: Quorum splendor in sacris Synodis enituit: qui terram virtute cœlum reddiderunt: & supra Solem, miraculis operibusque bonis vndique claruerunt- Hi ex Patre solo spiritum S. procedere pronuntiarunt: & diversum sentire, gravissimis Anathematis pœnis vetuerunt: Paulum nimirum secuti, qui ait: Si quis aliud vobis Evangelium, quam id, quod accepistis, annunciaverit: anathema esto.

Nam si Filius produceret Spiritum, & ejus esset autor: qui fieri potuisset, vt ab œcumenicis Synodis, hoc ita necessarium dogma silentio præteriretur? perspicitur ergo hinc: istos, suis cupiditatibus gratificatos, post sacras demum Synodos istam particulam addidisse. Nisi enim sic esset: non certe, cæteris vnum idemque sentientibus, ipsi quoque sanctissimi Romæ Antistites illis VII. sanctis Synodis interfuissent.

Quod

Εἰ ἔν καί τινα σοφιζόμενοι οἱ πρὸ ἡμῶν εἶπον, σοφίσματα ἀναιρέποντες, ὡς εἰπομεν, πάτταλον παττάλοις ἐκκρέοντες, ἀλλ' ἡμεῖς ἐκ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης τά ἡμέτερα οἰκονομῶμεν, ἀλλὰ γραφῆς ἀποδείξεσι τὴν σύστασιν κεκτῆσθαι ἐθέλομεν. Παῦλος γὰρ λέγει, (Κολασ. β'.) μηδεὶς ὑμᾶς συλαγωγῶν διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης. Ἐξ ἧς δὴ θείᾳ ῥητῇ διδασκόμεθα, τὴν ἀληθῆ φιλοσοφίαν, ἐδόλως μάχεσθαι τῇ Θεολογίᾳ. Ἀλήθεια γὰρ τῇ ἀληθείᾳ ἐ μάχεται. Καὶ δῆλον ἐκ τῆ ἑπομένῃ, καὶ κενῆς ἀπάτης. Ὥστε ἡ μὴ διάκενος σοφία, ὑπηρετεῖ τῇ Θεολογίᾳ μᾶλλον, ἢ ἀντιφέρεται. Καὶ ὑμεῖς ἔν, ὦ Τέκνα μὲ ἐν Χριστῷ ἀγαπητὰ, ἅτε σὺν Θεῷ μὴ διάκενον ἔχοντες σοφίαν, συνηγορεῖν ὀφείλετε τῇ Θεολογίᾳ. Ἧς πάντως ἀρχηγὸς ἐκ Ἄγγελος, ἐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος. εἶτα καὶ οἱ συμφωνοῦντες αὐτῷ Θεῖοι τῆς Ἐκκλησίας Ποιμένες καὶ Διδάσκαλοι. Ἐξ ὧν μετὰ τῶν ἄλλων, καὶ οἱ τῆς Ἁγίας καὶ Οἰκυμενικῆς ζ. Συνόδε Πατέρες καὶ τᾶτο ἐθέσπισαν. ἡμεῖς τὰς προσιθέντας τι ἢ ἀφαιροῦντας, ἀναθεματίζομεν. Ἔτι ἐδὲ τᾶτο παροπλέον ἀγαπητοὶ, ὅτι ἀπὸ τῆς ἑβδόμης, πέντε καὶ ἑβδομήκοντα παρελθόντων ἐνιαυτῶν, ἐπὶ τῆς βασιλείας Βασιλείε τᾶ Μακεδόνος, ἐν Κωνσταντίνε πόλει Σύνοδος τοπικὴ συνηθροίσθη. Ταύτης δὲ τῆς τηνικαῦτα συναθροισθείσης Ἁγίας Συνόδε τὸ αἴτιον ἦν, δι' ἣν τὸ πᾶν ἔργασαι, τῇ τᾶ πάπα βελῇ, καὶ τῇ Βασιλέως προτροπῇ, ἵνα Φώτιον τὸν Ἁγιώτατον τῷ Θρόνῳ τῆς Βασιλίδος ἐγκαθιδρύσῃ, καὶ τὰς μετά τινος ἐπικρύψεως τὸ Πνεῦμα τὸ Ἅγιον τολμῶντας λέγειν καὶ ἐκ τᾶ Υἱᾶ ἐκπορεύεσθαι, ἐκκηρύκτες ποιήσῃ.

Quod si etiam, qui ante nos vixerunt, aliqua Sophistice dixerunt: quibus Sophismata, vt diximus, everterent, clavum clavo expellentes: nos tamen non probabilitate & persuasione humanæ sapientiæ, nostram sententiam tuemur: sed demostrationibus scripturæ stabilitam esse volumus. Inquit enim Paulus: nemo vos, ceu prædam captivos ducat, per Philosophiam, & inanem deceptionem. Quo dicto docemur: veram Philosophiam nequaquam pugnare cum Theologia. Veritas enim cum veritate non pugnat. Patet ex eo, quod sequitur, & inanem deceptionem. Ergo, quæ non per omnia inanis est sapientia, inservit Theologiæ potius, quam adversatur. Et vos igitur, filii mei in Christo dilecti, vt qui beneficio Dei non inanem prorsus sapientiam habetis, adstipulari debetis Theologiæ: cujus plane Princeps ac Dux est, non Angelus, non homo, sed ipse Dominus. Deinde, qui cum eo consonant, divini Ecclesiæ Pastores & Doctores. E quibus, inter alia etiam sanctæ VII. œcumenicæ Synodi Patres hoc sanxerunt: Nos, eos, qui aliquid addunt, aut demunt, anathemate ferimus. Præterea nec hoc prætereundum est, dilecti: elapsis ab illa Septima LXXV. annis, imperante Basilio Macedone, Constantinopoli S. Synodum provincialem coactam fuisse. Ejus rei causa hæc fuit (vbi totum negotium consilio Papæ, & Imperatoris hortatu, gestum est) vt Photium, virum sanctissimum, in solio Patriarchico Regiæ vrbis collocarent: & illos, qui sub quadam occultatione audebant dicere, Spiritum S. e Filio quoque procedere, pu-

Ταύτη γὲν τῇ Συνόδῳ ὁ Ἁγιώτατος Πάπας Ἰωάννης, διὰ Πέτρε Ἐπισκόπε καὶ Καρδηναλίε, Παύλε τε καὶ Εὐγενίε, Ἐπισκόπων τε καὶ τοποτηρητῶν αὐτῶ συνομολογεῖ. Καὶ τὸν εἰς τὸ ἑξῆς προσθῆναι ἢ ἀφελέσθαί τι τολμήσοντα, καθυποβάλλει τῷ ἀναθέματι. ἀλλὰ δὴ καὶ ἕτος ὁ πάπας Ἰωάννης, τέτῳ τῷ Φωτίῳ τότε ἐπιστέλλων φησί. Πάλιν παραδηλῶμαι τῇ σῇ αἰδεσιμότητι, περὶ τὲ ἄρθρε τότε, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν Ἐκκλησιῶν τὲ Χριστὲ, ἔχε πρὸς ἡμᾶς πληροφορίαν, ὅτι ὲ μόνον λέγομεν τέτο, ἀλλὰ καὶ τὲς πρώτως θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τέτο, ποιῆσαι, παραβάτας κρίνομεν τῶν Θείων λογίων καὶ μεταποιητὰς τῆς Θεολογίας τὲ Δεσπότε Χριστὲ, καὶ τῶν Ἁγίων Πατέρων, καὶ μετὰ τὲ Ἰὲδα αὐτὲς τάττομεν. Καὶ τόδε εἰς πίστωσιν ἔτι, ὅτι ἔκτοτε μέχρι τὲ Χριστοφόρε, ἔτη παρῆλθον, ρλ'. ἐν οἷς πάντες οἱ τῆς Ῥώμης Ἱερώτατοι πρόεδροι ἡμῖν συνεφώνεν. Ἀλλὰ τί ταῦτα εἴποι τις ἂν, εἰ καὶ θαυμάσια εἰς τὴν τῆς ἀληθείας κατάληψιν, ἐμφανέστερον γινόμενον τὸ περὶ τὲ Πνεύματος ζητέμενον, ἀπό τε τῶν ἀποφάσεων τῶν Ἁγίων ζ'. Οἰκεμενικῶν Συνόδων, δισχιλίων ὄντων τὸν ἀριθμὸν τῶν ἐν ταύταις ἀγωνισαμένων Θείων Πατέρων, καὶ ὑπεραρκέντων, καὶ ἀπὸ τῶν Δεσποτικῶν ῥημάτων αὐτῶν. Ὧν δὴ Ἁγίων τὰ δόγματα καὶ τὲς νόμες σέργειν δίκαιον καὶ θαυμάζειν, καὶ τέτοις ἐμμένειν. Οὐχ ἧττον γὰρ βίε λαμπρότητι, ἢ λόγε δυνάμει, ὡς ἀστέρες ἐξέλαμπον. Οὐχ ἓν ἔθνος τῇ εὐσεβείᾳ πυρσεύσαντες, ἀλλ' ὅσαπερ ἀτεχνῶς ὁ ὁρώμενος ἥλιος ἐφορᾷ.

blica voce ejicerent. Huic tali Synodo, sanctissimus Papa Ioannes, ore Petri Episcopi Cardinalisque, & Pauli, atque Eugenii Episcoporum Vicariorumque suorum, consensit: eumque qui postea quid addere aut demere ausurus esset, anathemati subjecit. Idem etiam Ioannes, in Epistola, tunc ad illum Photium missa, sic inquit: Rursus venerabilitati tuæ significo de illo Articulo: propter quem offensiones extiterunt in Ecclesiis Christi. De eo certo: a nobis non solum dici hoc: sed illos etiam, qui initio ausi sunt vecordia sua sic facere, violatores judicari Divinorum oraculorum, & immutatores Theologiæ Domini Christi, & sanctorum patrum, & societati Iudæ adjudicari. Huic rei etiam hoc fidem facit: quod ab eo tempore, ad Christophorum vsque, anni præterierunt CXXX, per quod totum spacium, omnes sanctissimi Romani præsides nobiscum senserunt. Verum quid hæc dici opus est, quanquam miram vim ad veritatis deprehensionem habentia? manifestissime hæc de Spiritu quæstio cum sententiis sanctarum VII. œcumenicarum Synodorum, (in quibus, bis mille divini Patres strenue dimicarunt: qui satis superque sunt) tum ipsis Domini verbis, declarata est. Quorum sanctorum decretis & legibus acquiescere, ea admirari, & in eis persistere, par est: quippe qui non minus vitæ sanctimonia, quam præstantia eruditionis orationisque, instar stellarum, effulserunt: nec vnam tantum gentem, sed omnino tot, quot hic Sol aspicit, ad pietatis amorem inflammarunt.

Φασὶ

Inqui-

Φασὶ τοίνυν οἱ ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Συνόδῳ συνελθόντες φωτῆρες Ἅγιοι Πατέρες, πρὸς τὸν διαπορῆντα φιλόσοφον, τοιάδε μετὰ τῶν ἄλλων. Δέχε μίαν Θεότητα Πατρὸς, τῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως. Καὶ τῦ Υἱῦ τῦ γεγεννημένε ἐξ αὐτῦ. καὶ τοῦ Ἁγίε Πνεύματος, τῦ ἐκπορευομένε ἐξ αὐτῦ τῦ Πατρὸς, ἰδίε δὲ ὄντος τῦ Υἱῦ, καθά φησιν ὁ Θεῖος Ἀπόστολος, „εἴ τις „Πνεῦμα Χριστῦ ἐκ ἔχει, ἔτος ἐκ ἔστιν „αὐτῦ. Προσέχειν δὲ ἄξιον, ἐ γὰρ μάτην εἰρηται τῷ θείῳ ἐκείνῳ χορῷ, τὸ περὶ τῦ Ἁγίε Πνεύματος εἰρημένον, τῦ ἐκπορευομένε ἐξ αὐτῦ τῦ Πατρος. οὐ γὰρ ἔτως εἰώθαμεν τὰ νοήματα ἀπαγγέλλειν. ἀλλ' ἐπειδὴ προσεχῶς τῦ Υἱῦ ἐμνημόνευσαν, εἰπόντες, δέχε καὶ ἐπὶ τῦ Υἱῦ τὴν αὐτὴν Θεότητα, γεγεννημένε ἐξ αὐτῦ. ἔπα ἐπήγαγον, καὶ Ἁγίε Πνεύματος, τῦ ἐκπορευομένε ἐξ αὐτῦ. δείσαντες οἱ μακαριοι Πατέρες, μήποτε τὸ ἐξ αὐτῦ, περὶ τῦ Υἱῦ εἰρεῖθαι δόξη τισὶ, συνῆψαν τῷ ἐξ αὐτῦ, τὸ, ἐκ τῦ Πατρός. ὅπως μηδεμία χώρα περιλειφθῆ προφάσεως τοιαύτης. Εἰ δὲ ἐκ τῦ Υἱῦ ἐκπορευόμενον ἤδεσαν τὸ Πνεῦμα τὸ Ἅγιον, περίεργον ἦ προθήκη. ἐ μὴν, ἀλλὰ καὶ ἀπὸ τῦ τὴν λόγον ἔτω παραγαγεῖν καὶ διαιρέσει χρήσαθαι. καὶ τὴν μὲν προβολὴν ἀποδῦναι τῷ Πατρὶ, περὶ δὲ Υἱῦ εἰπεῖν, ὡς ἴδιον αὐτῦ ἔστιν, ὅπερ ἴδιον, οἰκειότητα φυσικὴν ἐμφαίνει τῦ Πνεύματος πρὸς τὸν Υἱον. Καὶ αὐτῦ εἶναι τὸ Πνεῦμα δείκνυσιν. ἐ μέντοιγε ἐξ αὐτῦ ἐκπορευόμενον. ὡς ὁ Παῦλος λέγει. „εἴτις Πνεῦμα Χριστῦ ἐκ ἔχει, „ἔτος ἐκ ἔστιν αὐτῦ. Καὶ ὁ Βασίλειος, „ᾠκειωμένον κατὰ φύσιν αὐτῷ. Καὶ Χρυσόστομος. Πνεῦμα Θεῦ καὶ Πνεῦμα τὸ

Inquiunt igitur primæ Nicenæ ſynodi lumina, Patres ſancti, ad dubitantem Philoſophum, inter alia ſic. Accipe vnam divinitatem Patris, qui Filium genuit modo inexplicabili: & Filii, ex ipſo generati: & S. Spiritus, qui ex ipſo Patre proficiſcitur, ſed Filii proprius eſt, juxta illud „Apoſtoli: Si quis Spiritum Chriſti non „habet, is non eſt ejus. Notatu dignum eſt (non enim certe fruſtra a divino illo cetu dictum) & hoc, quod de Spiritu S. dictum eſt: qui ex ipſo Patre proficiſcitur. Alias enim non ſic loqui ſolemus. Sed illi, poſtquam proxime Filii perſonam ſubjecerunt, dicentes: Accipe in Filio eandem divinitatem, qui ex ipſo natus: addiderunt: & S. Spiritus, qui proficiſcitur ex ipſo. Quo in loco cum metuerent: ne illud, QVI ex ipſo, de Filio dictum aliquis putaret: adjecerunt beati Patres particulæ, ex ipſo, vocem, Patre: ne vllum locum habere poſſet talis prætextus. Si vero ex Filio ſenſiſſent proficiſci S. Spiritum: fruſtra id verbum additum fuiſſet. Idem etiam ex forma orationis, & diviſione, qua vſi ſunt, patet. Productionem enim Spiritus, Patri aſſignant: de Filio vero dicunt, id eſſe proprium ejus, quod naturalem conjunctionem ſpiritus cum filio ſignificat. Et ipſius eſſe Spiritum monſtrat, non autem ex ipſo progredi. Sicut Paulus ait: Si quis Spiritum Chriſti non habet, is non eſt ejus. Et Baſilius: Sed & Spiritus Chri„ſti dicitur, tanquam natura conjunctus „ei, & familiaris. Chryſoſtomus etiam, „Spiritus Dei, inquit, & Spiritus, qui eſt ex

„ἐκ τῦ Θεῦ, ἄλλο ἐστὶ λέγειν τῦ Θεῦ, „καὶ ἄλλο ἐκ τῦ Θεοῦ. πᾶσα ἓν ἀνάγ„κη, καὶ ἄλλο Υἱῦ εἶναι τὸ Πνεῦμα λέ„γειν, καὶ ἄλλο ἐκ τῦ Υἱῦ εἶναι. Καὶ „πάλιν ὁ μακάριος χορὸς ἔτος. μία „μὲν ἡ φύσις, τρία δὲ τὰ πρόσωπα λε„κτέα. Πηγὴ, Ποταμὸς, Ὕδωρ. ἀλλ' „οὐδεὶς καλεῖ τὸν ποταμὸν πηγὴν, ἢ τὴν „πηγὴν ποταμόν. πηγὴ ἓν Θεότητος ὁ Πατὴρ, γεννῶν τὸν Υἱὸν, προβάλλων δὲ τὸ Πνεῦμα. Ἀποφάσκεται δὲ ἡ πηγὴ, ἐκ τῦ Υἱῦ. Ὡς καὶ Χρυσόστομος ἐξηγέμενος τὸν μγ΄ Ψαλμὸν σαφηνίζει, λέγων. „πόθεν τὸ ὕδωρ τὸ ζῶν; ζητήσω„μεν αὐτῦ τὴν πηγήν. Πηγὴ ὕδατος „ζῶντος ὁ Πατὴρ, ποταμὸς ἐκ ταύτης „προερχόμενος ὁ Υἱὸς, ὕδωρ τέτε τὸ „Πνεῦμα τὸ Ἅγιον, ἐκ τῆς πηγῆς προ„ερχόμενον τῦ Θεοῦ καὶ Πατρός.

Οἱ δὲ ἐν τῇ δευτέρᾳ Οἰκεμενικῇ συνωδᾶ τέτοις φάσκοντες, Θεολογῦσι. Πιςεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνέμενον καὶ συνδοξαζόμενον. Ἡ γὰρ συνέλευσις τῆς δευτέρας Συνόδε ταύτης, ὡς οἴδατε, ἐπὶ τῆς Βασιλείας Θεοδοσίε τῦ μεγάλε συναθροισθεῖσα, κατὰ τῦ πνευματομάχε Μακεδονίε ἐγένετο. Ὅθεν καὶ, ὡς ἡ πρώτη τὸ ὁμοούσιον ἐκήρυξεν, κτίσμα τῦ Θεομανῦς αἱρέσε τὸν Υἱὸν βλασφημήσαντος, ἕτω καὶ αὕτη ἡ δευτέρα σκοπὸν ἔχει κύριον περὶ τῦ Ἁγίε Πνεύματος. ὅθεν καὶ περὶ αὐτῦ διετράνωσε τὴν ἐκπόρευσιν.

Ἀλλὰ καὶ ἡ τρίτη Σύνοδος ἡ Οἰκεμενικὴ συμφρονῦσα, λέγει αὐταῖς, καὶ ἡ τετάρτη ὁμοίως. Ἡ μὲν ἀποφηναμένη,

Deo. Aliud eſt, dicere, Dei, aliud, ex Deo. Omnibus modis igitur neceſſe eſt: inter ſe differre hæc duo, Filii Spiritum eſſe, & ex Filio eſſe. Rurſus, a beato illo choro dicitur: vna dicenda eſt natura, tres vero perſonæ. „Tria ſunt, Fons, fluvius, aqua: ſed a nemine fluvius appellatur nomine fontis, aut fons nomine fluvii. Fons ergo divinitatis, Pater eſt: qui generat Filium, producit Spiritum. Negatur Filius eſſe Fons: quod ex Chryſoſtomi etiam in XCIII. Pſalmum enarratione clarum eſt. Vnde, inquit, aqua „illa viva eſt? Quæramus ejus fontem. „Fons aquæ viventis, eſt Pater: Fluvius „ex eo promanans, Filius: Aqua hujus „Spiritus Sanctus eſt, e fonte Dei Patris „profluens.

Secundæ quoque œcumenicæ Synodi Patres, his conſona ex Theologia ſtatuunt. Credimus, inquiunt, & in Spiritum S. qui Dominus eſt, qui viuificus eſt, qui e Patre procedit: qui vna cum Patre & Filio adoratur, & vna glorificatur. Scitis enim, hanc Synodum, imperante Theodoſio magno, adverſus oppugnatorem Spiritus Macedonium congregatam fuiſſe. Qua de cauſa, ſicut prima Synodus, cum inſanus in Deum Arius, Filium con tumelioſe in gregem creaturarum abjeciſſet, conſubſtantialitatem prædicavit: ita hæc ſecunda, proprium ſibi ſcopum propoſitum habet, Deitatem Spiritus ſancti. Ideo quoque de ipſius progreſſione diſerte tradidit.

His & tertia vniverſalis Synodus adſtipulatur, & quarta. Illa enim pronunciat, nemini licere, vllam aliam,

præter

μένη, μηδενὶ ἐξεῖναι ἑτέραν πίστιν προφέρειν παρὰ τὴν ἐν Νικαίᾳ. Ἡ δὲ, κατ' ἐδέναι τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν. Ἡ δὲ πίστις, ὡς φαίνεται, πρώτης καὶ δευτέρας ἡ περὶ τοῦ Πνεύματος, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἴδιον δὲ καὶ τοῦ Υἱοῦ. Ὁρᾶτε, πῶς ἀλλήλων ἔχονται, καὶ μία τὴν ἑτέραν κυροῖ;

Δῆλον δὲ ὅτι καὶ οἱ τῆς πέμπτης Οἰκουμενικῆς καὶ περὶ τότε ἐλάλησαν, καὶ περὶ ἄλλων ζητημάτων Θεολογικῶν, ἐξ ὧν λέγει ῥητῶς. Πολλῶν γὰρ ὄντων ἐν οἷς ἃ πρὸς εὐσέβειαν ἔλεγον οἱ περὶ Ὠριγένην, (δι' ὃν, καὶ καθ' ἃ ὁ σκοπὸς τῇ Συνόδῳ ταύτῃ) πάντων ἕνεκεν συνῆλθε, καὶ τῷ βαραθρῳ παρέδωκεν. Τοῦτο καὶ ἡ κατὰ Μασσαλιανῶν Σύνοδος ποιήσασα φαίνεται. λέγει γὰρ ἐν τοῖς αὐτοῖς πρακτικοῖς ῥητῶς. Ἐπὶ πολλοῖς γὰρ αὐτοὺς φωράσασα βλασφημοῦντας, ἐπὶ πᾶσιν, ὡς εἰκὸς, ἀπεκήρυξεν. Οὐκ ἔθος γὰρ ταῖς Οἰκουμενικαῖς Συνόδοις, ἵνα περὶ ὧν ἡ πρόθεσις μόνον, περὶ τούτων ποιεῖσθαι τοὺς λόγους, ἀλλὰ καὶ περὶ πάντων τῶν ἀναφυέντων τὸ δέον ὁρίζεσθαι ὡς εἴπομεν, ὡς ἔν τε τῇ Πρώτῃ φανερὸν, Δευτέρᾳ, Τρίτῃ, Τετάρτῃ, Πέμπτῃ, καὶ ταῖς λοιπαῖς. Καὶ ἐδὲ μέχρι Δογμάτων τὴν προθυμίαν ἔσησαν, ἀλλὰ καὶ τῆς ἄλλης ἐφρόντισαν Ἐκκλησιαστικῆς τάξεως Κανόνας ἐκδόντες, τῆς ὀρθῆς πολιτείας ἕνεκα. Θεῷ γὰρ ζῶντι λατρεύοντες, ἐχ ἱκανὸν ἡγηντο, ἐν Δόγμασι μὲν ὑγιαίνειν, ἐν ἔργοις δὲ νοσεῖν, νεκρὰ γὰρ ἡ τοιαύτη πίστις, καὶ ἥκιστα Θεῷ ζῶντι, πρέπουσα.

Ἔτι καὶ ἡ ἕκτη ἐν τῷ πρώτῳ Κανόνι ταύταις, ὁμοιοῦσα, καὶ ἐν Πνεύματι Ἁγίῳ

præter Nicænam, proferre fidem. Hæc vero, nullo modo, inquit, patimur, a quoquam concuti fidem semel definitam. Primæ autem & secundæ Synodi, vt liquet, fides, quæ de Spiritu agit, statuit: Spiritum e Patre prodire: & proprium etiam Filii esse. Videtis, quomodo inter se connexæ Synodi sint, & alia aliam ratam habeat.

Constat vero quinti etiam vniversalis Concilii Patres, tum de hac, tum de aliis quæstionibus Theologicis, locutos esse. Vnde est hic locus ad verbum. Cum enim in multis non pie dixerint Origenis sectatores, (propter quem, & contra quem, hæc Synodus instituta est) propter omnia convenit, barathroque & exitio adjudicavit. Idem & a Synodo contra Massalianos conflata, factum apparet. Dicitur enim ibi, in iisdem actis, ad verbum. Cum enim in multis eos blasphemia vsos deprehendisset propter omnia, vt par erat, ab Ecclesiæ consortio exclusit. Solent enim vniversales Synodi, non de iis tantum, quæ proposita sunt, verba facere: sed de omnibus etiam aliis, quæ emerserunt, ita determinare, vt oportet, quemadmodum diximus: id non ex prima & secunda tantum: sed ex omnibus etiam reliquis synodis, perspicitur. Nec dogmatum tantummodo assertione studium suum terminarunt: verum etiam reliqui Ecclesiastici ordinis curam gesserunt, regulis recte vivendi editis. Nam quia se Dei ministros esse volebant: non satis existimarunt: dogmata quidem habere sana, opera vero, morbida: cum mortua sit talis fides, minimeque Deo viventi conveniens.

Insuper sextæ quoque, præcedentibus con-

Ἁγίῳ κινεμένη, λέγει. Ὁρίζομεν ἀκαινοτόμητόν τε καὶ ἀπαράπλωτον φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν, ὑπὸ τῶν Ἁγίων Ἀποστόλων, καὶ τῶν, τριῶν. Ἁγίων Πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν λοιπῶν Ἁγίων Συνόδων. καὶ πάντων τῶν ἐν Ἐκκλησίᾳ Θεοῦ διαπρεψάντων ἀνδρῶν. οἱ γεγόνασι φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, καὶ τὰ λοιπά.

Προσέτι καὶ ἡ ἑβδόμη, τὴν χρυσαυγῆ ἅλυσιν ταύτην πλέκουσα καὶ συνέλκουσα Ἁγίῳ Πνεύματι ἑνὶ, ἐν τῷ ὅρῳ αὐτῆς ἀποφαίνεται. Ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς Καθολικῆς Ἐκκλησίας ἐπακολουθοῦμεν, ἡμεῖς τοὺς θεσμοὺς τῶν Πατέρων φυλάττομεν. ἡμεῖς τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς Ἐκκλησίας ἀναθεματίζομεν.

Καὶ ταῦτα μὲν ἡ κοινὴ ψῆφος τῶν Ἁγίων Οἰκουμενικῶν ἑπτὰ Συνόδων ὡς ἐν συντόμῳ ἀπεφήναντο.

Σκοπῶμεν δ', εἰ δοκεῖ, καὶ τὰ ἐν ἰδίοις Συγγράμμασι τῶν ἐν ταύταις ἐξάρχων καὶ Οἰκουμενικῶν Διδασκάλων, τί ἕκαστος εἶπε περὶ τοῦ Ἁγίου Πνεύματος ἀναφορὰν ποιούμενος, καὶ περὶ ἐκπορεύσεως δογματίζων. Καὶ πρῶτον σκοπήσωμεν τὸν τῆς παλαιᾶς Ῥώμης Ἅγιον Σύλβεστρον. τί ἐν τῇ κατὰ τοῦ γόητος ἐκείνῳ εὐχῇ εἶπεν. Ἦτος γὰρ ἔξαρχος ἦν τῆς πρώτης Συνόδου. Εἷς ὑπάρχει Θεὸς ἀληθινὸς ὁ Πατὴρ, ἀληθινὸν Υἱὸν ἔχων ἐξ αὐτοῦ γεννηθέντα, ἀληθινὸν Πνεῦμα Ἅγιον ἐξ αὐτοῦ ἐκπορευόμενον. Ἀλλὰ καὶ ὁ μέγας τῆς ἀληθείας κήρυξ, ὁ μακάριος Ἀθανάσιος, πολλὰ ἐν τοῖς αὐτοῦ Συγ-

consentientis, & sancti Spiritus afflatu motæ, canon primus inquit. Statuimus, nihil novandum & immutandum esse in Fide: sed ita conservandam, vt tradita nobis est a sanctis Apostolis, & CCCXVIII. sancti Nicæni, cæterisque reliquorum conciliorum Patribus: omnibus denique, quorum pietas Ecclesiæ Dei decora fuit, vtris laudatis: qui velut lumina clara, in mundo fulserunt, verbum vitæ tenentes, & cætera.

Septima denique Synodus, auream hanc coronam complicans, & contrahens, vno eodemque S. Spiritu, suo canone sic pronuntiat. Nos vetera instituta & sanctiones Catholicæ Ecclesiæ sequimur: nos decreta Patrum custodimus: nos, quicunque aliquid addunt, aut detrahunt, Ecclesiæ communione diris devotos ejicimus.

Hæc, communi suffragio septem sanctarum generalium synodorum, vt breviter relata sunt, sancita & promulgata fuerunt.

Consideremus nunc, si placet: quid etiam illarum duces & autores, œcumenicique Doctores, in scriptis suis, singuli de S. Spiritu memoriæ prodiderint, & de processione ejus sanxerint. Ac primum, qui sanctus veteris Romæ Sylvester, in sua contra præstigiatorem illum precatione dixerit. Antesignanus enim hic pontifex, primæ synodi fuit. Vnus, inquit, est Deus verus, Pater. Filium verum habens ex ipso natum: verum Spiritum S. ex ipso egredientem. Et magnis veritatis præco, beatus Athanasius, cum multa in suis libris de hac re, tum in Epistola ad Serapionem, dicit. Cum

Συγγράμμασι λέγει, ἀλλὰ καὶ ἐν τῇ πρὸς Σεραπίωνα. „Ἔκεν καλῶς φρονοῦντες „περὶ τοῦ Πνεύματος τοῦ Ἁγίου, ἀδὲ πε„ρὶ τοῦ Υἱοῦ καλῶς φρονοῦσιν. Εἰ γὰρ „ἐφρόνεν ὀρθῶς περὶ τοῦ λόγου, ἐφρόνεν ἂν „ὑγιῶς καὶ περὶ τοῦ Ἁγίου Πνεύματος, „ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ „τοῦ Υἱοῦ ἴδιον ὂν, παρ' αὐτοῦ μεταδίδο„ται τοῖς Μαθηταῖς, καὶ πᾶσι τοῖς πι„στεύουσιν εἰς αὐτόν. Ὡς καὶ ἐν τῷ πε„ρὶ τοῦ Ἁγίου Πνεύματος αὐτοῦ λόγῳ λέ„γει, καὶ τῷ περὶ τῆς Ἁγίας Τριάδος. Καὶ ἐν τῷ λόγῳ τῷ ἀρχομένῳ, πιστεύομεν εἰς ἕνα Θεόν. Καὶ ἐν ἄλλοις λόγοις αὐτοῦ πολλοῖς, ἐφαπλοῖ τὴν ἐκπόρευσιν ἐκ τοῦ Πατρός. Καὶ ὁ πολὺς τὴν σοφίαν Κύριλλος, ἐν τῷ περὶ τῆς Ἁγίας Τριάδος λόγῳ αὐτοῦ. „ αἱ προσκυνη„ταὶ δυνάμεις, γινώσκονται καὶ πιστεύον„ται, ἐν Πατρὶ ἀνάρχῳ, ἀναιτίῳ, ἀ„γεννήτῳ. Ἐν Υἱῷ μονογενεῖ ἀῤῥήτως „ἐκ τοῦ Πατρός. καὶ ἐν Πνεύματι Ἁγίῳ „τῷ ἐκπορευομένῳ ἐκ τοῦ Πατρός, ἀ γεν„νήτως, καθάπερ ὁ Υἱὸς, ἵνα μὴ δύο „Υἱοὶ ἐν τῇ Τριάδι, ἀλλ' ἐκπορευομένως „ἐκ μόνου τοῦ Πατρός, ὡς ἀπὸ στόματος, „πεφηνότι δὲ διὰ τοῦ Υἱοῦ ἐν πᾶσι τοῖς Ἁγίοις. διατρανοῖ δὲ τὴν ἐκπόρευσιν τὸ κατὰ Λεκὰν ἐξηγέμενος. Καὶ ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος λόγῳ τῷ ἀγωνιστικῷ, καὶ ἐν ἄλλοις τόποις ἀπείροις. Δάμασος δὲ ὁ πάπας ῥώμης, ὁ τῆς δευτέρας ἔξαρχος, (ὡς ὁ Κύριλλος τῆς τρίτης ἦν) πρὸς Παυλῖνον γράφων, φησίν. εἴ τις μὴ εἴποι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς Θείας ἐσίας τοῦ Θεοῦ, Θεὸν Λόγον, ἀνάθεμα ἔστω. Καὶ ὁ πάπας Ἀγάθων, ἐπιστέλλων Βασιλεῦσι Ρωμαίων λέγει. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ

Cum igitur non recte sentiant de Spiritu Sancto, ne de Filio quidem recte sentiunt. Si enim recte sentirent de verbo: sanam etiam de Spiritu S. sententiam haberent: „qui a Patre progreditur: & cum Filii pro„prius sit, ab eo impertitur discipulis omni„busque in ipsum credentibus. Eodem „modo in suo de Spiritu S. sermone loqui„tur: & in sermone de S. Trinitate: & in „sermone, qui incipit, Credimus in vnum „Deum: & in aliis multis, a se scriptis ser„monibus: in quibus omnibus, progres„sionem e Patre explicat. Nec non ille „sapientia præstans Cyrillus in oratione „quam de S. Trinitate scripsit. Adoran„dæ illæ, inquit, potentiæ, cognoscuntur „& creduntur in tribus, in Patre, principi„um, causam generationem non habente: „in Filio vnigenito, inenarrabili quadam „ratione genito e Patre: & in Spiritu „Sancto, qui procedit e Patre: non qui„dem nascendi modo, sicut Filius, (ne „duo sint Filii Triadis) sed progredi „endi e solo Patre, velut ex ore: qui „Spiritus per Filium apparuit in omnibus Sanctis.„ Enodat autem illam processionem commentario in Evangelium Lucæ: & in oratione de Spiritu S. adversariis oppositа: & aliis locis sexcentis, Damasus item, Papa Romanus, secundæ Synodi præses (sicut Cyrillus, tertiæ) ad Paulinum scribens, ait, Si quis negaverit, Spiritum S. esse ex Patre vere & proprie: vt & Filium, e divina essentia Dei, Deum verbum: anathema esto. Et Papa Agatho, in epistola ad Imperatores Rom. Et in Spiritum S. τὸ κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ

τῷ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. Ἄρχεται δὲ ὅτως. αὕτη ἐστὶν ἡ τελεία ἡμῶν εἴδησις, ἵνα τὰς ὅρους τῆς Καθολικῆς Ἐκκλησίας παραφυλάξωμεν. πιστεύοντες εἰς ἕνα Θεὸν, καὶ τὰ λοιπά.

Τοῖς ἀρχιερεῦσι δὲ τέτοις Ῥωμαίων συνάδσι, καὶ οἱ τρεῖς Ἀνατολικοὶ Φωστῆρες. ὁ μὲν Βασίλειος, ἐν τῷ λόγῳ τῷ κατὰ ἀνομοίων, ἧ ἡ ἀρχὴ, Μάχεται Ἰδαϊσμὸς ἑλληνισμῷ, λέγει. Κυρίως ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ. καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ. ἐπειδὴ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορέυεται. ἀλλ' ὁ μὲν Υἱὸς, ἐκ τοῦ Πατρὸς γεννητῶς. τὸ δὲ Πνεῦμα, ἀῤῥήτως ἐκ τοῦ Θεοῦ. Καὶ ἐν τῇ πρὸς τὸν ἀδελφὸν Γρηγόριον Ἐπιστολῇ κηρύττει, καὶ ἐν ἄλλοις. ὁ δὲ Γρηγόριος ἐν τῷ δευτέρῳ εἰρηνικῷ φησι. διὰ τοῦτο, ἐπὶ τῶν ἡμετέρων ὅρων ἱσάμενοι, τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ Πατρὸς ἐκπορευόμενον. ὡσμὲν πᾳ φησὶν αὐτὸς ὁ Θεὸς Λόγος. καὶ ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος λόγῳ Θεολογεῖ τὴν ἐκπόρευσιν ἐκ τοῦ Πατρὸς. καὶ ἐν ἄλλοις τόποις τῶν Συγγραμμάτων αὐτοῦ. καὶ ὁ Θεῖος Χρυσόστομος, ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος λόγῳ, λέγει. Ἐὰν ἀκέσης, ἀποστελῶ ὑμῖν τὸ Πνεῦμα τὸ Ἅγιον, μὴ τὴν θεότητα ἐκλάβῃς. Θεότης γὰρ ἐκ ἀποστέλλεται, ὀνόματα δὲ εἰσι ταῦτα τὴν ἐνέργειαν σημαίνοντα. Ὅταν ἓν λέγει πέμψω ὑμῖν τὸ Πνεῦμα τὸ Ἅγιον, τὴν δωρεὰν λέγει τοῦ Πνεύματος. Λύει δὲ τοῦτο ὁ Σωτὴρ, λέγων, μείνατε ἐν Ἱερουσαλὴμ, ἕως ἂν ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἀλλὰ καὶ Γρηγόριος ὁ Νύσσης, ἐν τῷ περὶ

inquit, Dominum & vivificum, e Patre progredientem: qui vna cum Patre & Filio adoratur & glorificatur, Incipit autem sic: Hæc est perfecta nostra scientia: vt terminos Catholicæ Ecclesiæ conservemus. Credentes in vnum Deum, & quæ sequuntur.

Cum his Pontificibus Romanis, faciunt tres hi Orientis luciferi. Primum Basilius, in oratione contra Anomœos: cuius principium est, pugnat Iudaismus cum gentium superstitione: proprie, inquit, Filius a Patre exivit, & Spiritus e Patre progreditur. Filius tamen, e Patre, ratione generationis: Spiritus vero, ineffabiliter ex Deo. Sed & in epistola ad fratrem Gregorium, & in aliis prædicat. Deinde Gregorius, in secundo sermone de pace inquit. Propterea, nos intra nostros limites consistentes, illud non genitum, & illud genitum, introducimus, & illud e Patre procedens: sicut alibi ipse Deus Sermo ait. Et in sermone, quum de Sancto Spiritu scripsit, Theologice de processione ex Patre differit: itemque in aliis locis Scriptorum suorum. Tum D. Chrysostomus, in sermone de Spiritu S. dicit. Quando audis: Mittam vobis S. Spiritum: ne divinitatem intellige: quia divinitas non mittitur: sed hæc sunt eiusmodi nomina, quae operationem significant. Quando ergo dicit: Mittam vobis Spiritum S. donationem dicit Spiritus Sancti. Interpretatur hoc Dominus ipse, cum dicit: manete Hierosolymæ, donec induamini facultate ex alto. Sed & Nyssenus Gregorius, in oratione de appellatione

περὶ θεωνυμίας λόγῳ. Ἓν πρόσωπον καὶ τὸ αὐτὸ τῷ Πατρὸς, ἐξ οὗ ὁ Υἱὸς γεννᾶται, καὶ τὸ Ἅγιον ἐκπορεύεται Πνεῦμα, καὶ τὰ λοιπά. Καὶ ὁ Διονύσιος ὁ Θεοπέσιος Ἀρειοπαγίτης, ἐν τῷ λόγῳ τῷ περὶ ἡνωμένης καὶ διακεκριμένης Θεολογίας, συνάδει αὐτοῖς. Μόνη πηγὴ τῆς ὑπερουσίᾳ Θεότητος ὁ Πατὴρ, Θεολογῶν, καὶ τὰ ἑξῆς. ἔτι καὶ ὁ Ἅγιος Αὐγουστῖνος ἐν τῇ πρὸς Μαξιμῖνον ἐπιστολῇ. Γρηγόριός τε ὁ θαυματουργὸς ἐν τῇ ἐκθέσει τῆς αὐτῷ πίστεως. ὁ ἅγιος Ἱερώνυμος ἐν τῇ πρὸς Δάμασον ἐπιστολῇ. Ὁ θεῖος Νεῖλος ἐν τῷ περὶ τῆς Ἁγίας Τριάδος, λέγει. Ἡ ἁγία καὶ Καθολικὴ Ἐκκλησία, τὸν μὲν Πατέρα δογματίζει ἀγέννητον, τὸν Υἱὸν γεννητὸν ἐκ τοῦ Πατρὸς, Τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ αὐτὸ ἐκπορευτὸν ἐκ μόνου τοῦ Πατρός, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. καὶ μετὰ τούτους πάντας, ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς, ὁ τῶν καλλίστων ἡγεμὼν καὶ διδάσκαλος, καὶ ἀκριβέστατος τῶν ὀρθῶν δογμάτων ὑφηγητὴς, ὁ πᾶσαν ἀμφιβολίαν μεθ' ὅσου περιαιρῶν τοῦ κρείττονος, ὁ τὸν νεῦν τῶν πρὸ αὐτοῦ Ἁγίων Πατέρων συμβιβάζων καὶ ἐξηγέμενος ἄριστα. Ὃς ἐν τοῖς χρόνοις Λέοντος τοῦ Ἰσαύρου, τοῦ κατὰ τῶν Ἁγίων Εἰκόνων λυττήσαντος, τῆς εὐσεβείας προέστη, τὸν ζῆλον μιμησάμενος Ἠλιοῦ, καὶ τοῦ ὁμωνύμου τὸν ἔλεγχον. ἐπιστολιμαίοις λόγοις ὑπὲρ τῶν σεβασμίων εἰκόνων ἐλέγξας, καὶ στηλιτεύσας τὴν τῶν εἰκονομάχων δυσσέβειαν. Μέσον ἐν τῷ καιρῷ τῆς ἕκτης Συνόδου καὶ ἑβδόμην, τῆς Καθολικῆς Ἐκκλησίας συμμαχήσας, ἔκδοσιν τῆς ἀληθοῦς πίστεως συγγραψάμενος, καὶ ἄλλα θεολογικὰ θαυμάσια. Καὶ τρεῖς λόγους περὶ τῶν ἁγίων

tione Dei, vna, inquit, eademque persona Patris est: e qua Filius generatur, & S. Spiritus egreditur, & cætera. Dionysius quoque, divinus ille Areopagita, in tractatu de coniuncta & disiuncta Theologia, cum ipsis consentit: Solus fons, inquiens, omnem essentiam exuperantis divinitatis, Pater est, & quæ sequuntur, Et S. Augustinus, in Epistola ad Maximinum: ac Gregorius Mirificus, in expositione suæ fidei: & S. Hieronymus in Epistola ad Damasum. Divinus Nilus, in Sermone de S. Trinitate inquit, Sancta & Catholica Ecclesia, Patrem statuit, non genitum: Filium, ex Patre genitum: Spiritum sanctum, e solo Patre procedentem, non etiam e Filio. Post hos omnes, D. Ioannes Damascenus, ille pulcherrimarum rerum Dux & Doctor, subtilissimusque verorum dogmatum interpres, omnem dubitationem maxima cum laude tollit: Patrum, qui ante ipsum vixerunt, sententias, concordi quodam nexu velut coagmentans, & enarrans optime. Hic temporibus Leonis Isauri, illius rabiosi sacrarum Imaginum oppugnatoris, pro pietate propugnavit: Zelum imitatus Heliæ, & illius, cum quo ipse idem nomen habebat, in redarguendo libertatem. Orationibus ad modum Epistolarum, ob defendendas venerabiles imagines scriptis, coarguit, & infamia notavit, cum illis bellum gerentium impietatem. Tempore inter sextam & septimam Synodum medio, Catholicæ Ecclesiæ auxilium tulit: libro de vera Fide, & aliis Theologicis mirandis, editis: nec non tribus de imaginum veneratione orationibus

„fratrem suum, in luce manet, & te-
„nebræ in eo non sunt. Qui non di-
„ligit fratrem suum, manet in mor-
„te. Omnis, qui odit fratrem suum,
„homicida est. Scimus autem, omnem
„homicidam non habere vitam æter-
„nam in se. Et 3. cap. ejusdem: Quis-
„quis habuerit opes, & viderit fratrem
„suum egentem &c. & quicquid præ-
„terea ibi de charitate sequitur.

Consentit cum his, Dei frater, cap. 2. Epist. suæ, vbi dicit: „Quæ vti-
„litas est, fratres mei, si fidem aliquis
„dixerit se habere, facta vero non ha-
„beat? potest ne Fides ipsum facere sal-
„vum? Quod si frater, aut soror, nudi
„fuerint, & quotidiani victus egentes,
„ali-

„λειπόμενοι ὥσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ „δέ τις αὐτοῖς ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρή„νῃ, θερμαίνεσθε, καὶ χορτάζεσθε, μὴ „δῶ δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, „τί τὸ ὄφελος; οὕτω καὶ ἡ πίστις ἐὰν μὴ „ἔργα ἔχῃ νεκρά ἐστι καθ' ἑαυτήν. ἀλλ' „ἐρεῖ τις, σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω. „δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, „κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πί„στιν μου. σὺ πιστεύεις ὅτι ὁ Θεός, εἷς ἐστι; „καλῶς ποιεῖς, καὶ τὰ δαιμόνια πιστεύ„σι, καὶ φρίττουσι Θέλεις δὲ γνῶναι, ὦ „ἄνθρωπε κενὲ, ὅτι ἡ πίστις χωρὶς τῶν „ἔργων νεκρά ἐστιν; Ἀβραὰμ ὁ πατὴρ „ἡμῶν, οὐκ ἐξ ἔργων νόμου ἐδικαιώθη, ἀνε„νέγκας τὸν Υἱὸν αὐτοῦ ἐπὶ τὸ Θυσιαστή„ριον; βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς „ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις „ἐτελειώθη, καὶ ἐπληρώθη ἡ Γραφὴ ἡ „λέγουσα, ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, „καὶ ἐλογίσθη αὐτῷ εἰς Δικαιοσύνην, καὶ „Φίλος Θεοῦ ἐκλήθη; Ὁρᾶτε τοίνυν, ὅτι „ἐξ ἔργων δικαιοῦται ἄνθρωπος, καὶ οὐκ „ἐκ πίστεως μόνον; ὥσπερ γὰρ, ὡς εἴπο„μεν πρὸ ὀλίγου, τὸ σῶμα χωρὶς Πνεύ„ματος νεκρόν ἐστι, οὕτω καὶ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

Συνορᾶν δίκαιον, πῶς ἀμάτην ἐῤῥέθη, ὅτι δίχα πίστεως, ἐλπίδος, ἀγάπης, σωθῆναι ἀδύνατον. ὥσπερ γὰρ δεόμεθα τοῦ σώματος ὀφθαλμῶν εἰς θέαν τῶν ὁρατῶν, οὕτω δήπου χρήζομεν πίστεως εἰς τὴν ἐποπτείαν τῶν θείων. Καὶ ὥσπερ ἡ τῶν πραγμάτων κατ' ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν προσγίνεται, οὕτω καὶ ἡ τῆς ἀληθείας ἐπίγνωσις, κατὰ μέτρον τῆς εἰς Χριστὸν ἐλπίδος. Καὶ ὥσπερ οὐκ ἄλλο τι λατρεύειν παρὰ τὸν Θεὸν προσήκει, οὕτως οὐκ ἐπ' ἄλλον ἐλπίζειν

„aliquis autem veſtrum eis dicat: Abite, „cum pace, calefacite vos, & ſaturami„ni: non tamen dederit ipſis quæ cor„pori neceſſaria ſunt, quæ erit vtilitas? „Sic etiam fides, niſi facta habuerit, „mortua eſt per ſe. At dicet aliquis: „Tu fidem habes: Et ego facta habeo. „Monſtra mihi fidem tuam ex factis tuis: „& ego monſtrabo tibi ex factis meis „fidem meam. Tu credis, Deum, v„num eſſe? Recte facis. Etiam Dæmo„nes credunt, & cohorreſcunt. Vis ne „autem cognoſcere, inanis homo: fi„dem, cum ſine factis eſt, mortuam eſ„ſe? Abrahamus, Pater noſter, nonne „ex operibus legis, juſtus factus eſt, poſt„quam obtulit filium ſuper aram? Vides, „fidem adjutricem fuiſſe factis ejus: & „ex operibus fidem factam eſſe perfe„ctam? Ita impleta fuit Scriptura, quæ „dicit: Credidit Abrahamus Deo, & im„putatum eſt ei ad juſtitiam, amicusque „Dei vocatus eſt. Vides igitur, ex factis „juſtificari hominem, & non ex fide ſo„lum? Sicut enim, vt paulo ante diximus, corpus absque Spiritu, mortuum eſt: ſic etiam fides ſine factis mortua eſt.

Operæ precium autem eſt, cauſam conſiderare, cur non fruſtra dictum ſit: absque fide, ſpe, charitate, hominem conſervari, impoſſibile eſſe. Quemadmodum enim corporis oculis indigemus ad viſionem rerum aſpectabilium: ita nimirum opus eſt nobis fide ad inſpectionem Divinarum. Et quemadmodum rerum, proportione executionis mandatorum fit: ita & veritatis agnitio, pro menſura ſpei in Chriſto collocatæ. Sicut non quicquam aliud, cultu divino honorandum

πίζειν, ἢ μόνον ἐπὶ τὸν Θεὸν τῶν πάντων κηδεμόνα. Καὶ ὥσπερ ἐπικατάρατος ὁ τὴν ἐλπίδα ἔχων ἐπ' ἄνθρωπον, ἕτως εὐλογημένος, ὁ τῷ Θεῷ ἐπιστηριζόμενος. Καὶ ὥσπερ μνήμη πυρὸς, ἐθερμαίνει τὸ σῶμα, ἕτω πίστις ἄνευ ἀγάπης, οὐκ ἐνεργεῖ εἰς τὴν ψυχὴν, τὸν τῆς γνώσεως φωτισμὸν. Ἀγάπην δὲ εὑρεθῆναι ἐλπίδος δίχα, ἀδύνατον. Ὅθεν οἱ Πατέρες οἱ Ἅγιοι λέγουσιν, ἕν ἐστι μόνιμον, ἡ πρὸς Θεὸν ἐλπὶς, τὰ δ' ἄλλα πάντα οὐκ ἐστὶ τῇ φύσει, ἀλλὰ νομίζεται. Καὶ ὁ τῇ δυνάμει τῆς πίστεως τὴν καρδίαν ἐρειδισμένος, ἄνευ τῶν ἔργων, οὐδὲν ἔχει. Καὶ ὅτε οὐδὲν ἔχει, τῇ πίστει πάντα κατέχει. δύναμις δὲ πίστεως τὰ ἔργα εἰσὶν. ὁ δὲ τῆς ἀγάπης ἐστερημένος, αὐτῷ ἐστέρηται τῷ Θεῷ. Ἓ ἐφίεσθαι διὰ τῶν τοιούτων, καὶ τὴν ἐλπίδα δεῖ ἔχειν. ἂν γὰρ ἢ ἑαυτὸν ἐρωτήσῃς, ἢ ἄλλον Χριστιανὸν ἀληθῆ, ἐν τίνι ἔχουσιν οἱ σῳζόμενο τὴν ἐλπίδα τῆς σωτηρίας, πάντως εἴπῃ, εἰς τὸ ἔλεος τῷ Θεῷ μόνον ἐλπίζομεν. Τοῦτο δ' ἐστὶν ἡ τῷ Θεῷ ἀνεξικακία. ἂν γὰρ πρὸς ἡμᾶς μὴ ἀνεξικακήσῃ, οὐδεὶς ὁ σωζόμενος, ἐπεὶ ἀνθρώπων οὐδεὶς ἀναμάρτητος. οὐδ' ἂν μία ἡμέρα ἦ ὁ βίος αὐτῷ ἐπὶ τῆς γῆς. εἰ δὲ εἰς τὴν τῷ Θεῷ ἀνεξικακίαν ἔχομεν τὴν ἐλπίδα τῆς σωτηρίας, αὐτὴ δὲ, τοῖς ἀνεξικάκοις δίδοται μόνοις, καὶ οὐδενὶ μνησικάκῳ, καὶ ὦμεν, ὡς δυνατὸν, ἀνεξίκακοι, ἀφέντες τὰ ἄλλοις ἐπλαισμένα εἰς ἡμᾶς εὐλαβῶς, καὶ ὁ Πατὴρ ὁ Οὐράνιος οὐ μόνον συγχωρήσει ἡμῖν, ἀλλὰ καὶ ζωὴν τὴν αἰώνιον χαρίσεται ἐν Χριστῷ.

dum est, præter Deum, sic nec in quoquam alio reponenda spes, præterquam in solo cunctorum curatore Deo. Sicut execrabilis est, qui spem habet in homine: sic felix, qui in Deo nititur. Et quemadmodum meminisse ignis, non calefacit corpus: ita fides absque charitate non imprimit in animam cognitionis illuminationem. Nec, vt sine spe reperiatur charitas, vllo pacto fieri potest. Vnde sancti Patres dicere solent: Vnum est stabile, spes in Deum, cætera omnia, non sunt natura, sed opinione & instituto. Et, qui potentia fidei habet cor suffultum, absque factis, nihil habet: & quando nihil habet, fide omnia possidet. Sed potentia fidei, in operibus consistit. Qui autem charitate privatus est, ipso privatus est Deo: quem expeti per talia, & spem in eo haberi, oportet. Si enim vel teipsum interroges, vel alium Christianum verum: in quonam habeant, qui conservantur, spem salutis? procul dubio dixerit: nos in sola misericordia Dei spem positam habere. Ea autem, est in Deo peccatorum nostrorum tolerantia. Hac enim, nisi erga nos vtatur, nemo salvus erit, quia nemo peccati expers: ne si vno quidem tantum die vitæ ejus spatium definiatur. Quod si in Dei patientia nobis spes salutis sita est: ea autem, offensionum tolerantibus datur solis, nemini vero injuriarum memoriam retinenti: si nos fuerimus, quoad in hominem cadere potest, erga alios, pia offensarum condonatione, lenes: etiam Pater cœlestis nobis, non tantum nostra peccata remittet: sed insuper vitam æternam donabit propter Christum.

Ὅπου δὲ ἡ εὐλάβεια τῶν Θείων, καὶ ἡ ὑπακοὴ τῶν λόγων τῶν Ἁγίων Πατέρων ἀπολείπεται, ἤ, τε ἀληθὴς πίστις ἡ διὰ τῶν ἀγαθῶν ἔργων δεικνυομένη, ἐκεῖ οὐδὲν ἀγαθὸν δύναται ἐποικοδομηθῆναι. καὶ ἄλλος, πῶς ἂν εἴημεν τῶν μακαρισμῶν ἄξιοι τῶν ἐπὶ τῇ πίστει ὁραάτων ἀποκειμένων, εἰ μόνοις τοῖς κατὰ τὸν λογισμὸν ἐναργέσι πειθόμενοι; πόθεν ἐμωραιώθησαν τὰ ἔθνη καὶ ἐσκοτίθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, ἐκ ἐπειδὴ τοῖς ἐκ τῶν λογισμῶν φαινομένοις παρηκολεθηκότες, καὶ τῷ κηρύγματι τῆς πίστεως ἠπειθησαν; τίνας Ἡσαίας ὡς ἀπολωλότας ὀδύρεται, ἀὴ οἱ σοφοὶ παρ' ἑαυτοῖς λέγοντες, καὶ ἐνώπιον αὐτῶν ἐπιζήμονες; ἡ γὰρ Θεότης, ὡς Ἀθανασίῳ τῷ πάνυ δοκεῖ, ἐκ ἐν ἀποδείξει λόγων παραδίδοται, ἀλλ' ἐν πίστει καὶ εὐσεβείας λογισμῷ, μετὰ εὐλαβείας. εἰ γὰρ καὶ τὰ περὶ τὸ σωτηριώδες σαυρὸς, ἐκ ἐν σοφίᾳ λόγε, ἀλλ' ἐν πειθοῖ Πνεύματος καὶ δυνάμεως ἐκήρυττεν ὁ Παῦλος. Καὶ ἔτως ἀῤῥήτων δυνάμεων ἤκεσεν ἐν τῷ παραδείσῳ, ἃ μὴ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, πῶς αὐτῆς τῆς Ἁγίας Τριάδος τὴν ἀλήθειαν πιστεύσει λόγῳ, ὁ μὴ πιστεύσας καλῶς; Ὁρᾶτε, πῶς ἀποβάλλονται πάντες οἱ Διδάσκαλοι, τὰς περιέργας συλλογισμὰς, καὶ πόῤῥω πε πάντας ῥίπτεσι τῆς Θείας αὐλῆς; πᾶς γὰρ ὁ ἀπολέσας ὃ πρότερον εἶχεν, ἐκεῖνος ζητεῖ. Ὁ δὲ μηδὲν ἀπολέσας, ἀλλ' ὁλόκληρον ἔχων, ὃ ἀρχῆθεν ἐκτήσατο, ποσῶς ἃ ζητεῖ. μόνον δὲ τηρεῖ καλῶς τὸ κτηθέν. Ἡμεῖς ἓν τηρεῖν τὴν πίστιν, ἐχὶ πολυπραγμονεῖν μεμαθήκαμεν. Ἡμεῖς τῇ τὲ Ἁγίε Πνεύμα-

Vbi vero reverentia divini numinis, & obedientia erga salutaria sanctorum Patrum monita, veraque laudabilibus factis comprobata fides, excluduntur: ibi nihil boni superstrui potest. Quomodo etiam beatis illis donis & prædicationibus, quæ fidei, occulto quodam & invisibili modo, reposita sunt, digni essemus: si solum his, quæ rationi & cogitationi apparent, obsequeremur? Vndenam ad vanitatem reciderunt gentes: & obtenebratum fuit insipiens eorum cor: cumque se sapientes dicerent, stulti facti sunt? An non inde, quod sequentes judicium rationis suæ, prædicationi fidei non obtemperarunt? Quos alios Esaias, vt perditos, deplorat, cum dicit: Væ illis, qui sibi videntur sapientes, & judicio suo scientes? Divinitas enim (sicut Athanasio illi summo videtur) non demonstratione, & ratiocinatione traditur, sed fide, & pietatis meditatione, cum reverentia. Nam si de salutari cruce Paulus, non sapientia orationis, sed persuasione Spiritus, & facultatis cujusdam superioris, concionabatur: & ita, nescio quæ magna & angusta, quæ fas homini non est dicere, in Paradiso audivit: quomodo ad credendum veram de S. Trinitate doctrinam, ratione & verbis adducatur is, qui non simpliciter bene credit? Videtis, quomodo rejiciant omnes pii Doctores, exquisite excogitatos Syllogismos, longeque extra divinam aulam eliminent? Quisquis enim perdidit, quod antea habebat: is quærit. Qui vero nihil perdidit, sed integrum habet, quod initio possedit: nullo modo quærit, sed tantum diligenter custodit. Nos igitur retinere fidem, non curiose indagare, didicimus: nos sancti Spiritus

Πνεύματος χάριτι, οὐδὲν ἀπωλέσαμεν, οὐδὲ ζητοῦμεν· ἡ τῆς πίστεως ζήτησις ἀναιρετική. Ὡς γὰρ ὁ πιστεύων οὐ ζητεῖ, οὕτως οὐδὲ ὁ ζητῶν πιστεύει. ὁ ζητῶν ἔτι, οὐδὲ πω εὗρεν, οὐδὲ πεπίστευκεν ἀληθῶς καὶ ἀμεταπλώτως, ἢ ἔδει. Ἔνθα ζήτησις, πίστις οὐκ ἔστιν, ἔνθα δὲ πίστις, οὐ χρεία ζητήσεως, ἀλλὰ καρπῶν τῶν ἐκ πίστεως, ἃ εἰσι τὰ ἀγαθὰ ἔργα. Ὁ μὲν γὰρ λόγοις πειθόμενος, καὶ μεταπειθῆναι δύναται. ὁ δὲ πίστει βεβαιούμενος, ἀπετείχισεν ἑαυτὸν καὶ ἐκύρωσεν. Λοιπὸν τὴν ἀκοὴν, τοῖς λυμαινομένοις λόγοις, καὶ τὰ ἐν τῇ πίστει ζητούμενα, οὐ πρὸς τὰς κοινὰς ἐννοίας ἀναφέροντες ζητοῦμεν, εἰ ταύταις συμφωνεῖ. Ἀλλ' εἴπερ μόνον τοῖς ὁμολογουμένοις τοῖς Ἐκκλησίας Δόγμασιν ὁμόφωνα δείξαιμεν ταῦτα, κἂν πάντα συμβῇ ἀναιρεῖσθαι τὰ κατὰ φιλοσοφίαν δόγματα. Ἐπεὶ ἔτε διὰ σοφίας λόγων πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, ἔτε τὸ τῆς Τριάδος Μυστήριον, ἐκεῖθεν ποσῶς ἐμυήθημεν, ἔτε μὴν ἄλλό τι δόγμα τῶν τῆς πίστεως δογμάτων παρ' αὐτῆς μεμαθήκαμεν. Ὅτι Φιλοσοφίας μὲν ὕλη, ὡς καλῶς οἶδατε, τὰ ὄντα. Θεολογίας δὲ τέλος, ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων Δημιουργός. Χρὴ ἓν, ἔτε τὴν πίστιν νομίζειν τέχνην, μήτε τὰ δοκιμαθέντα τοῖς Θεολόγοις, τεχνολογεῖν, ἀλλ' ἐμμένειν εἰς ὅσα οἱ Πνευματοφόροι ἐσαφήνισαν. ἂν γὰρ τοῖς ἰδίοις θαῤῥήσωμεν λογισμοῖς, εἰς χάος ἐκκυλισθῆναι κινδυνεύσομεν τῷ Ἀναξαγόρᾳ ἐκείνῳ, ὃ μὴ γένοιτο, Χριστὲ Βασιλεῦ.

Πρὸς τούτοις καὶ ὁ Θεῖος Χρυσόστομος ἐξηγούμενος τὴν ἑξαήμερον, ἐν τετάρτῳ λόγῳ, δεικνύων τὰ ἔργα ὡς ἀναγκαῖα, φησιν.

ritus beneficio nihil amiſimus, nec quærimus. Fidei inquiſitio vim ejus auferendæ habet. Nam ſicut, qui credit, non quærit: ita nec, qui quærit, credit. Qui adhuc quærit, nondum invenit: nec credit vere & conſtanter, ſicut oportebat. Vbi inquiſitio, ibi fides non eſt: vbi fides, ibi inquiſitione nihil opus eſt, ſed fidei fructibus, qui ſunt bona opera. Qui enim rationibus perſuadetur: idem rationibus, a priore ſententia ad aliam depelli poteſt. Qui vero fide nititur: ſe velut muro ad ſtabilitatem communivit. Proinde aures adverſus nocentia verba obſtruit. Ac, quæ de fide exquiruntur: non ad communes & innatas notitias, in quærendo referimus, num his illa conſonent: aut certe has, claræ & indubitatæ doctrinæ Eccleſiæ conſentire monſtramus: etiamſi omnia Philoſophiæ decreta corruere accideret. Neque enim ſapientia rationum, ad veritatem deducti ſumus: nec Triadis myſterio, vllo pacto ex illa initiati fuimus: nec etiam vllum aliud Fidei dogma ab ipſa didicimus. Bene enim ſcitis, Philoſophiæ ſubjectum eſſe Entia: Theologiæ vero finem illum, qui eſt ſupra omnia Entia, a quo vniverſa condita ſunt. Quocirca nec Fides, putanda eſt ars: nec, quæ Theologis exquiſita & probata ſunt, rationibus & præceptis artis ſubjicienda: ſed in his permanendum, quæ a Spiritus ſancti oratoribus prodita ſunt. Si enim noſtri cerebri rationibus innixi fuerimus, periculum eſt, ne in chaos illius Anaxagoræ devolvamur: quod tu Chriſte Rex prohibeas.

Inſuper D. Chryſoſtomus, commentarii in Hexaëmeron oratione quarta, opera neceſſaria his verbis oſtendit. Quamob-

φησιν. Διὸ παρακαλῶ, μὴ γενώμεθα ῥάθυμοι περὶ τὴν τήρησιν τῶν ἐντολῶν. ἀλλὰ δαμάσωμεν ἡμῶν τὸν λογισμὸν. Καὶ πρῶτον μὲν παιδεύσωμεν νικᾶν τὸν πλησίον τῇ ἀγάπῃ, καὶ κατὰ τὸν μακάριον Παῦλον, τῇ τιμῇ ἀλλήλους προηγέμενοι. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα συνέχει καὶ συγκρατεῖ τὴν ζωὴν τὴν ἡμετέραν. Καὶ τούτῳ, τῶν ἀλόγων καὶ τῶν θηρίων διεστήκαμεν, τῷ δύνασθαι, εἰ βουληθείημεν, τὴν προστήκουσαν ἡμῖν τάξιν διατηρεῖν, καὶ πολλὴν τὴν περὶ τοὺς πλησίους ὁμόνοιαν ἐπιδείκνυσθαι. καὶ ἄγχειν τὸν λογισμόν. Τὸ ἀτίθασσον τοῦτο θηρίον, τὸν θυμὸν λέγω, καταξαίνειν. καὶ τὸν ἀγῶνα αὐτῷ τῷ φοβερῷ κριτηρίῳ ἐπιστᾶν πάντοτε. Οὐδὲ γὰρ ἁπλῶς καὶ εἰκῇ δαπανᾶν ἡμᾶς τὸν χρόνον προσῆκεν, ἀλλὰ καθεκάστην ἡμέραν καὶ ὥραν πρὸ ὀφθαλμῶν λαμβάνειν τὸ τῦ Κυρίυ κριτήριον. Καὶ τίνα μέν ἐστι τὰ πολλὴν παῤῥησίαν προξενεῖν δυνάμενα, τίνα δὲ τὰ τὴν κόλασιν ἐπιτείνοντα. καὶ ἕτω ταῦτα φρέφοντες ἐν τοῖς ἡμετέροις λογισμοῖς, περιγινώμεθα τῶν παθῶν. Καταστέλλωμεν ἡμῶν τὰ τῆς σαρκὸς κινήματα. Καὶ νεκρώσωμεν ἡμῶν, κατὰ τὸν μακάριον Παῦλον, τὰ μέλη, τὰ ἐπὶ τῆς γῆς, ἵνα δυνησώμεθα τὸν καρπὸν τῦ Πνεύματος δέξασθαι, Ὅς ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, καὶ τὰ ἑξῆς. Ἀδάμαντος γὰρ ἡμᾶς φερροτέρυς ἡ τῦ Θεῦ χάρις κατεσκεύασε, καὶ πάντη ἀναλώτυς, ἐὰν βουλώμεθα. Αὕτη τῇ Χριστιανῇ πρὸς τὸν ἄπιστον ἔστω διαφορὰ, καρποφορεῖν τὰ τῦ Πνεύματος βουλόμενον. μὴ τῇ προσηγορίᾳ μόνον ἐγκαλωπιζώμεθα. μὴ δὲ τῷ σχήματι μέγα φρονῶμεν. ἀλλὰ καὶ εἰ ταῦτα κτησαίμεθα, μὴ

rem ne simus, obsecro, negligentes in observatione præceptorum: sed cogitationem nostram domemus. Primum assuefaciamus ad vincendum proximum charitate: & ex sententia D. Pauli, honore inter nos alii alios præveniamus. Hoc enim vinculum est: quod maxime conjunctam tenet vitam nostram. Hoc differimus a beluis, & natura rationis experte: quod possumus, modo velimus, ordinem nobis assignatum & convenientem tueri: ac magnam cum proximis concordiam colere: freno coërcere cogitationis impetum: immansuetam beluam, iram scilicet, demulsam tenere: semperque certamen ei, & periculum, horrendi illius tribunalis, ante oculos statuere. Neque enim frustra & inutiliter tempus nobis consumendum est: sed quotidie, imo singulis horis, ante oculos ponendum, Domini judicium: & quæ sint illa, quæ magnam nobis fiduciam afferre possint: quæ contra, quibus supplicium intendatur. Hujusmodi rerum assidua cogitatione vincamus affectus; comprimamus carnis nostræ incitationes; mortificemus, vt beatus Paulus jubet, membra nostra terrestria; vt fructum Spiritus percipere possimus, qui est charitas, gaudium, pax, & quæ sequuntur. Nam adamante duriores nos Dei gratia fecit, vt nulla ex parte consumi possimus, modo velimus. Hoc discrimen esto, quo Christianus differat ab infideli: si fructus Spiritus ferre velit. Ne, quæso, titulo solum hoc nos ostentemus, nec habitu externo gloriemur: sed his, quando etiam habebimus, ne altum sapiamus; verum potius nos humilitate contrahamus. Etiamsi enim omnia feceritis, (inquit)

dici-

μὴ μέγα φρονήσωμεν, ἀλλὰ τότε μᾶλλον ἑαυτὸς συσείλωμεν. Ὅταν γάρ, φησι, πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. Ἐὰν οὖν μεμεριμνημένοι τυγχάνωμεν, καὶ τῆς ἑαυτῶν σωτηρίας φροντίζωμεν, δυνησόμεθα καὶ ἑαυτοὺς ὠφελεῖν, καὶ τῆς μελλούσης κολάσεως ἐξαρπάζειν τοὺς Διδασκάλους χρωμένους ἡμᾶς. ἵνα μετὰ ἀκριβείας τὸν παρόντα διανύσαντες βίον, καταξιωθῶμεν τῆς ἐν τῷ μέλλοντι αἰῶνι φιλανθρωπίας. Οὐδὲ γὰρ οἷόν τε λοιπὸν εὑρεῖν τινα παραμυθίαν ἐκεῖ, τὸν μὴ ἐν τῷ παρόντι βίῳ ἀπονιψάμενον τὰ ἡμαρτημένα. Ἐν γὰρ τῷ ἅδῃ, (φησι,) τίς ἐξομολογήσεταί σοι; καὶ εἰκότως. Οὗτος γάρ ἐστιν ὁ τῶν καμάτων καιρὸς, καὶ τῶν ἀγώνων, καὶ τῶν παλαισμάτων. ἐκεῖνος δὲ τῶν στεφάνων, καὶ τῶν ἀμοιβῶν, καὶ τῶν βραβείων. Ἀγωνισώμεθα τοίνυν, ὡς ἔτι ἐν τῷ σταδίῳ διάγομεν. ἵνα ἐν τῷ καιρῷ, καθ' ὃν δεῖ τὸν στέφανον κομίσασθαι, καὶ τῶν καμάτων τὰς ἀμοιβὰς, μετὰ παῤῥησίας δεξώμεθα. Ταῦτα ἐχ ἁπλῶς λέγεται, ἀλλὰ βουλόμεθα καθ' ἑκάστην ἡμέραν εἰς ὑπόμνησιν ὑμᾶς ἄγειν τῆς τελειώσεως τῶν ἀγαθῶν πράξεων. ἵνα τέλειοι καὶ ἀπηρτισμένοι τυγχάνοντες, καὶ κατὰ τὴν τῆς πολιτείας ἀρετὴν διαλάμποντες, γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ ἀμώμητα. καὶ φανήσησθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἡμέτερον, εἰς ἡμέραν Χριστοῦ. ἵνα καὶ μόνον φαινόμενοι, ὠφελῆτε τοὺς ὑμῖν συγγινομένους, καὶ τῆς προσούσης ὑμῖν εὐωδίας τῆς Πνευματικῆς, καὶ τῆς ἀρίστης πολιτείας μεταλαμβάνωσιν, οἱ κοινωνοῦντες ὑμῖν τῆς διαλέξεως. Ὥσπερ γὰρ ἡ τῶν φαύλων συνουσία, καταβλάπτειν εἴωθε τοὺς ἀναμιγνυμένους, καθάπερ καὶ ὁ μακάριος Παῦλός φησι, φθείρουσιν

dicite, vos inutiles ſervos eſſe. Si hanc cogitationem ſuſceperimus, noſtræque ſalutis rationem habuerimus: poterimus & nobis ipſis prodeſſe, & a futuro ſupplicio eripere illos, qui nobis Doctoribus vtuntur, vt vitæ præſentis curriculo, accurate & bene decurſo, digni fiamus futuri ævi humanitate & beneficentia. Nequaquam enim fieri poteſt, vt poſthac aliquod ſolatium inveniat illic, qui non in hac vita expiaverit peccata. Nam in inferno (inquit) quis confitebitur tibi, aut gratus te prædicabit? Et vere. Nunc enim eſt occaſio laborandi, certandi, luctandi: illic vero, coronas, præmia, remunerationem, accipiendi. Certemus igitur, dum adhuc in ſtadio verſamur: vt tum, quando corona dabitur, & gratia pro laboribus referetur, læta fronte accipiamus. Hæc non obiter dicuntur: ſed quotidie vos, rectarum & laudabilium actionum, vt eas præſtetis, commonefactos volumus, vt perfecti facti, & omnibus numeris abſoluti, & vitæ actæ virtute ſplendentes, fiatis irreprehenſibiles & ſinceri, proles Dei immaculata, conſpiciaminique ceu luminaria in mundo, rationem vitæ obtinentes, ad gloriationem veſtram, in diem Domini: vt vel ſolo conſpectu veſtro juvetis eos, qui vos accedunt: & de ſuavi odore veſtro ſpirituali, optimaque vivendi forma, aliquid attrahant, qui veſtra collocutione vtuntur. Vt enim improborum commercium, nocere ſolet accedentibus: (ſicut Paulus ait: *Mores bonos colloquia corrumpunt mala.*)

σιν ἤδη χρηστὰ ὁμιλίαι κακαί. ἔτω καὶ ἡ τῶν ἀγαθῶν συνεσία τὰ μέγιστα ὀνίνησι τὲς πλησιάζοντας. Διὰ τᾶτο ἡ ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης συνεχώρησεν ἀναμεμίχθαι τὲς ἀγαθὲς τοῖς πονηροῖς. ἵνα κερδαίνωσί τι ἐκ τῆς συνεσίας, καὶ μὴ ἐναπομένωσι διηνεκῶς τῇ πονηρίᾳ. ἀλλὰ συνεχῆ ὑπόμνησιν ἔχοντες τὴν ἐκείνων θέαν, καρπώσωνταί τι πλέον, ἐκ τῆς τέτων συνεσίας. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχὺς, ὡς καὶ τὲς μετιόντας αὐτὴν, σφόδρα αὐτὴν αἰδεῖσθαι, καὶ πολὺν τὸν ὑπὲρ αὐτῆς ἔπαινον διεξιέναι. Ὡς καὶ ἡ κακία. ταῦτα τὰ τῆς ἀρετῆς φροντίσωμεν, ἵνα μὴ τῷ χρόνῳ παρατρέχοντος, λάθωμεν ἑαυτὲς ζημιῶντες. ὃ μὴ γένοιτο.

Ὁρᾶτε ὡς ἔργων χρεία, καὶ τέτων ἐναγωνίων, καὶ ἀρίστων, ἀλλὰ τῶν μὲν περὶ τέτων λόγων, ἄλις. Ἀκέσωμεν δὲ, τὰ περὶ τῶν Μυστηρίων.

Ita & bonorum familiaritas, maximas vtilitates vtentibus affert. Hæc etiam causa est: quod humanissimus noster Dominus permisit admisceri bonos malis; vt ex illorum conversatione aliquid boni accipiant hi, nec perpetuo in malitia maneant: sed continenter illorum intuitu commonefacti, aliquid ex eorum consuetudine proficiant. Ea namque virtutis vis est: vt ii, qui ejus studio tenentur, vehementer ipsam revereantur, & multis verbis laudes ejus percenseant. Sic & vitium se habet. Quapropter virtuti studeamus: ne, tempore frustra elapso, imprudentes nobis damna accersamus, quod absit.

Videtis nunc, vt arbitramur, satis: factis opus esse, iisque in certamine & sudore versantibus, & ad laudem optimis. Transeamus itaque ad explicationem Sacramentorum.

ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ.

Πρὸς τὸ τέταρτον, καθόλε περὶ τῶν Ἱερῶν Μυστηρίων τῆς Ἐκκλησίας, καὶ ἐν μέρει, διαληψόμεθα, διδόντος Θεῦ, ἵνα καὶ ὁ περὶ τέτων λόγος εἴη σαφὴς ὑμῖν.

Ὅτι μὲν ἓν συνίσταταί ἡ ἐν Χριστῷ ζωὴ διὰ τέτων πιστεύεται, καὶ ὅτι τὰς ἀρχὰς ἐκ τέτων λαμβάνει, τελειῶται δὲ ἐπὶ τῷ μέλλοντος, ἐπειδὰν εἰς ἐκείνην ἀφικώμεθα τὴν ἡμέραν, ὅπε τὸ σαρκίον ἐκ ἐπισκοτεῖ, δι' ὃ καὶ Παῦλος, ἐπιθυμῶ ἀναλῦσαι καὶ συνεῖναι Χριστῷ, τὴν τελείαν εὐδαιμονίαν, καὶ τὸ ἄκρον τῶν ἐφετῶν ἐφιέμενος, εἰδὼς

DE SACRAMENTIS.

Quarto capite hoc generatim de sacris mysteriis, seu Sacramentis, & particulatim, auxilio Dei explicabimus: vt hæc doctrina, perspicua vobis sit.

Quin igitur vita, quam in Christo vivimus, in his consistat, & principia ex his capiat: perficiatur autem in futuro seculo, postquam ad illum pervenerimus diem, vbi corporis moles & malitia non tenebras obtendit, (unde & Paulus, cupio ex hospitio, inquit discedere, & cum Christo esse: perfectam scilicet felicitatem, & summam expetendorum, appetens) nul-

ἀδεὶς Χριστιανῶν ἀντερεῖ. Ποίῳ δὲ τρόπῳ ἡ μύησις τέτων, οἷς ἐν Χριστῷ ζῶμεν καὶ κινέμεθα καὶ ἐσμὲν, ὡς ἡ Ἐκκλησία τῶν εὐσεβῶν παρέδωκε, λέξομεν ἐν συντόμῳ.

ά.) Τὸ Βάπτισμα τοίνυν τὸ εἶναι δίδωσι, καὶ ὅλως ὑποστῆναι κατὰ Χριστὸν. Τέτο γὰρ νεκρὸς τῇ ἁμαρτίᾳ καὶ διεφθαρμένος παραλαβὸν, εἰς τὴν ζωὴν εἰσάγει. Ἀλλὰ καὶ διὰ τέτων τῶν Μυστηρίων, ὥσπερ διά τινων θυρίδων, ἐν τῷ σκοτεινῷ τέτῳ κόσμῳ, ὁ ἥλιος εἰσέρχεται τῆς Δικαιοσύνης, καὶ τὰς ἀξίας φωτίζει. Καὶ ὁ μὴ ἀναγεννηθεὶς δι' ὕδατος, καὶ Πνεύματος, ἐ δύναται εἰσελθεῖν εἰς τὴν ζωήν. Καὶ ἀποθνήσκομεν τὸν θάνατον ἐκεῖνε, ἵνα καὶ τὴν ἀνάστασιν ἀναστῶμεν, καὶ τῆς Βασιλείας κληρονόμοι γενώμεθα. Τρισσῶς ἐσεφανωμένοι, τῆς Τριάδος ἐπαδομένης. τρισὶ καταδύσεσιν, ἀλλὰ μὴ ἐπιχύσει τρισσῇ χρώμενοι. Ἐβάπτιζον γὰρ οἱ πάλαι, ἐ χερσὶν οἰκείαις τὸ ὕδωρ ἐπιῤῥαντίζοντες τοῖς βαπτιζομένοις, ἀλλὰ διὰ τριῶν καταδύσεων, τοῖς Θείοις Εὐαγγελίοις ἑπόμενοι. Ἀνέβη γάρ, φησιν, ἀπὸ τὲ ὕδατος. Δῆλον δὲ, ὅτι κατέβη, ἐπεὶ ἀνέβη. Ἰδὲ ἓν κατάδυσις, καὶ ἐ ῥαντισμός. Ἀλλὰ καὶ ὁ σοφὸς Ἰωάννης ὁ Ζωναρᾶς ἐξηγέμενος τὸν Ἀποστολικὸν γ'. κανόνα, φάσκοντα. Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, μὴ τρία βαπτίσματα μιᾶς μυήσεως ἐπιτελέσῃ. λέγει, τρία βαπτίσματα, τὰς τρεῖς καταδύσεις φησιν ὁ κανών.

β'.) Τὸ Χρίσμα δὲ, χριόμεθα, ἵνα τὲ χρίσματος τὲ Βασιλικὲ τῆς θεώσεως γενώμεθα κοινωνοὶ. λέγεσι δὲ περὶ τὲ Χρίσματος, ἐ μόνον Διονύσιος ὁ Ἀρεοπαγίτης εἰς πλάτος, (ἀνὴρ ἀξιοπιστό-

nullus Christianorum ignorat. Quis autem sit ritus initiationis horum: quibus in Christo viuimus, movemur, & sumus: ex traditione Ecclesiæ piorum breviter commemorabimus.

I.) Baptismatis igitur beneficio fit, vt simus, omninoque secundum Christum subsistentiam habeamus. Illud enim nos, peccato mortuos & corruptos accipiens, ad vitam introducit. Sed & per hujus mysteria, tanquam per quasdam feneſtras in tenebricoso hoc mundo, sol ingreditur justitiæ, & dignos illuminat. Certe, qui non regeneratus est aqua & Spiritu: non potest in vitam ingredi. Et morimur mortem illius: ut pari resurrectione resurgamus, & Regni hæredes fiamus. Tripliciter coronati, quando Trinitas accinitur: tribus immersionibus, non trina infusione, utentes. Baptizabant enim veteres, non manibus suis aquam Baptizandis aspergentes, sed trina immersione, hoc Evangelii sequentes: Ascendit ex aqua. Ergo ante descenderat. Ecce immersio, non aspersio. Sed & sapiens ille Ioannes Zonaras, in enarratione Apostolici 3. Canonis, qui est: Si quis Episcopus, aut Presbyter, non tria baptismata vnius initiationis peregerit, inquit: Tria baptismata, tres immersiones vocat canon.

II.) Chrismate inungimur, ut Chrismatis Regii, Deificationis fiamus participes. Loquuntur autem de Chrismate non tantum Dionysius Areopagita prolixe, (vir

πιστότατος, ἧ μνήμη ἐν ταῖς πράξεσι φέρεται, ἐν κεφ. ιζ'. λέγοντι, τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς ἦν καὶ Διονύσιος ὁ ἀρεοπαγίτης, ὃς Παύλῳ τῷ μακαρίῳ ἐγένετο μαθητὴς, καὶ ἱεράρχης Ἀθηνῶν, καὶ περὶ ἧ πολλὰ ἐγκώμια ἡ Ἐκκλησία γράφει, ἀλλὰ καὶ Συμεὼν ὁ μεταφραστὴς, ἀνὴρ ἐλλογιμώτατος καὶ πιστὸς, βίβς Ἁγίων συγγράφων καὶ μαρτύρια, γράφει, ἧ τὸ μαρτύριον πέμπομεν μεταγράψαντες ἰδίως,) ἀλλὰ καὶ αἱ Ἁγιαι Σύνοδοι. Ὁ γὰρ τῆς ἐν Λαοδικείᾳ μζ. φησιν. ὅτι τὲς φωτιζομένες, μετὰ τὸ βάπτισμα, χρίεσθαι χρίσματι ἐπερανίῳ, καὶ μετόχες γίνεσθαι τῆς Βασιλείας Θεῦ. Καὶ ἡ ἐν Καρχηδόνι ἐν τρίτῳ μέμνηται, ὡς ἀναγκαίᾳ τῷ χρίσματος, καὶ ἀπαραιτήτε. Ἀλλὰ καὶ ἡ ἕκτη Σύνοδος ἐν κεφ. μέ. ἐπεὶ γὰρ χριτοὶ λέγονται οἱ χριτιανοὶ, ὡς τῷ Ἁγίᾳ Πνεύματος μέτοχοι, διὰ τῆς τῷ Ἁγίᾳ Μύρε χρίσεως, ἐξ ἀνάγκης καὶ χρίσονται τότῳ. Δηλῦται δὲ καὶ ἀπὸ τῶν ἐν τῇ χρίσει λεγομένων, ἡ τῷ ἐντεῦθεν Θείᾳ δώρε τότε μετάληψις. Φησὶ γὰρ ὁ χρίων. Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίᾳ, Ἀμήν. Ἀλλὰ καὶ ὁ χρυσορρήμων, ἐν λόγῳ αὐτῷ, ἐν ᾧ περὶ τῶν τριαδικῶς λεγομένων διαλαμβάνει, φησίν. Κέρας ἦν ἐλαίᾳ καὶ ἁγιασμῦ. ἓν ἦν τὸ χρίσμα, τρία δὲ τὰ δῶρα. ἓν τὸ κέρας, τρία τὰ χρίσματα. Ἔχριον γὰρ Ἱερεῖς, Βασιλεῖς, Προφήτας. τοιῦτος δὲ πᾶς βαπτιθεὶς χριτιανός. Προφήτης, ὡς ἰδὼν ἃ ὀφθαλμὸς ὐκ εἶδε, καὶ ὃς ὐκ ἤκυσεν. Ἱερεὺς, ὡς ὀφείλων ἑαυτὸν προσάγειν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ. Καὶ Βασιλεὺς παθῶν, ὡς Υἱὸς τῦ παμβασιλέως

fide dignissimus, cujus mentio Act. 17. extat, vbi dicitur: Quidam autem viri, associati ei, crediderunt, inter quos & Dionysius Areopagita erat. Hic D. Pauli extitit discipulus, & Pontifex Athenarum: cujus crebræ laudes ab Ecclesia perhibentur, de quo & Symeon metaphrasta, rerum divinarum peritissimus: & fidelis vir, vitarum & martyriorum Sanctorum scriptor, scribit: cujus martyrium mittimus, seorsim descriptum,) sed sanctæ etiam Synodi. Canon enim Laodicensis Synodi 48. ait. Eos, qui baptismo illuminantur, post Baptisma Chrismate cœlesti vngi: & participes fieri Regni Dei. Et Carthaginense concilium, Canone 3. meminit Chrismatis, tanquam necessarii, nec vllo modo prætermittendi. Quin & VI. Synodus, cap. 95. Quia enim Christiani dicuntur Christi, id est, uncti, vtpote Sancti Spiritus participes, per sancti unguenti inunctionem; ex necessitate quoque eo inungentur. Manifesta autem fit vel ex his, quæ inter inungendum dicuntur, verbis, divini ex illo doni perceptio: dicente scilicet Sacerdote: Sigillum donationis Spiritus sancti, amen. Sed & aurei oris Ioannes, in Oratione, in qua de illis, quæ trino modo dicuntur, agit, ait. Cornu erat Olei & sanctificationis. Vnum erat Chrisma, sed tria dona, vnum cornu, tria Chrismata. Vngebantur enim Sacerdotes, Reges, Prophetæ. Talis est omnis Christianus baptizatus Propheta, vt qui viderit, quæ oculus non vidit, & auris non audivit. Sacerdos, vt qui debeat seipsum offerre victimam viventem, sanctam, bene placentem Deo. Et Rex affectuum,

tan-

σιλέως Θεῦ, καὶ τῆς τότε βασιλείας κληρονόμος. Τὸ χρίσμα γὰρ τὴν πρώτην σφραγίδα ἐντίθησιν, ἣν ἐν τῇ ψυχῇ, θεία ἐμπνεύσει ἐλάβομεν· Διὸ καὶ τὴν τοῦ Πνεύματος φέρει δύναμιν καὶ τὴν εὐωδίαν, καὶ σημείωσίς ἐστι τοῦ Χριστοῦ. Ἀνάγνωτε καὶ τῇ παλαιᾷ διαθήκῃ ἐν κεφ. λ'. καὶ ἴδετε, ὅσα ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, προλέγων καὶ τοῦτο προκαταασκευάζων. Ἐξ ὧν ἀφορμῶν, ἐπὶ ῥήματι τούτῳ Θεοῦ, ὁ Θεῖος Διονύσιος ἐρειζόμενος, καὶ αἱ Ἁγίαι Σύνοδοι, καὶ οἱ λοιποὶ τῶν Ἁγίων ἔγραψαν, ὅσα περὶ τούτου ἔγραψαν. μὴ θαυμάζετε δὲ, ὅτι ἐν τοῖς βαπτίσμασιν, οἷς ἐγράψατε, μνείαν οὐ ποιεῖτε χρίσματος. ἡ γὰρ τοῦ Χριστοῦ Ἐκκλησία, τῇ χάριτι αὐτοῦ προκόπτουσα, ἐπὶ Θείοις ῥητοῖς καὶ θεμελείοις, πολλὰ ἐξεῦρε καὶ κατεσκόλισατο. Οὐ γὰρ πάντα Παῦλος γράφει. ἀλλὰ καὶ ὁ μαθητὴς τούτου Διονύσιος. καὶ οἱ μετὰ τούτους πολλοὶ φωστῆρες τῆς Ἐκκλησίας Χριστοῦ ἐν Πνεύματι Ἁγίῳ κινούμενοι. καὶ οὐ δίκαιον ἀπόβλητα νομίζειν. Ἂν γὰρ τὰ κυριώτερα τῶν Μυστηρίων τὸ Βάπτισμα, καὶ ἡ Κοινωνία ἡ Θεία ἐστὶν, καὶ ὧν δίχα σωθῆναι ἀδύνατον, ἀλλὰ καὶ ταῦτα παρέδωκεν ἡ Ἐκκλησία, τὰ λοιπά φημι ἄχρι τῶν ἑπτὰ, ὡς λέξομεν. Περὶ ὧν καὶ ἄλλοι θαυμασίως εἰς πλάτος γράφουσιν, Ἐκκλησιαστικὰς ἐκλιθέμενοι τάξεις, ἀλλὰ καὶ Συμεὼν ὁ Θεσσαλονίκης Ἀρχιεπίσκοπος ἔγραψεν, καὶ περὶ ἄλλων Ἐκκλησιαστικῶν. Οὗ τὸ Βιβλίον ἔχει ὁ σοφὸς ἐκκλησιαστὴς κύριος Στέφανος ὁ γερλάχιος. Ἐνθέν τοι, λαβόμεθα πρῶτον, εἶτα χριόμεθα. Οὕτω δὲ καθαρὸς καὶ εὐώδεις, ἡ τράπεζα δέχεται ἄχρις ἂν μορφωθῇ Χριστὸς ἐν ἡμῖν.

γ'.) Ἡ

tanquam Filius præpotentis omnium Regis Dei, & hujus Regni hæres. Chrismate enim primum sigillum imprimitur, quod in anima, ex divina inspiratione accepimus. Propterea & vim, seu efficaciam, ipsius Spiritus, ac suaueolentiam, gerit, & signatio est Christi. Legite in veteri quoque Testamento, capite 30. & videte, quæ locutus sit Dominus ad Mosen, prædicens, & præconfirmans hoc. Vnde occasione orta, verbo hoc Dei S. Dionysius nixus, & S. Synodi, cæterique sancti, scripserunt illa, quæ de hoc extant. Quod vero in Baptismis, quorum mentionem facitis, Chrismatis mentio non fit, nolite mirari. Ecclesia enim Christi, gratia hujus proficiens, divinis dictis & fundamentis multa adinvenit, ornatu quodam vestiens. Non enim omnia Paulus scribit: sed quædam etiam discipulus ejus Dionysius: & hos insecuti multi Doctores, ceu lumina quædam Ecclesiæ Christi, Spiritus sancti instinctu, quæ rejicienda censere æquum non est. Etiamsi enim cæteris Sacramentis potiora sunt, & sine eis salus nullo modo contingit, baptisma & divina communio: attamen & reliqua, quæ cum his septenarium numerum implent, tradita sunt ab Ecclesia, sicut dicemus. De quibus cum alii, dum Ecclesiasticos ordines exponunt, mirifice & copiose scribunt: tum Symeon Thessalonicæ Archiepiscopus, & de his, & de aliis Ecclesiasticis, quem librum doctus Ecclesiastes, D. Stephanus Gerlachius habet. Ea propter, primo abluimur, deinde ungimur. Tum demum, mundos & bene olentes mensa Domini accipit, donec Christus formetur in nobis.

III.) Di-

γ'.) Ἡ δὲ Θεία Εὐχαριστία, τὸ σῶμα καὶ καὶ αἷμα τοῦ Χριστοῦ, τὴν ζωὴν ταύτην καὶ τὴν ὑγείαν συντηρεῖ καὶ συνέχει. Τὸ γὰρ σῶσαι τὰ κτισθέντα, καὶ διατελέσαι ζῶντας, ὁ τῆς ζωῆς δίδωσιν ἄρτος. καὶ ζῶμεν ἐν τῷ Χριστῷ ἀξίως ἐσθίοντες. ὡς αὐτὸς εἶπεν. ὁ τρώγων μου τὸ τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ, ὁ ἄρτος γὰρ γίνεται σῶμα Χριστοῦ, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ αἷμα Χριστοῦ, ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος μεταποιοῦντος αὐτὰ ὑπὲρ λόγον καὶ ἔννοιαν. καὶ ὁ τῆς προθέσεως ἄρτος, οἶνός τε, καὶ ὕδωρ, διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σῶμα Χριστοῦ καὶ τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό. Οὐκ ἔστι δὲ τύπος ὁ ἄρτος καὶ ὁ οἶνος, τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ. μὴ γένοιτο. ἀλλ' αὐτὸ τὸ σῶμα τοῦ Κυρίου τεθεωμένον. Αὐτοῦ τοῦ Κυρίου εἰπόντος, τοῦτό μου ἐστὶν, ὁ τύπος τοῦ σώματος, ἀλλὰ τὸ σῶμα, καὶ ὁ τύπος τοῦ αἵματος, ἀλλὰ τὸ αἷμα. Καὶ πρὸ τούτου τοῖς Ἰουδαίοις, ὅτι ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις. διὸ μετὰ παντὸς φόβου, καὶ συνειδήσεως καθαρᾶς, καὶ ἀδιστάκτου πίστεως προσέλθωμεν. καὶ πάντως ἔσαι ἡμῖν, καθὼς πιστεύομεν μὴ διστάζοντες. τιμήσωμεν δὲ αὐτὸ πάσῃ καθαρότητι, ψυχικῇ τε καὶ σωματικῇ. Γίνεται γὰρ τοῖς πίστει ἀξίως μεταλαμβάνουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος. τοῖς

III.) Divina autem Euchariſtia, in qua corpus & ſanguis Chriſti eſt, vitam & ſanitatem hanc conſervat & continet. Vt enim ſalva maneant, quæ creata ſunt, & in vita perſeverent, panis ille vitæ facit: & vivimus in Chriſto, dum digne veſcimur, ſicut ipſe ait: Qui comedit meam carnem, & bibit meum ſanguinem, in me manet, & ego in ipſo. Panis enim, fit corpus Chriſti; vinum & aqua, ſanguis Chriſti ſuperventu ſancti Spiritus, ea transmutantis, ſupra hominum rationem & cogitationem. Propoſitionis panis, inquam, & vinum atque aqua invocato & ſupervenient e ſancto Spiritu, ſupra omnem naturæ rationem tranſmutantur in corpus, & ſanguinem Chriſti: nec duo jam ſunt, ſed vnum & idem. Non eſt porro panis & vinum, typus corporis & ſanguinis Chriſti, (abſit) ſed ipſum corpus Domini Deificatum, cum ipſemet Dominus dicat: Hoc eſt meum, quid? non typus corporis, ſed corpus: non typus ſanguinis, ſed ſanguis. Et antea ad Iudæos: Niſi comederitis carnem filii hominis, & bibitis ejus ſanguinem, non habetis vitam in vobis. Caro enim mea, verus eſt cibus: ſanguis meus, verus potus. Quapropter, cum omni reverentia, & conſcientia pura, & fide non dubitante, accedamus: tum certiſſime erit nobis ita, vt credimus non dubitantes. Honoremus vere omni munditia tum animi, tum corporis. Servit enim fide digne ſumentibus, ad remiſſionem peccatorum, ad vitam æternam, ad munimentum ac cuſtodiam animi & corporis, indigne vero ſine

fide

τοῖς δὲ ἐν ἀπιστίᾳ ἀναξίως μετέχουσιν, εἰς κόλασιν αἰώνιον. Εἰ δέ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, ὡς ὁ θεοφόρος ἔφη Βασίλειος, ἃ μετὰ τὸ ἁγιασθῆναι εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι, αὐτὴν τὴν προσφορὰν, οὕτω καλέσαντες. ἀντίτυπα δὲ τῶν μελλόντων λέγομεν, οὐχ ὡς μὴ ὄντα ἀληθῶς σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' ὅτι νῦν μὲν δι' αὐτῶν μετέχομεν τῆς Χριστοῦ θεότητος, τότε δὲ νοητῶς διὰ μόνης τῆς θέας. Προσφέρομεν δὲ οὐκ ἐν ἀζύμοις, ἀλλ' ἐν ἐνζύμοις. ὅ ἐστιν ἄρτος τῇ ἀληθείᾳ. οὕτω γὰρ ἐξηγοῦσιν οἱ Ἀνατολικοὶ Ἅγιοι, καὶ ἀποδεικνύουσιν, ὅ, τε Χρυσόστομος, καὶ οἱ λοιποὶ, ὅτι οὐκ ἄζυμον δεῖ προσφέρειν, ἀλλ' ἔνζυμον. ὁ δὲ περὶ τούτου λόγος πολὺς, καὶ διὰ τὴν μακρηγορίαν νῦν οὐκ ἐπεξεργάζομεν. ὅτε δὲ χρεία, λέξομεν.

δ'.) Ἡ χειροτονία δὲ, τὴν ἐξουσίαν παρέχει, τὴν δύναμιν τοῦ ποιήσαντος, ἣν λαμβάνομεν διὰ τῆς Ἱερωσύνης. καὶ δι' αὐτῆς πᾶσαι ἡμῖν αἱ τελεταὶ ἐνεργοῦνται. καὶ οὐδὲν Ἅγιον χωρὶς Ἱερέως ἐστίν.

ε'.) Ὁ δὲ Γάμος, συγκαταβάσεώς ἐστι δῶρον ὢν θεοῦ, διὰ τὴν παιδοποιΐαν, ἕως τὸ πᾶν τόδε μετὰ τῆς φθορᾶς ἵσταται. Μυστήριον δὲ θεοῦ καὶ τοῦτο. διὸ καὶ εὐλογεῖ τὸν Γάμον αὐτὸς, ὡς ἂν μὴ χωρὶς εὐλογίας, ἡ ἀπαρχὴ τυγχάνῃ τῆς ἡμετέρας ζωῆς.

ϛ') Ἡ μετάνοια δὲ, τὴν ἐπανόρθωσιν ἡμῶν αὖθις ἀπὸ τοῦ πτώματος ἐνεργεῖ διὰ ἐπιστροφῆς, καὶ τοῦ ἐξαγορεῦσαι τὰ πλαίσματα καὶ ἀποσῆναι τῶν κακῶν

fide participantibus, ad ſupplicium æternum. Quod ſi qui vero, panem & vinum nominarunt antitypa (ſigna typum gerentia) corporis & ſanguinis Domini, ſicut ille Deo plenus dixit Baſilius: non poſt conſecrationem, ſed priusquam conſecraretur oblatio, ſic appellarunt. Antitypa autem futurorum nominamus, non quaſi non ſint vere corpus & ſanguis Chriſti, ſed quod nunc quidem per ipſa participes ſimus divinitatis Chriſti: tunc vero, animi intelligentia per ſolam contemplationem. Offerimus porro non azymis, ſed fermentato, quia hoc re vera panis eſt: ſicut interpretantur Orientales ſancti, & demonſtrant, Chryſoſtomus, & reliqui, non infermentatam hoſtiam eſſe offerendam, ſed fermentatam. Prolixa hujus rei probatio eſt, ideoque in præſenti a nobis prætermiſſa. Quando vero opus erit, dicemus.

IV.) Ordinatio, poteſtatem & efficacitatem præbet conditoris, quam accipimus per Sacerdotium. Per illam omnia ſacra a nobis adminiſtrantur, nec absque Sacerdote quicquam ſanctum eſt.

V.) Matrimonium indulgentiæ donum Dei eſt, ad noſtram indigentiam ſe demittentis, ob ſobolem procreandam, quamdiu hic morti & corruptioni obnoxius conſiſtit mundus. Et illud vero myſterium eſt: ideoque conjugio bene precatur ipſe, & fortunat, ut ne benedictione careant primordia vitæ noſtræ.

VI.) Pœnitentia vero, vt a lapſu rurſus erigamur, & vitam emendemus, converſione efficit, & confeſſione peccatorum, & a malis diſceſſu. Hoc, magnum

κῶν. τοῦτο μέγα δῶρον τοῖς μετὰ τὸ βάπτισμα ἁμαρτῶσιν. ἐν ᾗ δὴ μετανοίᾳ, καὶ τὸ τῶν Μοναχῶν ἐστι χῆμα.

ζ'.) Ἅγιον ἔλαιον δὲ παραδέδοται καὶ τοῦτο ὡς Ἱερὰ τελετή, καὶ Θείᾳ τύπος ἐλέους. εἰς ἀπολύτρωσιν καὶ ἁγιασμὸν τοῖς ἀπὸ ἁμαρτίας ἐπιστρέφουσι χορηγέμενον. διὸ καὶ λύσιν παρέχει ἁμαρτιῶν, καὶ ἐξ ἀῤῥωστημάτων ἐγείρει. καὶ περὶ τούτου μαρτύρεται Ἰάκωβος ὁ Ἀδελφόθεος, ἐν τῷ ε'. κεφ. λέγων. ἀσθενεῖ τὶς ἐν ὑμῖν: προσκαλεσάσθω τοὺς Πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου. καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος. κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. ἐν τούτῳ δὲ καὶ περὶ Ἐξομολογήσεως λέγει, καὶ εὐχῆς καὶ δεήσεως δικαίων.

Ταῦτα δὲ πάντα τὰ Μυστήρια, καὶ ὁ Χριστὸς παρέδωκε, καὶ οἱ Θεῖοι αὐτοῦ Μαθηταί. Διπλῶν γὰρ ὄντων ἡμῶν ἐκ ψυχῆς καὶ σώματος, διπλῶς καὶ ταῦτα ἡμῖν παρέχετο, ὡς καὶ αὐτὸς θεάνθρωπος. ὡς ἂν τῇ μὲν χάριτι τοῦ Πνεύματος νοητῶς ἡμῶν τὰς ψυχὰς ἁγιάζῃ, τοῖς αἰσθητοῖς δὲ, ὕδατί τε καὶ ἐλαίῳ, καὶ ἄρτῳ καὶ ποτηρίῳ, καὶ τοῖς λοιποῖς, ἁγιαζομένοις τῷ Πνεύματι, καθαγιάζῃ ἡμῶν καὶ τὰ σώματα, καὶ ὁλοτελῆ παρέχῃ τὴν σωτηρίαν.

Καὶ ταῦτα μὲν ἐν συντόμῳ περὶ τῶν ἑπτὰ τῆς Ἐκκλησίας Μυστηρίων, λέγομεν καὶ εὐσεβῶς διακατέχομεν. καιρὸς δὲ λοιπὸν καὶ περὶ ἐπικλήσεως εἰπεῖν κατὰ τὸ ἀκόλουθον.

donum, præclarumque beneficium his est, qui post Baptisma peccarunt. In quo pœnitentiæ mysterio, etiam monasticæ vitæ ordo continetur.

VII.) Sacrum quoque oleum, inter Sacramenta traditum est, ut divinæ misericordiæ signum: quod redemptionis & sanctificationis causa, homini se a delictis & peccatis convertenti, impertitur. Ideo etiam remissionem affert peccatorum, & ex infirmitatibus corporis erigit. De eo Iacobus, Domini frater, cap. 6. sic scriptum reliquit. Infirmatur aliquis inter vos? Accersat seniores Ecclesiæ: & orent super eo, ungentes ipsum oleo, in nomine Domini. Tunc precatio ex Fide profecta, servabit ægrotum, & excitabit eum Dominus. Etiamsi peccata admisit: remittentur ei. Ibi de confessione quoque dicit, & oratione precationeque justorum.

Omnia autem Sacramenta hæc, etiam Christus tradidit, & divini ejus discipuli: cum enim duplices, non simus, videlicet ex animo & corpore constantes: dupliciter & hæc nobis præbuit, vt & ipse duplex, ex Deo & homine, vt per Spiritus quidem gratiam, intelligibili quadam ratione animas nostras sanctificet: sensilibus vero, aqua & oleo, pane & poculo, ac cæteris Spiritu sanctificatis, etiam corpora nostra sancta efficiat, ex omnique parte perfectam det salutem.

Hæc brevi expositione de VII. Ecclesiæ mysteriis dicta sufficiant, quæ nos pie retinemus. Nunc deinceps de invocatione dicendum.

ΠΕΡΙ

DE

ΠΕΡΙ ΕΠΙΚΛΗΣΕΩΣ τῶν Ἁγίων.

Πρὸς τὸ πέμπτον δὲ, τὸ περὶ ἐπικλήσεως τῶν Ἁγίων, λέγετε μὲν μιμεῖσθαι ἐκείνων τὴν πίστιν, τὴν καρτερίαν, καὶ ἔτι τωτήριον. ἀποφάσκετε δὲ τὴν ἐπίκλησιν τὴν πρὸς αὐτὲς, καὶ ἔντευξιν τέτων πρὸς Θεὸν, καὶ τὸ προσκυνεῖν αὐτοῖς, ἢ ταῖς αὐτῶν εἰκόσιν, ἢ τιμᾶν αὐτὲς ναοῖς καὶ ἀναθήμασι. φοβέμενοι, μὴ τὴν μόνην Θεῷ ὀφειλομένην τιμὴν, ἐπὶ κτίσματα μεταφέρητε.

Διὰ ἃ δὴ καὶ λέγομεν σὺν Θεῷ. ὅτι δεῖ τὲς Ἁγίες ἐπικαλεῖσθαι, ὅτι καὶ βοηθεῖν δύνανται. καὶ τέτε ἕνεκά εἰσι πολλὰ εἰς ἀπόδειξιν.

Καὶ πρῶτον ἀνάγνωτε ῥήματα Θεᾶ ἐν μβ. κεφαλαίῳ τᾶ Ἰώβ. „ἐγένετο μετὰ τὸ λαλῆσαι τὸν Κύριον πάντα τὰ „ῥήματα ταῦτα τῷ Ἰώβ, εἶπεν ὁ Κύριος „Ἐλιφὰζ τῷ Θαιμανίτῃ. ἥμαρτες σὺ, „καὶ οἱ δύο φίλοι σε. ἃ γὰρ ἐλαλήσατε „ἐνώπιόν με ἀληθὲς ἐδὲν, ὥσπερ ὁ θεράπων με Ἰώβ. νῦν δὲ λάβετε ἑπτὰ μόχες, „καὶ ἑπτὰ κριὲς, καὶ πορεύθητε πρὸς „τὸν θεράποντά με Ἰώβ, καὶ ποιήσῃ „κάρπωσιν ὑπὲρ ὑμῶν. Ἰὼβ δὲ θεράπων με, ἔυξεται ὑπὲρ ὑμῶν, καὶ τὰ ἑξῆς. Μανθάνομεν ἔν ἐντεῦθεν, ὅτι οἱ δίκαιοι προΐσανται, καὶ ἔυχονται ὑπὲρ ἡμῶν. ἃ μόνον δὲ οἱ ἐν ζῶσιν, ἀλλὰ καὶ οἱ τεθνηκότες, ὡς ὁ ῥιφεὶς νεκρὸς ἐπὶ τὸν τάφον Ἐλισσαίε. ὡς Βασιλείων δ. κεφ. ιγ. καὶ ὅτι ἡ τᾶ Χριςᾶ Ἐκκλησία ζῶντας τὲς Ἁγίες λέγει, ὡς ἐν ζωῇ καὶ χειρὶ Θεᾶ. ὁ δὲ θάνατος αὐτῶν ἦν ὕπνος. ἐκοπία-

DE INVOCATIONE Sanctorum.

Quod ad quintum caput attinet, in quo de invocatione Sanctorum agitur: dicitis quidem, vos imitari illorum fidem, tolerantiam, & quicquid salutare est, sed invocandos negatis, & intercessionem ipsorum apud Deum, & adorationem, ipsis, aut imaginibus ipsorum, exhibendam, tollitis, nec honorandos templis & donariis, existimatis. Metuitis scilicet, ne honorem, soli Deo debitum, ad creaturas transferatis.

Ad hæc nos ope Divina respondemus, invocandos esse Sanctos, quod ipsi etiam auxiliari possint: id quod multis demonstrari potest.

Principio, legite verba Dei, quæ 42. cap. Iobi scripta sunt. „Factum est, vt, postquam locutus esset Dominus omnia hæc ad Iobum, idem diceret Eliphazo Themanitæ. Peccasti tu, & duo amici tui. Nihil enim veri coram me dixistis, sicut minister meus Iobus. Nunc itaque capite septem vitulos, & totidem arietes, & ite ad ministrum meum Iobum. Faciet is Sacrificium pro vobis, & idem minister meus orabit pro vobis, &c. „ Discimus ergo hinc, Iustos, esse patronos nobis, & pro nobis precari. Nec id faciunt solum vivi, sed etiam mortui, quod ex illo interfecto patet, qui in sepulchrum Elisæi conjectus fuit, 4 Reg. 13. & quod Ecclesia Christi Sanctos dicit vinos, tanquam in vita & manu Dei positos, mors vero ipsorum, fuerit somnus. Aerumnis enim laborarunt in hoc seculo: sed illic, æternum vivent.

πίασαν γὰρ εἰς τὸν νῦν αἰῶνα, καὶ ζήσονται εἰς τέλος. Ζωὴ γάρ ἐστιν ὁ Θεὸς, καὶ οἱ ἐν χειρὶ Θεοῦ ὄντες, ἐν ζωῇ ὑπάρχουσιν. Ὅτι δὲ διὰ τοῦ νοῦ καὶ τοῖς σώμασιν αὐτῶν ἐνῴκησεν ὁ Θεὸς, φησὶν ὁ Θεῖος Ἀπόστολος. ἢ οἴδατε ὅτι τὰ σώματα ὑμῶν, ναὸς τοῦ ἐνοικοῦντος ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν; πῶς οὖν οὐ τιμητέον τοὺς ἐμψύχους ναοὺς τοῦ Θεοῦ; ἔτοι ζῶντες, ἐν παῤῥησίᾳ τῷ Θεῷ παρεστήκασι. πηγὰς ἡμῖν σωτηρίας ὁ Χριστὸς πολλὰς ἀνέῳξεν. δι' ἐπικλήσεως Ἁγίων δαίμονες ἀπελαύνονται, νόσοι φυγαδεύονται, πειρασμοὶ λύονται. Καὶ ἡ δόσις ταύτη ἡ ἀγαθὴ ἄνωθεν δι' Ἀγγέλων ἀγαθῶν, εὐθὺς πεμπομένων τοῖς ἐπικαλεμένοις τὰ ὀνόματα αὐτῶν.

Ἀλλὰ καὶ τὰ τούτων Ἅγια λείψανα πολυτρόπως τὰς εὐεργεσίας πηγάζουσι, καὶ μηδεὶς ἀπιστείτω. Εἰ γὰρ ἐξ ἀκροτόμου πέτρας ὕδωρ ἐν ἐρήμῳ ἐπήγασε, καὶ ἐκ σιαγόνος ὄνου ὕδωρ τῷ Σαμψὼν διψῶντι, ἐκ μαρτυρικῶν λειψάνων τοιαῦτα γίνεσθαι, ἄπιστον; ἐδαμῶς, τοῖς εἰδόσι τὴν τῶν Ἁγίων δύναμιν παρὰ Θεοῦ καὶ τὴν τιμήν.

Τιμητέον ἓν τοὺς Ἁγίους, ὡς φίλους Θεοῦ, ὡς τέκνα καὶ κληρονόμους, ὡς φησιν ἡ Θεολόγος φωνή. ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν, τέκνα Θεοῦ γενέσθαι. ὥστε ἐκ εἰσὶ δοῦλοι, ἀλλ' Υἱοὶ καὶ κληρονόμοι. πόσα ἄν τις ἔκαμε, ἵνα προσάτην τὶς ἕνα εὕρῃ θνητῷ βασιλεῖ, ὑπὲρ αὐτοῦ λόγους ποιούμενον; τοὺς ἓν προστάτας τοῦ Χριστιανικοῦ γένους παντὸς, τοὺς τῷ Θεῷ ὑπὲρ ἡμῶν ἐντεύξεις ποιουμένους, οὐ τιμητέον; ναὶ τιμητέον,

Deus quippe, vita eſt, & qui in manu Dei ſunt, in vita ſunt. Quod vero per mentem, etiam in ipſorum corporibus habitaverit Deus, patet ex eo, quod S. Apoſtolus ait: Num ignoratis, corpora veſtra, templum inhabitantis in vobis Spiritus S. eſſe? Quid igitur cauſæ ſit, cur non honorare debeamus animata templa Dei? Hi viventes, cum fiducia libere Deo aſtant. Fontes nobis ſalutares multos Chriſtus aperuit. Invocatione Sanctorum, Dæmones abiguntur, morbi fugantur, tentationes tolluntur, & omnino hac ratione, donatio illa bona, de qua in S. literis, ſuperne contingit, per Angelos bonos: qui mox mittuntur invocantibus nomina ipſorum.

Quin etiam ex illorum ſanctis reliquiis, multifariam beneficia ſcaturire, nemo dubitare debet. Si enim e præduro ſaxo, aqua in ſolitudine effluxit; ſi ex aſinina mandibula, Sampſoni ſitienti aqua erupit; e Martyrum reliquiis idem poſſe fieri, incredibile ſit? Nullo modo, iis quidem, quibus notum eſt, quid ſancti poſſint apud Deum, & quantus eorum ſit honor.

Honorandi ſunt igitur ſancti, tanquam amici Dei, tanquam Filii & hæredes, ſicut inquit Theologica vox: Quotquot vero receperunt ipſum, dedit eis poteſtatem, filios Dei fieri. Ergo non ſunt ſervi, ſed filii, & hæredes. Quanto aliquis labore emeret, vt unum aliquem Patronum, qui apud mortalem Regem pro ipſo verba faceret, inveniret? Illi igitur Patroni totius Chriſtiani generis, apud Deum pro nobis intercedentes, non

τέον, ναοὺς ἐγείροντας τῷ Θεῷ, ἐπὶ τῷ τέτων ὀνόματι, πάντως εἰς δόξαν Θεοῦ. Καρποφορίας προσάγοντας, τὰς τέτων μνήμας γεραίροντας πνευματικῶς καὶ θείως, καὶ οἷς Θεὸς θεραπεύεται. οἵτε τέτε θεράποντες εὐφραίνονται· ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς. εἰκόνας αὐτοῖς ἐγείρωμεν. ἔμψυχοι γὰρ εἰκόνες τῆς ἀρετῆς ἔτοι, καὶ τὴν ἀρετὴν αὐτῶν μιμησώμεθα. τὴν Θεοτόκον, ἀχ ὡς Θεὸν, ἄπαγε, ἀλλ' ὡς κυρίως Θεοῦ μητέρα καὶ ἀληθῶς, τιμήσωμεν. τὸν Προφήτην Ἰωάννην, ὡς πρόδρομον καὶ βαπτιςὴν, Ἀπόςολόν τε καὶ Μάρτυρα. τὲς λοιπὲς Ἀποςόλες, ὡς αὐτόπλας αὐτοῦ καὶ τῶν αὐτοῦ. τὲς Μάρτυρας Κυρίε ἐκ παντὸς τάγματος, ὡς ςρατιώτας Χριςοῦ, καὶ τὸ αὐτοῦ πεπωκότας ποτήριον, καὶ κοινωνὲς τῶν παθημάτων, καὶ τῆς δόξης αὐτοῦ. τέτων τὴν πολιτείαν δὲ ζηλώσωμεν, τὴν πίςιν, τὴν ἀγάπην, τὴν ἐλπίδα, ἵνα καὶ τῶν τῆς δόξης ςεφάνων αὐτοῖς κοινωνήσωμεν.

Ἠν δὲ καὶ τὰς εἰκόνας αὐτῶν προσκυνῶμεν, μηδεὶς καταμεμφέθω. καὶ ἀλλήλες γὰρ προσκυνῶμεν, ὡς κατ' εἰκόνα Θεοῦ. καὶ ὅτι καὶ ὁ Θεῖος Βασίλειος, ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνειν, λέγει. Καὶ ὁ Μωσαϊκὸς λαὸς, τῇ Σκηνῇ κύκλωθεν προσεκύνει, εἰκόνα φερέσῃ τῶν ἐπερανίων, καὶ ὅλης τῆς κτίσεως. εἶπε γὰρ ὁ Θεὸς τῷ Μωϋσῇ, ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει, καὶ τὰ ἑξῆς· ἀλλά, φησίτις, ὁ αὐτὸς εἶπε, Κύριον non fuerint honorandi? Enimvero honorandi: Templis Deo de nomine ipsorum ædificandis, ad honorem utique Dei: fructibus & donis afferendis, memoria eorum honorifice recolenda, spiritualiter & divine, & quibus rebus, tum Deus obsevatur, tum ministri ejus exhilarantur, psalmis, hymnis, & cantionibus spiritualibus, imagines eis erigamus (vivæ namque imagines virtutis, sunt ipsi) & eorum virtutem imitemur. S. Deiparam, non vt Deam, (apage) sed vt proprie & vere Dei matrem, honore afficiamus. Prophetam Ioannem, vt præcursorem & Baptistam, Apostolum & Martyrem. Reliquos Apostolos, ut qui oculis suis Dominum, & res gestas ejus, viderint. Martyres Domini, omnis ordinis, vt milites Christi, & qui ejus biberint calicem: & socii sint, tum perpessionum ejus, tum gloriæ. Horum vitam & mores æmulemur: horum fidem, charitatem, spem, vt pares cum ipsis coronas gloriæ consequamur.

A nobis autem, etiam imaginibus ipsorum reverentiam exhiberi, aut adorari, nemo reprehendat. Nam ipsi quoque inter nos alii aliis reverentiam, & corporis inclinationem præstamus, vt secundum Dei imaginem factis. Et D. Basilius, honorem imagini exhibitum, ad ejus prototypum, seu exemplar, transire ait. Mosaicus quoque populus, tabernaculum circumcirca adorabat, quod id imaginem gestaret cœlestium, & universæ creaturæ. Dixit enim Moysi Deus: vide, vt facias omnia secundum figuram, quæ tibi præscripta est in monte &c. At (inquit aliquis) idem dixit: Dominum

τὸν Θεόν σε προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ ὲ ποιήσεις πᾶν ὁμοίωμα. Ναὶ ἀληθῶς πάντα ταῦτα Θεῦ νομοθεσίαι. ἀλλὰ ὁ τῦτο διδάσκων Θεὸς, ἐδίδαξεν ἡμᾶς ἐν τῷ δευτερονομίῳ. Καὶ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐκ μέσε τῦ πυρὸς τὰ λοιπὰ, ἄχρι τε, ὲ προσκυνήσεις αὐτοῖς, καὶ ὲ λατρεύσεις. ἐξ ὧν μανθάνομεν, ὡς εἰς ἐστιν ὁ σκοπὸς, ὥστε μὴ λατρεῦσαι τῇ κτίσει παρὰ τὸν κτίσαντα, μηδὲ προσαγαγεῖν τὴν τῆς λατρείας προσκύνησιν ἄλλῳ, ἢ μόνῳ τῷ Θεῷ. διὸ πανταχῦ συνάπλει τῇ προσκυνήσει τὴν λατρείαν. Οἴδαμεν ὧν καὶ ἡμεῖς, ἀγαπητοὶ, ὅτι μόνῳ Θεῷ ὀφείλεται ἡ τιμὴ, ἀλλὰ χέσις λατρείας, πολὺ διαφέρσι. καὶ ὅσον τῆς ἀληθείας τὸ ψεῦδος εἰπεῖν. ὅθεν χετικῶς προσκυνῦμεν τὰς Ἁγίας Εἰκόνας. λατρευτικῶς δὲ, τὸν Θεὸν μόνον.

Ὅτι δὲ οἱ Ἅγιοι δύνανται πολλὰ, Θεοὶ ὄντες χάριτι, ὡς καὶ ὁ ψάλτης λέγει. ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, τὰς ἀξίας διαιρῶν, ὡς ἑρμηνεύει ὁ θεῖος Γρηγόριος, καὶ ὅτι ζῶντες πεπληρωμένοι ἦσαν Πνεύματος Ἁγίε, καὶ τελευτησάντων αὐτῶν, ἡ χάρις τῦ Ἁγίε Πνεύματος, ἀνεκφοιτήτως ἔνεστι, καὶ ταῖς ψυχαῖς αὐτῶν, καὶ τοῖς σώμασι, καὶ τοῖς τάφοις, καὶ τοῖς χαρακτῆρσι, καὶ ταῖς Ἁγίαις Εἰκόσιν αὐτῶν πιστόν. ἐκ οἶδε Σολομὼν τὸν διαγορεύοντα Θεῖον νόμον, τὸν. ὲ ποιήσεις πᾶν ὁμοίωμα; πῶς ᾠκοδόμησε τὸν Ναὸν, καὶ Χερεβὶμ, ὡς φησιν ἡ Βίβλος τῶν Βασιλείων, ἐποίησε,

Deum tuum adorabis, & ei ſoli ſervies. Et: Non facies ullam ſimilitudinem. Eſt vero ita, ſunt hæc lege divina ſancita. Veruntamen, qui hoc præcipit Deus, idem docet nos in Devteronomio. Et locutus eſt Dominus ad vos e medio ignis &c. usque ad verba: Non adorabis ipſa, non ſervies. E quibus diſcimus, vnum eſſe ſcopum: ne ſerviamus creaturæ præ creatore, neve ſervitutis & cultus cauſa adorationem exhibeamus ulli, niſi ſoli Deo. Ideo vbique adorationi, ſeu reverentiæ (Græce τῇ προσκυνήσει) ſervitutem, ſeu cultum (τὴν λατρείαν) adjungit. Scimus igitur nos quoque, dilecti, ſoli Deo deberi hunc honorem. Sed affectio animi, & relatio, reſpectusque (χέσις) multum a ſervitute, & cultu (λατρείᾳ) differt, quantum ſcilicet mendacium (ita loquendo) a veritate. Amica itaque propenſione, & relative (χετικῶς honore ab imagine tranſeunte ad ſanctum, & ad Deum) adoramus S. imagines, ſerviliter vero (λατρευτικῶς) Deum ſolum.

Sanctos autem multum poſſe, cum per gratiam ſint Dii, (inquit enim Pſalmorum autor, Deus ſtetit in Synagoga Deorum, dignitates ſcilicet diſtribuens, ut interpretatur D, Gregorius) & in ſua vita plenos fuiſſe Spiritus ſancti, atque poſt funera ipſorum, ejusdem Spiritus gratiam non exceſſiſſe ex ipſis, ſed ineſſe & animis & corporibus, & ſepulchris, & ſimulacris, & S. imaginibus, ipſorum, certum eſt. Anne ignorabat Salomon illam Dei diſerte dicentem legem: Non facies ullam ſimilitudinem? Quomodo ergo ædificavit Templum, & Cherubim (ut eſt in illo libro

σε, καὶ βόας, καὶ λέοντας, καὶ ὅσα τοιαῦτα; ἐ πολλῷ ἂν τιμιώτερον, πάντας τὲς τοίχες οἴκε Κυρίε κοσμεῖν Ἁγίων μορφαῖς, ἥπερ ἀλόγων, καὶ δένδρων, καὶ κολάψαι γλυπτὰ, καὶ φοίνικας, καὶ ὅσα ὅμοια. Βίβλοι ἀνεῳγμέναι πρὸς ἀνάμνησιν Θεῦ, καὶ τιμὴν αὐτῦ, ἐν ταῖς Ἐκκλησίαις Θεῦ, αἱ Ἅγιαι Εἰκόνες εἰσιν. ὁ γὰρ τιμῶν τὸν Μάρτυρα, τὸν Θεὸν τιμᾷ, καὶ τὲς λοιπές. καὶ ὁ τὴν Μητέρα τῦ Υἱῦ, αὐτὸν πάντως τὸν Ἰησῦν· ἐδεὶς γὰρ Θεὸς παρ' ἡμῖν ἄλλος, εἰ μὴ εἷς ὁ ἐν τριάδι γνωριζόμενός τε καὶ λατρευόμενος. ἂν γὰρ λέγωμεν, ἅγιε Ἰωάννη, πρέσβευε ὑπὲρ ἡμῶν, καὶ ὑπεραγία Θεοτόκε, καὶ Ἅγιοι Ἄγγελοι. ἀλλὰ πρὸ πάντων ἐπιβοώμεθα. Κύριε τῶν δυνάμεων μεθ' ἡμῶν γενῦ, ἄλλον γὰρ ἐκλὸς σε, βοηθὸν ἐν θλίψεσιν ἐκ ἔχομεν, Κύριε τῶν δυνάμεων, ἐλέησον ἡμᾶς. ὁρᾶτε τῆς Ἐκκλησίας τὸν ἀληθέστατον καὶ τέλειον σκοπὸν, πῶς τὸν Θεὸν ἐλθεῖν βοηθὸν ἐπικαλῆται, καὶ τὸ ἔλεος αὐτῦ. αὐτὸς γάρ ἐστιν ὁ μακάριος καὶ μόνος δυνάστης, ὡς γέγραπται.

Ἔτι προφέρετε τὸν Ἅγιον Ἐπιφάνιον τὰς Θείας ἀθετῆσαι Εἰκόνας, δῆθεν γράφοντα κατὰ Κολλυριδιανῶν, τῶν τῇ Μαρίᾳ προσφερόντων, καὶ ἀθέως ποιούντων, ἐ γὰρ Θεὸς ἡ Παρθένος, ἐδεὶς Χριστιανῶν εἶπη, τιμία δὲ καὶ ἁγία καὶ δέλη Θεῦ, ὡς αὐτὴ λέγει περὶ ἑαυτῆς, ἰδὲ ἡ δέλη Κυρίε, γένοιτό μοι κατὰ τὸ ῥῆμά σε. πλὴν ἀληθῶς Θεοτόκος ἡ Ἁγία Μαρία, ὡς καταξιωθεῖσα ἐν κόλποις ἰδίοις ὑποδέξασθαι τὸν Υἱὸν τῦ Θεῦ, καὶ Θεὸν. ὁ γὰρ πρὸ αἰώνων τὴν ὕπαρξιν ἔχων, ἐκ ταύτης τῆς γυναικὸς ἐγεν-

bro Regum) fecit, & boves, & leones, & alia generis ejusdem? Nonne igitur honorabilius est, omnes parietes domus domini ornare Sanctorum formis, quam ratione carentium, & arborum, & quam sculpere & cælare simulacra, palmas & id genus alia. LIBRI aperti, ad recordationem Dei, & honorem ejus, in Templis Dei, sanctæ imagines sunt. Qui enim Martyrem honorat, Deum honorat, & reliquos. Et qui Matrem filii, ipsum Iesum, sine controversia. Nullus enim nobis alius Deus est, nisi ille vnus, qui in Triade cernitur & colitur. Quanquam enim dicimus: S. Ioannes, intercede pro nobis, & sanctissima Deipara, & sancti Angeli, tamen ante omnes inclamamus: Domine potestatum, nobiscum sis. Alium enim præter te, opitulatorem afflictionum non habemus. Domine potestatum, miserere nostri. Videtis verissimum Ecclesiæ, & perfectum, scopum, quomodo Deum in auxilium imploret, & misericordiam ejus. Nam ipse est ille beatus, & solus Dominator, ut scriptum est.

Quod autem S. Epiphanium citatis, qui scilicet abroget imagines, in loco, ubi in Collyridianos scribit, Mariæ oblationem facientes, & impie agentes: (non enim Dea est, S. virgo, vllius Christianorum judicio, sed sancta & veneranda ancilla Dei est, sicut ipsa testatur, de se, dicens: Ecce ancilla Domini, fiat mihi secundum verbum tuum. Attamen vere Deum peperit S. Maria: utpote digna facta, quæ gremio suo susciperet Dei filium Deum. Ille enim, qui ante secula fuit, ex hac fœmina natus est, & simul

ἐγεννήθη, καὶ Θεὸς καὶ ἄνθρωπος ἐφάνη ἡμῖν. ὅθεν κυρίως καὶ ἀληθῶς Θεοτόκος ἡ ἁγία Μαρία ἡ ἀειπάρθενος, καὶ ἐ Θεὸς, ἄλλον γὰρ Θεὸν, πλὴν τῆ ἐν Τριάδι ὑμνεμένε ἀληθινῆ Θεῆ, οἱ Χριστιανοὶ ἐ γινώσκομεν. γνῶτε ἓν, ὡς ὁ λόγος αὐτὸς, ὁ κατὰ Κολλυριδιανῶν εἰ καὶ ἀνατρέπει κακίσην αἵρεσιν, ὡς ἐίπομεν, ἀλλ' ἓν εἰκονομαχίαν εἰσάγει. καὶ τὸ καλὸν, ἐ καλὸν, ὅταν μὴ καλῶς γίνεται. ὅθεν καὶ πρὸ ὑμῶν ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν λόγῳ αὐτῆ δευτέρῳ περὶ εἰκόνων, ταῦτα φωράσας, ὡς νόθα νενοθευμένα, καὶ πεπλασμένα ἐξήλεγξε καὶ ἀνέτρεψεν, διὸ καί φησιν. εἰ δὲ λέγεις τὸν μακάριον Ἐπιφάνιον, τρανῶς τὰς παρ' ἡμῖν ἀπαγορεῦσαι εἰκόνας, γνῶθι, ὡς ἐπίπλαστος ὁ λόγος, ἄλλε τινὸς τῷ τῆ Θεία Ἐπιφανίε χρησαμένε ὀνόματι, οἷα πολλὰ συμβαίνει γίνεσθαι, ἢ ἐπιφανίδε τῆ αἱρετικῆ. ἐ γὰρ τοῖς συμπατράσιν ὁ Πατὴρ μάχεται. ἑνὸς γὰρ Ἁγίε Πνεύματος μέτοχοι πάντες γεγόνασι. Καὶ μάρτυς ἡ αὐτε Ἐκκλησία, Εἰκόσι καλλωπιζομένη, ἕως ἓ ὁ ἄγριος καὶ ἀνήμερος Λέων ὁ Ἴσαυρος, ἔβρυξε, καὶ τὴν Χριστῆ διετάραξεν Ἐκκλησίαν, καὶ ἄλλοι κατ' αὐτῆς ἀντεπανέστησαν, καὶ τὴν Χριστῆ διεταράξαν Ποίμνην. ποτίσαι τὸν λαὸν τῆ Θεῆ ἐπιχειρήσαντες ἀνατροπὴν θολερὰν, καὶ τὰ ἑξῆς.

Καὶ ὅτι μὲν δεῖ προσκυνεῖν τὰς Ἁγίας Εἰκόνας ἀποδέδεικται, χετικῶς, ὡς ἐίπομεν, ἐ λατρευτικῶς. Ὅτι δὲ καὶ δέησις εἰσακέεται Ἁγίων, καὶ ἔτι ἀνάγνωτε δ'. Βασιλείων ἐν κεφ. ιή. καὶ ιθ'. ἔλεγέ, φησιν, ὁ Σεναχιρεὶμ διὰ τῆ Ῥαψάmul Deus & homo apparuit nobis. Vnde & proprie vereque Deipara, illa semper virgo S. Maria, & non Dea, est. Alium namque Deum, præterquam eum, qui in Triade laudatur verus Deus, Christiani non agnoscimus) quod inquam, ad Epiphanii contra Collyridianos orationem attinet, scitote, etsi pessimam ea sectam, ut diximus, evertit; tamen interim sane Iconomachiam (imaginum oppugnationem) introducere. Sed bonum non est bonum, quando non bene fit. Vnde & ante nostram memoriam, D. Ioannes Damascenus, Oratione sua II. de imaginibus, in hæc Epiphanii inquisitione habita, vitium deprehendit, & ut adulterina confictaque convincens evertit. Ideo ait: Si vero dicis, beatum Epiphanium diserte nostras imagines abrogare, scito, commentitiam esse eam Orationem, dum alius quispiam in S. Epiphanii nomen invaserit, sicut sæpe fieri solet, aut Epiphanidis Hæretici esse. Non enim Patribus Pater repugnat. (Nam unius S. Spiritus, participes, omnes fuerunt) quod testatur ipsius Ecclesia, quæ imaginibus decorata fuit, donec ferus & immansuetus Leo Isaurus rugiit, & Ecclesiam Christi perturbavit, aliique contra eam insurrexerunt, & Christi dissiparunt gregem, potionis loco dare aggressi populo Dei eversionem turbidam, & quæ præterea ibi sequuntur.

Adorandas itaque affectus propensione & relative, non cultu divino, vti diximus, S. imagines, esse demonstratum est. Exaudiri vero etiam intercessiones Sanctorum, constat ex 4 Reg. 18. & 19. quem locum legite. Dixit (inquit) Senacherimus per Ra-

Ῥαψάκη, μὴ ἀπατάτω σε ὁ Θεὸς, ἐφ' ᾧ πέποιθας· τηνικαῦτα παρακατιών, καὶ γὰρ ἔλεγεν ὁ Θεὸς, ὑπερασπιῶ τῆς πόλεως ταύτης, δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. Καὶ εἰ μὴ τοῦτο ἦν, ἐκ ἂν ὁ Θεὸς ἀφῆκεν ἄλλους παρακαλεῖν. καὶ τοῦτο παρασκευάζει, ὅπερ καὶ ἐπὶ τοῦ Μωσέως γέγονε. Καὶ γὰρ ἐκείνῳ φησὶν, ἄφες ἐξαλείψω αὐτοὺς, ἵνα αὐτὸν ἐμβάλῃ εἰς τὴν ἐκείνων ἱκετηρίαν. Ἐποίει δὲ τοῦτο, ἐκ αὐτὸς παρακλήσεως δεόμενος, ἀλλ' ἵνα ἡμεῖς μὴ ἁπλῶς σωζόμενοι, φαυλότεροι καταζῶμεν. Διὰ τοῦτο καὶ χάρισμα εὐχῆς ἐδίδου, ὡς ὁ Παῦλος λέγει, αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. Διὰ τοῦτο πολλάκις τὸν Δαβὶδ, καὶ τὸν δεῖνά, φησιν, αὐτοῖς καταλλάττεσθαι. τοῦτο κατασκευάζων τὴν καταλλαγήν. διὰ τοῦτο καὶ τῷ Ἱερεμίᾳ ἔλεγεν, μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι ἐκ εἰσακούσομαί σου. Οὐχὶ παῦσαι αὐτὸν θέλων ἀξιοῦντα, πολὺ γὰρ τῆς σωτηρίας ἡμῶν ἐπιθυμεῖ, ἀλλ' ἐκείνους φοβῆσαι. Ὅπερ καὶ ὁ Προφήτης συνιδὼν, ἐκ ἐπαύσατο ἀξιῶν.

Ἀλλὰ καὶ ὁ πολὺς τὴν σοφίαν Κύριλλος, ἐξηγούμενος τὸν Προφήτην Δανιὴλ, λέγει, ὅτι καὶ μεσιτεία ἔσαι τότε ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου. Καὶ Ἀγγέλων δεηθησομένων ὑπέρ τινων, καὶ Ἁγίων, καὶ τῆς Κυρίας τοῦ κόσμου ἐκ ἥκιστα. Πλὴν ἐκ ὑπὲρ πάντων ἁπλῶς, οὐδὲ ὑπέρ τινος ἐν ἁμαρτίαις θανόντος. ἔμενεν. κατέκλεισε γὰρ ὁ Θεὸς τοῖς τοιούτοις καθάπαξ τὸ ἑαυτοῦ ἔλεος. Διὸ καὶ ἀπεφήνατο κατ' αὐτῶν ἑτωσί. Ἐὰν στῇ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, τοὺς Υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας ὲ μὴ ἐξέλωνται.

Rapſacem: Ne decipiat te Deus, quo confidis. Poſtea ſequitur. Etenim dixit Deus: Clypeo protegam civitatem hanc, propter me, & propter ſervum meum Davidem. Hoc niſi eſſet, non ſiviſſet alios pro ipſis rogare. Molitur autem idem, quod Moſis memoria fecerat. Etenim huic ait: Sine, delebo ipſos. Quod ideo dixit, vt eum ad ſupplicandum pro illis, induceret, & id fecit, non quod apud ſe opus ſit interceſſione, ſed ne nos, ſi facile, & nullo negotio, ſalutem inveniamus, negligentiores deterioresque evadamus. Propterea etiam donum precationis dabat, ſicut Paulus ait: Ipſe Spiritus intercedit pro nobis gemitibus tacitis. Ideo ſæpe, propter Davidem, aut hunc vel illum, ait ſe populo reconciliatum eſſe, machinans hoc modo reconciliationem. Qua eadem de cauſa, Hieremiæ inquit: Noli orare pro populo iſto, quia non exaudiam te. Quibus verbis non deſiſtere eum vult a precando (longe enim cupidiſſimus eſt ſalutis noſtræ,) ſed illos exterrere: quod etiam propheta intelligens, a precando non deſtitit.

Quin etiam ſapientia excellens Cyrillus, commentario in Prophetam Danielem, interceſſionem fore tunc etiam, quando venturus ad judicium ſit Dominus, affirmat, quod Angeli pro aliquibus deprecaturi ſint, & ſancti, præſertim Domina mundi. Non tamen ſimpliciter pro omnibus, nec pro aliquo, in peccatis mortuo, minime, (Semel enim talibus miſericordiæ ſuæ fores Dominus occluſit. Ea propter, hanc in eos ſententiam tulit. Si ſteterit Noë, & Iob, & Daniel, filios & filias ſuas nullo modo eripient) ſed tantummodo

ται. ἀλλ' ὑπὲρ μόνων ἐκείνων ἱκετεύσουσι πάντες, ὑπὲρ ὧν ἔσονται καὶ αἱ πρεσβεῖαι δεκταί, ἤγουν τῶν ἐν μετανοίᾳ μὲν φθασάντων μεταλλάξαι τὸν βίον, ἔπω δὲ τὰς τῶν ἁμαρτημάτων κηλίδας δυνηθέντων τελείως ἐκπλῦναι. καὶ ἔτι. ναί, καὶ ἔτι τῆς κρίσεως ἱσταμένης. μετὰ δὲ τὸ λυθῆναι τὸ θέατρον, καὶ ἕκαστον ἀπαχθῆναι εἰς τὸν ἴδιον τόπον, μεσιτεία ἐκ ἔσαι. Ἀλλὰ καὶ γίνεται καὶ νῦν, διὰ Ἱερέων μεσιτευόντων, καὶ δικαίων δέλων Θεῦ, ἰσχυόντων πολλά.

Ἀλλὰ καὶ ὁ Θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς ἐν τῷ τρίτῳ λόγῳ αὐτῦ τῷ περὶ εἰκόνων, φησί. Τὶς πρῶτος ἐποίησεν Εἰκόνα; αὐτὸς ὁ Θεὸς πρῶτος ἐγέννησε τὸν Μονογενῆ Υἱὸν καὶ Λόγον αὐτῦ, Εἰκόνα αὐτῦ ζῶσαν, φυσικὴν, ἀπαράλλακτον χαρακτῆρα τῆς αὐτῦ ἰδιότητος. Ἐποίησέ τε τὸν ἄνθρωπον κατ' Εἰκόνα αὐτῦ καὶ καθ' ὁμοίωσιν. Καὶ Ἀδὰμ εἶδε Θεὸν, καὶ ἤκουσε τῆς φωνῆς τῶν ποδῶν αὐτῦ περιπατῦντος τὸ δειλινὸν, καὶ ἐκρύβη ἐν τῷ παραδείσῳ. Καὶ Ἰακὼβ, εἶδε καὶ ἐπάλαισε μετὰ τῦ Θεῦ. Δῆλον δὲ, ὅτι, ὡς ἄνθρωπος, ἐφάνη αὐτῷ ὁ Θεὸς. Καὶ Μωσῆς, ὡς ὀπίθια ἀνθρώπε εἶδε. Καὶ Ἡσαΐας, ὡς ἄνθρωπον εἶδε καθήμενον ἐπὶ θρόνε. Καὶ Δανιὴλ ὁμοίωμα ἀνθρώπε εἶδε, καὶ ὡς Υἱὸν ἀνθρώπε ἐλθόντα ἐπὶ τὸν παλαιὸν τῶν ἡμερῶν. Καὶ ἡ φύσιν Θεῦ εἶδέ τις, ἀλλὰ τὸν τύπον καὶ τὴν Εἰκόνα τῦ μέλλοντος ἔσεσθαι. Ἔμελε γὰρ ὁ Υἱὸς καὶ Λόγος τῦ Θεῦ ὁ ἀόρατος ἄνθρωπος γίνεσθαι ἐν ἀληθείᾳ, ἵνα ἑνωθῇ τῇ φύσει ἡμῶν, καὶ ὁρᾶθῇ ἐπὶ τῆς γῆς. Προσεκύνησαν δὲ πάντες, οἱ ἰδόντες τὸν τύπον καὶ τὴν Εἰκόνα τῦ μέλλοντος, καθὼς

do pro illis ſupplicabunt omnes, pro quibus factæ interceſſiones, acceptæ ſunt; nempe pro iis, qui tempore pœnitentiæ intercepti morte, non potuerunt omnes peccatorum maculas penitus eluere. Itemque, tantiſper duntaxat, dum adhuc judicium exercetur. Dimiſſo vero theatro, poſtquam ſinguli in ſua loca abducti fuerint, interceſſio non erit. Atque etiam nunc interceſſiones fiunt per Sacerdotes, & juſtos Dei ſervos, quæ multum poſſunt.

Inſuper D. ille Damaſcenus, oratione III. de imaginibus inquit. Quis, primus fecit imaginem? Ipſe Deus: qui primus genuit unicum Filium, & Logum ſuum, imaginem ſui ipſius viventem, naturalem, immutabilem characterem ſuæ æternitatis. Idem fecit hominem ſecundum imaginem ſuam, & ſecundum ſimilitudinem. Et Adamus vidit Deum, & audivit ſonitum pedum ejus, tempore pomeridiano ambulantis, ſeque abſcondit in Paradiſo. Iacobus vidit atque luctatus eſt cum Deo. Nimirum hominis forma ei Deus apparuit. Et Moſes, tanquam poſteriorem partem hominis, vidit. Eſaias ad inſtar hominis vidit ſedentem in ſolio. Et Danielus ſimilitudinem hominis vidit, & ut Filium hominis, venientem ad antiquum illum dierum. Nemo denique naturam Dei vidit, ſed typum & imaginem venturi, qualis futurus erat. Naſciturus enim vere homo erat, Filius ille & Logos Dei inviſibilis, vt ſic ipſe cum natura noſtra vnum fieret, & in terris cerneretur. Adorarunt igitur omnes, qui videbant, figuram & imaginem futuri, quomodo & Paulus Hebr. II. ſcribit:

Fidei

θὼς καὶ Παῦλός φησιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους κεφ. ια. κατὰ πίστιν ἀπέθανον ἅπαντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι. Ἐγὼ οὖν, ὁ μὴ ποιήσω Εἰκόνα, τῷ δι' ἐμὲ ὀφθέντος σαρκὸς φύσει; καὶ προσκυνήσω καὶ τιμήσω αὐτὸν διὰ τῆς εἰς τὴν Εἰκόνα αὐτῷ τιμῆς καὶ προσκυνήσεως; εἶδεν Ἀβραὰμ, ὁ φύσιν Θεῷ, Θεὸν γὰρ ἀδεὶς ἑώρακε πώποτε, ἀλλ' Εἰκόνα Θεῷ, καὶ πεσὼν προσεκύνησεν. Εἶδεν Ἰησοῦς ὁ τῷ Ναυῆ, ὁ φύσιν Ἄγγελος, ἀλλ' εἰκόνα, φύσις γὰρ Ἀγγέλου σωματικοῖς ἐχ ὁρᾶται ὀφθαλμοῖς, καὶ πεσὼν προσεκύνησεν. Ὁμοίως καὶ Δανιήλ. Ἄγγελος δὲ ὁ Θεὸς, ἀλλὰ κτίσμα, καὶ δοῦλος Θεῷ, καὶ παραστάτης. προσεκύνησε δὲ, ἐχ ὡς Θεῷ, ἀλλ' ὡς Θεοῦ παραστάτη καὶ λειτουργῷ. Κἀγὼ μὴ ποιήσω εἰκόνα τῶν φίλων Χριστοῦ; καὶ μὴ προσκυνήσω, ἐχ ὡς Θεοῖς, ἀλλ' ὡς εἰκόσι φίλων Θεοῦ; εἴτε γὰρ Ἰησοῦς, εἴτε Δανιὴλ, ὡς Θεοῖς προσεκύνησαν τοῖς ὀφθεῖσιν Ἀγγέλοις. Οὐδὲ ἐγὼ ὡς Θεῷ προσκυνῶ τῇ εἰκόνι, ἀλλὰ διὰ τῆς εἰκόνος καὶ τῶν Ἁγίων, τῷ Θεῷ προσάγω τὴν προσκύνησιν, καὶ τὴν τιμὴν, δι' ὃν καὶ τοὺς αὐτοῦ φίλους σέβω, καὶ δι' αἰδοῦς ἄγω. Οὐχ ἡνώθη φύσει Ἀγγέλων ὁ Θεὸς, ἡνώθη δὲ φύσει ἀνθρώπων. ἐκ ἐγένετο ὁ Θεὸς Ἄγγελος, ἐγένετο δὲ ὁ Θεὸς φύσει καὶ ἀληθείᾳ ἄνθρωπος. ἐ γὰρ δήπε Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Οὐκ ἐγένετο φύσις Ἀγγέλων, Υἱὸς Θεοῦ καθ' ὑπόστασιν, ἐγένετο δὲ φύσις ἀνθρώπε Υἱὸς Θεοῦ καθ' ὑπόστασιν. Οὐ μετέχον Ἄγγελοι, ἐδὲ ἐγένοντο θείας κοινωνοὶ

Fidei immortui sunt hi omnes, non perceptis promissionibus, sed eminus conspectis, & amanter salutatis. Annon igitur ego faciam imaginem illius, qui propter salutem meam natura carnis indutus, homo conspectus est? Nec adorem & honorem ipsum, per imaginis ejus honorem & adorationem? Vidit Abrahamus non naturam Dei (Deum enim nemo vidit unquam) sed imaginem Dei, & ad genua accidens adoravit. Vidit Iosua non naturam Angeli, sed imaginem, (Angeli enim natura corporeis oculis non cernitur) & procidens adoravit. Eodem modo, Danielus. Angelus autem, non est Deus, sed creatura, & servus Dei, & apparitor. Eum Propheta adoravit, non vt Deum, sed ut Dei satellitem & ministrum. Et ego non faciam imaginem amicorum Christi? nec adorem? Non quidem, ut Deos, sed, ut imagines amicorum Dei. Neque enim Iosua, nec Danielus, ut Deos, Angelos adorarunt, qui apparuerant, neque ego, ut Deum, adorabo imaginem: sed per imaginem & Sanctos, Deo offero adorationem & honorem, propter quem Deum, etiam amicos ejus veneror, & reverenter habeo. Non conjunxit se Deus in unum cum natura Angelorum, sed cum natura hominum. Non factus est Deus, Angelus, sed natura & vere factus est homo. Non enim certe Angelos apprehendit, sed semen Abrahami apprehendit. Non facta est natura Angelorum, Filius Dei per hypostasin, seu subsistentiam & personam: sed natura hominis facta est Dei Filius per hypostasin. Non fuerunt Angeli participes, nec facti sunt socii: divi-

γωνοὶ φύσεως, ἀλλ' ἐνεργείας καὶ χάριτος. Ἄνθρωποι δὲ, μετέχεσι, καὶ κοινωνοὶ θείας φύσεως γίνονται, ὅσοι μεταλαμβάνεσι τὸ σῶμα τῦ Χριςῦ τὸ Ἅγιον, καὶ πίνεσι τὸ αἷμα αὐτῦ τὸ τίμιον. Θεότητι γὰρ καθ' ὑπόςασιν ἥνωται, ἡ δύο φύσεις ἐν τῷ μεταλαμβανομένῳ ὑφ' ἡμῶν σώματι τῦ Χριςῦ, ἡνωμένως καθ' ὑπόςασίν εἰσιν ἀδιαςπάςως. Καὶ τῶν δύο φύσεων μετέχομεν. Τῦ σώματος, σωματικῶς, τῆς Θεότητος Πνευματικῶς. Μᾶλλον δὲ ἀμφοῖν κατ' ἄμφω. Οὐ καθ' ὑπόςασιν ταυτιζόμενοι, ὑφιςάμεθα γὰρ πρῶτον, καὶ τότε ἑνόμεθα, κατὰ συναναμιξιν τῦ σώματος ἡ τῦ αἵματος. Καὶ πῶς ὁ μείζονες Ἀγγέλων, οἱ φυλάτλοντες διὰ τῆς τηρήσεως τῶν ἐντολῶν εἰλικρινῆ τὴν ἕνωσιν; Ἡ μὲν φύσις ἡμῶν βραχύτι παρ' ἀγγέλες ἠλατλωμένη, διὰ τὸν θάνατον, καὶ τὴν τῦ σώματος παχύτητα, ἀλλ' εὐδοκίᾳ καὶ συναφείᾳ Θεῦ, γέγονεν Ἀγγέλων μείζων. παρίςανται γὰρ αὐτῇ μετὰ φόβυ καὶ τρόμυ Ἄγγελοι, καθημένῃ ἐπὶ τῦ θρόνυ τῆς δόξης ἐν τῷ Χριςῷ. Καὶ παρασήσονται ἔντρομοι ἐν τῇ κρίσει. ὁ συγκαθεύδοντες, ἐδὲ κοινωνοὶ τῆς Θείας δόξης ὑπὸ τῆς γραφῆς ἐρρήθησαν, εἰσὶ γὰρ πάντες λειτυργικὰ Πνεύματα, εἰς διακονίαν ἀποςελλόμενα, διὰ τὲς μέλλοντας κληρονομεῖν σωτηρίαν. Οὐδ' ὅτι συμβασιλεύσσιν, ἐδ' ὅτι συνδοξαθήσονται, ἐδ' ὅτι ἐπὶ τῆς τραπέζης τῦ Πατρὸς καθίσσιν. Οἱ δὲ Ἅγιοι, Υἱοὶ Θεῦ, καὶ οἱ τῆς Βασιλείας, ἡ κληρονόμοι Θεῦ, ἡ συγκληρονόμοι Χριςῦ. Τιμῶ ἓν τὲς Ἁγίες, καὶ συνδοξάζω τὲς θέλες αὐτῦ, καὶ φίλες,

næ uaturæ: ſed efficaciæ & gratiæ. Homines vero participant, & ſocii naturæ divinæ fiunt, quicunque accipiunt ſanctum Chriſti corpus, & bibunt ſanguinem ejus precioſum. In unum enim cum divinitate coaluit hypoſtatice, & duæ naturæ in corpore Chriſti, quod a nobis percipitur, vnice per hypoſtaſin conjunctæ ſunt, & indivulſe. Ac nos, utriusque naturæ participes reddimur, corporis, corporaliter, divinitatis, ſpiritualiter, vel potius vtriusque, vtroque modo. Non tamen hypoſtatice vnum & idem cum Domino evadimus. Subſiſtimus enim, hoc eſt, ſumus in natura rerum, primo, ac tum demum, vnum cum illo reddimur, contemperatione corporis & ſanguinis. Quomodo jam non majores Angelis ſint, qui obſervatione mandatorum, illam unitionem, ſeu unitatem, ſincere conſervant? Eſt quidem aliquantulum præ Angelis natura noſtra diminuta, propter mortem, & corporis molem, ſed benevola approbatione, & conjunctione, tanquam contactu, Dei, extitit Angelis major. Aſſiſtunt enim ei cum metu & tremore, Angeli, ſedenti ſuper ſolio gloriæ, in Chriſto, & aſtabunt tremebundi, in judicio. Non illi in S. literis dicuntur, una dormientes, neque ſocii gloriæ divinæ, (omnes enim miniſterio & ſervitio addicti Spiritus ſunt, qui miniſtrandi cauſa emittuntur illis, qui ſalutis hæreditatem adituri ſunt) nec, vna regnaturi, nec vna glorificandi, nec ad menſam Patris ſeſſuri, non. Qui ergo hos honores accipient? Sancti homines, Filii Dei, Filii Regni, hæredes Dei, & cohæredes Chriſti. Honoro

φίλους, καὶ συγκληρονόμους. Τοὺς δούλους μὲν ἐκ φύσεως, φίλους δὲ, ἐκ προαιρέσεως, καὶ Υἱοὺς καὶ κληρονόμους, ἐκ θείας χάριτος, ὡς φησιν ὁ Κύριος πρὸς τὸν Πατέρα. Εἰπόντες τοίνυν περὶ Εἰκόνων, εἴπωμεν καὶ περὶ προσκυνήσεως, καὶ πρῶτον τί ἐστι προσκύνησις. Εἶτα λέγει ὁ Ἅγιος περὶ τούτων. εἶτα κατωτέρω, πόσοι τρόποι προσκυνήσεως. πόσα τὰ προσκυνούμενα εὑρίσκομεν ἐν τῇ Γραφῇ, καὶ κατὰ πόσους τρόπους προσάγομεν προσκύνησιν κτίσμασι. Καὶ ὅτι καὶ Ἰακὼβ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου, τύπος δὲ ἦν τοῦ Σωτῆρος. Ὡς καὶ ἡ Σκηνὴ, τύπος ἦν παγκόσμιος. Καὶ τὰ Χερουβὶμ τὰ χρυσᾶ, ἔργον χωνευτὸν. Καὶ τὰ Χερουβὶμ ἐν τῷ καταπετάσματι, ἔργον ὑφαντὸν ἦν. Οὕτω προσκυνῶμεν τὸν τύπον τοῦ Σταυροῦ τὸν τίμιον, τοῦτο σωματικὸν χαρακτῆρος τοῦ Θεοῦ μου τὸ ὁμοίωμα, καὶ τῆς αὐτοῦ Τεκούσης, καὶ τῶν αὐτοῦ Θεραπόντων ὁμοίως. καὶ πάντα σεβάσμια τὰ Θεῷ ἀνακείμενα, ὡς τὰ Ἱερὰ Εὐαγγέλια, δίσκοι, ποτήρια, θυμιατοὶ, λυχνίαι, τράπεζαι. Ὅρα γὰρ, ὅτε Βαλτάσαρ ἐποίησεν ὑπηρετηθῆναι τοὺς λαοὺς τοῖς σκεύεσι τοῖς Ἱερατικοῖς, πῶς καθεῖλεν ὁ Θεὸς τὴν βασιλείαν αὐτοῦ.

Διὸ, ἀδελφοὶ, στῶμεν ἐν τῇ πέτρᾳ τῆς πίστεως, καὶ τῇ παραδόσει τῆς Ἐκκλησίας, μὴ μεταίροντες ὅρια, ἃ ἔθεντο οἱ Ἅγιοι Πατέρες ἡμῶν. Μὴ διδόντες τόπον τοῖς βουλομένοις καινοτομεῖν, καὶ καταλύειν τὴν οἰκοδομὴν τῆς Ἁγίας τοῦ Θεοῦ, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Εἰ γὰρ δοθῇ ἄδεια παντὶ βουλομένῳ, κατὰ μικρὸν ὅλον τὸ σῶμα τῆς Ἐκκλησίας καταλυθήσεται. μὴ ἀδελφοὶ, μὴ τέκνα φιλόχριστα τῆς Θεοῦ Ἐκκλη-

noro igitur Sanctos, conglorifico ſervos ejus, & amicos, & cohæredes. Servos quidem, natura, amicos autem, voluntate & inſtituto, filios vero, & hæredes, per divinam gratiam, ſicut Dominus ad Patrem inquit. Diximus de imaginibus, dicamus etiam de adoratione, & primum, quid ſit adoratio. Deinde exponit Sanctus de his. Deinde inferius, quot modi ſint adorationis, quotnam, quæ adorentur, reperiantur in ſcriptura, & quot modis adhibeamus adorationem creaturis. Item, quod Iacobus adoraverit ſupra ſummum virgæ, quæ fuerit typus Salvatoris. Sicut ſcilicet Tabernaculum, typus totius mundi erat, & aurea Cherubim, opus conflatile: & in velo Cherubim, opus textile: ſic adoramus figuram crucis venerabilem, & corporalis effigiei Dei noſtri ſimilitudinem, & Genitricis ejus, & ſimiliter famulorum ipſius. Omnes item venerabiles, Deo dicatas res, vt ſunt ſacri Evangeliorum libri, diſci, calices, thuribula, candelabra, menſæ. Vide enim quomodo Deus deſtruxerit Balthaſaris Regnum, cum is vaſa ſacra ad vſum prophanum transtuliſſet.

Stemus itaque fratres, in petra fidei, & traditione Eccleſiæ, non transferentes terminos, a S. Patribus noſtris poſitos, non dantes locum illis, qui rebus novis ſtudent, & ædificium ſanctæ Dei, Catholicæ, & Apoſtolicæ, Eccleſiæ, dejicere conantur. Si enim talis licentia cuilibet concedetur, paulatim totum Eccleſiæ corpus deſtruetur. Vos vero ne ſic, fratres; ne ſic, Chriſti amantes divinæ Eccleſiæ filii: ſed adoremus cultu divino ſolum con-

Ἐκκλησίας. ἀλλὰ προσκυνήσωμεν, καὶ λατρεύσωμεν μόνῳ τῷ κτίσῃ καὶ δημιουργῷ, ὡς φύσει προσκυνητῷ Θεῷ. προσκυνήσωμεν τῇ Ἁγίᾳ Θεοτόκῳ, οὐχ ὡς Θεῷ, ἀλλ' ὡς Μητέρι Θεοῦ κατὰ σάρκα. Καὶ προσκυνήσωμεν καὶ τοῖς Ἁγίοις, ὡς ἐκλεκτοῖς φίλοις Θεοῦ, καὶ παῤῥησίαν ἔχουσι πρὸς αὐτόν. Εἰ γὰρ βασιλεῦσι φθαρτοῖς, πολλάκις καὶ ἀσεβέσι, καὶ ἁμαρτωλοῖς, καὶ ἄρχουσι, καὶ ἄλλοις προσκυνοῦσιν ἄνθρωποι, κατὰ τὸν Θεῖον Ἀπόστολον. Ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθε. Καὶ ἀπόδοτε τὰς ὀφειλὰς καὶ τὰ λοιπά. πόσῳ μᾶλλον ἐχρὴν προσκυνεῖν τῷ Βασιλεῖ τῶν βασιλευόντων, ὡς μόνῳ φύσει δεσπόζοντι, καὶ τοῖς αὐτοῦ δούλοις καὶ βασιλεῦσι παθῶν. Καὶ Δαβὶδ ἐν Ψαλμῷ μδ'. φησίν. Ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν καταστήσεις αὐτούς. Κατὰ δαιμόνων, καὶ νόσων ἐξουσίαν ἔλαβον. καὶ συμβασιλεύσουσι Χριστῷ. καὶ τούτων ἡ σκιὰ μόνη, νόσους καὶ δαίμονας ἀπήλαυνε. μὴ οὖν σκιᾶς ἀσθενεστέραν καὶ ἀτιμοτέραν λογισώμεθα τὴν Εἰκόνα. Σκιαγραφεῖ γὰρ ἀληθῶς τὸ πρωτότυπον. Ἀδελφοὶ ὁ Χριστιανὸς, πίστις ἐστίν. Ὁ οὖν πίστει προσερχόμενος, κερδανεῖ πολλά. Ὁ δὲ διακρινόμενος, ἔοικε κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ, ὃς οὐ μὴ λήψεταί τι. Πάντες οἱ Ἅγιοι διὰ πίστεως εὐηρέστησαν τῷ Θεῷ, ἔργοις καλοῖς ταύτην ἐπικυρώντες καὶ δεικνύοντες ἅπασιν.

Δεξώμεθα οὖν τὴν παράδοσιν τῆς Ἐκκλησίας ἐν εὐθύτητι καρδίας, καὶ μὴ ἐν πολλοῖς λογισμοῖς. Ὁ Θεὸς γὰρ ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, αὐτοὶ δὲ ἐζήτησαν λογισμοὺς πολλούς. Μὴ καταδεξώμεθα νέαν πίστιν μαθεῖν, ὡς κατεγνωσμέ-

conditorem & opificem rerum, ut natura adorandum Deum, adoremus ſanctam Deiparam, non quidem ut Deam, ſed ut matrem Dei, ratione carnis, adoremus & Sanctos, ut electos amicos Dei, & fidenter eum appellandi poteſtatem habentes. Etenim ſi mortalibus Regibus, & ſæpe impiis ac peccatoribus, & Principibus ac magiſtratibus, aliisque, adorationis reverentia declaratur, & id ex divini Apoſtoli præcepto (Magiſtratibus & poteſtatibus ſubjecti eſtote, &, quod debetis, reddite, &c.) quanto magis adorandus erat ille Rex Regnantium, tanquam ſolus natura dominator, & ſervi ipſius perturbationum animorum Reges? Ait 44. Pſalmo David: Principes ſuper omnem terram conſtitues eos. In Dæmones & morbos poteſtatem acceperunt, cum Chriſto regnabunt, horum duntaxat umbra, morbos & Dæmones fugavit. Ne committamus igitur, ut umbra imbecilliorem & contemptiorem exiſtimemus imaginem. Adumbrat enim hæc revera Prototypum. Fratres, Chriſtiani propria nota, fides eſt. Qui igitur fide incedit, multum lucrabitur. Qui vero hæſitat, ſimilis eſt procellæ maris, ventis agitatæ & jactatæ, qui non accipiet quicquam. Omnes Sancti fide placuerunt Deo, benefactis eam comprobantes, omnibusque conſpiciendum proponentes.

Recipiamus igitur traditionem Eccleſiæ recto corde, non variis cogitationibus. Nam Deus hominem condiderat ſimplicem & rectum, ipſi vero quæſiverunt rationes multas. Ne committamus, ut novam Fidem diſcamus, tanquam condemnata

σμένης τῆς τῶν Ἁγίων Πατέρων παραδόσεως. Φησὶ γὰρ ὁ Θεῖος Ἀπόστολος, εἴ τις ὑμᾶς εὐαγγελίζεται, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Προσκυνῶμεν ἐν ταῖς Εἰκόσιν, οὐ τῇ ὕλῃ προσφέροντες τὴν προσκύνησιν, ἀλλὰ δι' αὐτῶν τοῖς ἐν αὐταῖς εἰκονιζομένοις. Ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει, ὡς ὁ Θεῖος ἔφη Βασίλειος. Ὑμᾶς δὲ, τὸ Χριστοῦ Ἱερὸν Ποίμνιον, ἐμπλήσαι ταῦτα Θεὸς, καὶ καταξιῶσαι, ἑπομένους τοῖς ἴχνεσι τῶν Ἁγίων, τῶν Ποιμένων καὶ Διδασκάλων τῆς Ἐκκλησίας, προσαγομένους, τυχεῖν τῆς δόξης αὐτοῦ, ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν τῇ αὐτοῦ χάριτι, αἰωνίως αὐτὸν δοξάζοντας. αὐτῷ γὰρ ἡ δόξα, Ἀμήν.

Τούτοις δὲ τέλος θεὶς ὁ Ἅγιος, καὶ διδάξας, ὡς ἔδει, καὶ χρήσεις Ἁγίων ἐπάγει, Διονυσίᾳ Ἐπισκόπῳ Ἀθηνῶν, ἐκ τῆς πρὸς Ἰωάννην τὸν Ἀπόστολον Ἐπιστολῆς. Ἀληθῶς ἐμφανεῖς Εἰκόνες εἰσὶ, τὰ ὁρατὰ τῶν ἀοράτων. Καὶ ἄλλα ὅμοια. ἐκ τοῦ περὶ Ἐκκλησιαστικῆς Ἱεραρχίας, καὶ ἄλλων. Βασίλειον, ἐκ τοῦ λόγου τοῦ εἰς τὸν Μάρτυρα Βαρλαάμ. Ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα, ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. Καὶ παρακατιών. ἐγγραφέσθω τῷ πίνακι, καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός. Καὶ ἐκ τοῦ λόγου τοῦ εἰς τοὺς Ἁγίους Μ'. Ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα, καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν. Οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ, τοῖς πίναξιν ἐγχαράττ-

mnata Sanctorum Patrum traditione. Inquit enim Sanctus Apostolus: Si quis aliud, quam quod accepistis, Evangelium prædicaverit, execratus esto.

Adoramus itaque imagines eo modo, vt non ipsi materiæ exhibeamus reverentiam, sed imaginum interventu illis, qui per ipsas significantur. Honos enim qui imagini habetur, ad Prototypum transit, sicut D. Basilius ait: Vestris autem animis, sacer Christi grex, hæc Deus affatim infundat, digneturque vos (sequentes vestigia Sanctorum, voce Pastorum, & Doctorum Ecclesiæ adductos) adeptione gloriæ suæ in illo splendidissimo statu Sanctorum, cujus etiam nos omnes, per gratiam ipsius compotes fiamus, æternis ipsum laudibus celebrantes, cui omnis debetur gloria, Amen.

His finitis & recte ordineque pertractatis, etiam Sanctorum testimonia, seu autoritates, Sanctus adducit. Dionysii, Athenarum Episcopi, ex epistola ad Ioannem Apostolum. Vere manifestæ imagines, sunt visibilia, invisibilium. Et alia similia, ex ecclesiastica Hierarchia, & aliis. Et Basilii, ex Concione de Martyre Barlaamo. Surgite nunc mihi, clari rerum ab Athletis fortissime gestarum Pictores, angustè pictam Ducis imaginem vestræ artis solertia magnam facite. Et aliquanto post: Pingatur in eadem tabula etiam Præfectus palæstricorum certaminum Christus. Et ex oratione in Sanctos quadraginta. Quandoquidem etiam res bello fortiter gestas, tum Historici sæpe, tum Pictores, memoriæ produnt: illi, oratione ornantes, hi, in tabulis depingentes &c. Alia item, quæ in orationibus ejus, quas

de

ράτλοντες, καὶ τὰ ἑξῆς. Καὶ ὅσα ἄλλα ἐν τοῖς μαρτυρικοῖς αὐτῦ λόγοις ἐγκατέσπαρται θαυμάσια, καὶ ἐν ἄλλαις τῶν ἐξηγήσεων αὐτῦ. ἀλλὰ καὶ ἐν τῇ ἑρμηνείᾳ τῇ εἰς τὸν Ἡσαΐαν, λέγει. Ἐπειδὴ εἶδε τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεῦ, μὴ δυνάμενος εἰς Θεὸν τραπῆναι, εἰς τὴν Εἰκόνα τῦ Θεῦ τὴν ἑαυτῦ πονηρίαν ἐκένωσεν, ὥσπερ εἴ τις ἄνθρωπος ὀργιζόμενος, τὴν Εἰκόνα λιθάζει, ἐπειδὴ τὸν βασιλέα ἃ δύναται, τὸ ξύλον τύπλων τὸ τὴν μίμησιν ἔχον. Οὕτω καὶ πᾶς ὁ τιμῶν τὴν Εἰκόνα, τὸ ἀρχέτυπον δηλονότι τιμᾷ, καὶ ἄλλα λέγει πολλὰ τέτων ἕνεκα. Ἀλλὰ καὶ ὁ Ἅγιος Ἀθανάσιος, ἐκ τῶν πρὸς Ἀντίοχον λζ. ἐχ ὡς Θεὸς τὰς Εἰκόνας προσκυνῦμεν οἱ πιστοὶ, μὴ γένοιτο, ὥσπερ οἱ Ἕλληνες, ἀλλὰ τὴν σχέσιν μόνον καὶ τὸν πόθον τῆς ἡμῶν ἀγάπης, πρὸς τὸν χαρακτῆρα τῦ προσώπυ τῆς Εἰκόνος ἐμφανίζοντες. ὅθεν πολλάκις τῦ χαρακτῆρος λεανθέντος, ὡς ξύλον λοιπὸν ἀργὸν τὴν ποτὲ εἰκόνα κατακαίομεν. ὥσπερ ἓν ὁ Ἰακὼβ μέλλων τελευτᾶν, ἐπὶ τὸ ἄκρον τῆς ῥάβδε τῦ Ἰωσὴφ προσεκύνησεν, ἃ τὴν ῥάβδον τιμῶν, ἀλλὰ τὸν ταύτην κατέχοντα, ἕτως οἱ πιστοὶ, ἃ δι' ἑτέρου τρόπον τὰς Εἰκόνας ἀσπαζόμεθα. ὥσπερ καὶ τὰ τέκνα ἡμῶν, πολλάκις καταφιλῦντες, ἵνα τὸν πόθον τῆς ἡμετέρας ψυχῆς ἐμφανίσωμεν. ὥσπερ καὶ Ἰσδαῖος τὰς τῦ Νόμε ποτὲ πλάκας, καὶ τὰ δύο Χερεβὶμ τὰ χρυσᾶ καὶ γλυπτὰ προσεκύνει, ἃ τιμῶν τὴν τῦ λίθε καὶ χρυσίε φύσιν, ἀλλὰ τὸν ταῦτα ἐπιτρέψαντα Κύριον. καὶ τῦ Ἁγίε Κυρίλλε Ἀλεξανδρείας, ἐκ τῦ προσφωνητικῦ πρὸς τὸν βασιλέα Θεοδόσιον. αἱ δὲ εἰκόνες, ὥσπερ τὰ ἀρχέτυπα,

de Martyribus ſcripſit, inſperſa ſunt mirabilia, & alibi in Commentationibus ejus. Idem & in Eſaiæ interpretatione dicit: Poſtquam vidit hominem ad imaginem & ſimilitudinem Dei factum, cum non poſſet in Deum facere impetum, in imaginem hujus, ſuam effudit malitiam & ſcelus: perinde faciens, ut ſi quis homo ira percitus, Regi nocere non valens, imaginem ejus lapidibus peteret, lignum verberando Regis effigiem habens. Sic unusquiſque qui honorat imaginem, Archetypum utique honorat. Et alia multa in hanc ſententiam addit. Sed & S. Athanaſii, ad Antiochum 38. dicentis. Non, ut Deos, imagines adoramus, qui fide præditi ſumus, (abſit) ſicut Græci (gentes) faciunt, ſed affectionem tantum animi, & deſiderium charitatis noſtræ, erga faciem imaginis belle expreſſam declaramus. Vnde ſane fit, ut effigie deleta, tanquam inutile lignum, illam, quæ aliquando erat, imaginem comburamus. Sicut igitur Iacobus moriturus, ſuper ſummitatem virgæ Ioſephi adoravit, non virgam, ſed illum, qui eam tenebat, honorandi cauſa: ita etiam Fideles, nulla alia ratione imagines amplectimur, ſicut ſæpe liberos noſtros deoſculamur, ut ſic animi noſtri affectum & deſiderium teſtemur. Sicut ſcilicet olim Iudæi, tabulas Legis & ambo Cherubim, & aurea & ſculpta, adorabant, non ut lapidis & auri naturam honorarent, ſed Dominum, qui hæc permiſerat. Et S. Cyrilli Alexandrini, ex Prosphonetico ad Imp. Theodoſium. Imagines (inquit) ſicut archetypa. Eodem enim modo illæ, & non aliter, ſe habere debent. Item Gregorii

Nazian-

χέτυπα. δεῖ γὰρ ἕτως αὐτὰς, καὶ ἐχ ἑτέρως ἔχειν. Γρηγορίᾳ τε τῷ Ναζιανζῷ, ἐκ τῷ περὶ Υἱῷ λόγῳ δευτέρῳ, αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τῷ ἀρχετύπῳ, ἧ ἔ λέγεται. Καὶ Χρυσοστόμῳ, ἐκ τῷ πρὸς Κολασσαεῖς λόγῳ ζ'. ἡ τῷ ἀορἀτῳ εἰκὼν, ἧ αὕτη ἀόρατος. Καὶ τὰ ἑξῆς. εὑρήσεις δὲ καὶ ἐν ἄλλοις συγγράμμασιν αὐτῷ πολλὰ περὶ εἰκόνων τιμῆς. ἀλλὰ καὶ ἐκ τῶν λόγων Σευηριανῷ Γαβάλων, ἀπὸ λόγῳ τῷ εἰς τὰ ἐγκαίνια τῷ τιμίῳ Σταυρῷ, ἀκῶσαι ἄξιον, λέγοντος. πῶς ἔν ἡ εἰκὼν τῷ ἐπικαταράτῳ, ἤνεγκε τῷ λαῷ, ἐν συμφορᾷ χειμαζομένῳ, σωτηρίαν; ἆρα ἔν ἐκ ἦν ἀξιοπιστότερον εἰπεῖν, ἐάν τις ὑμῶν δηχθῇ, βλέψει εἰς τὸν ἀρανὸν, ἄνω πρὸς τὸν Θεὸν, καὶ σωθήσεται, ἢ εἰς τὴν Σκηνὴν τῷ Θεῷ; ἀλλὰ ταῦτα παριδὼν, μόνον τὴν εἰκόνα τῷ Σταυρῷ ἔπηξε. διὰ τὶ ἔν ἐποίει Μωσῆς ταῦτα, ὁ εἰπὼν τῷ λαῷ, ἃ ποιήσεις σεαυτῷ γλυπτὸν, ἀδὲ χωνευτὸν, ἀδὲ πᾶν ὁμοίωμα, ὅσα ἐν τῷ Οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

Ὁ ἀπαγορεύεις ποιεῖς; ὃ ἀνατρέπεις κατασκευάζεις; ὁ τὸν χωνευθέντα βῶν κατολέσας, σὺ ὄφιν χαλκεργεῖς; καὶ τῦτον ἃ λάθρα, ἀλλὰ καὶ ἀναφανδὸν καὶ πᾶσι γνωστὸν; ἀλλ' ἐκεῖνά φησιν, ἐνομοθέτησα, ἵνα ἐκκόψω τὰς ὕλας τῆς ἀσεβείας, καὶ τὸν λαὸν ἀπαγάγω εἰδωλολατρείας. νῦν δὲ χωνεύω τὸν ὄφιν, χρησίμως εἰς προτύπωσιν τῆς ἀληθείας. καὶ καθάπερ Σκηνὴν ἔπηξα, καὶ τὰ ἐν αὐτῇ πάντα, καὶ Χερεβὶμ, ὁμοίωμα τῶν ἀοράτων διεπέτασα εἰς τὰ Ἅγια, ὡς τύπον καὶ σκιὰν τῶν μελλόντων, ἕτω

Nazianzeni, oratione de Filio 2. Hæc enim imaginis natura eſt, ut ſit imitamentum exemplaris, & cujus dicitur eſſe. Et Chryſoſtomi, Sermone ad Coloſſaënſes 3. Ejus, qui inviſibilis eſt, imago, ipſa quoque inviſibilis &c. Invenies etiam in aliis ejus ſcriptis multa de honore imaginum. Nec non e Sermonibus Severiani, Gabalenſis Epiſcopi, operæ pretium eſt audire, quid in Sermone de Encæniis ſanctæ crucis dicat. Quomodo igitur imago illius execrati, attulit populo, tempeſtate calamitatis jactato, ſalutem? Annon erat ad fidem faciendam convenientius, dicere: Si quis veſtrum admorſus fuerit, ſuſpiciat in cœlum ad Deum, & conſervabitur, aut in Tabernaculum Dei reſpiciat. Nunc his prætermiſſis, tantum imaginem crucis defixit. Cur igitur Moſes fecit hæc, qui populo dixerat? Non facies tibi ſimulacrum ſculptum, nec fuſum, nec ullam ſimilitudinem rerum, quæ vel ſupra in cœlo ſunt, vel infra in terra, vel in aquis ſub terra.

Tune', quod prohibes, facis? Quod evertis, conſtruis? Qui conflatum bovem diſperdidiſti, ſerpentem ex ære fabricas? Nec eum clam, ſed & palam, & in oculis omnium? At illa (reſpondebit Moſes) lege ſanxi: ut excindam materiam impietatis, & populum a cultu idolorum abducam. Nunc vero utiliter conflo ſerpentem, ad præfigurationem veritatis. Nam quemadmodum tabernaculum extruxi, &, quæ in eo ſunt, omnia, & Cherubim ad ſimilitudinem inviſibilium expandi in Sancta, tanquam typum & umbram

ἔτω καὶ ὄφιν ἐσήλωσα, εἰς σωτηρίαν τῷ λαῷ, ἵνα τῆς πείρας τότων, προγυμνάσω τὲ σημείῳ τὲ Σταυρὲ τὴν Εἰκόνα, καὶ τὸν ἐν αὐτῷ σωτῆρα καὶ λυτρωτήν. Καὶ ὅτι ἀψευδέσατος, ὁ λόγος ἀγαπητοὶ, ἀκέσωμεν τὲ Κυρίε βεβαιῶντος καὶ λέγοντος. (Ἰωάνν. κεφ. γ'.) καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, ἔτω δεῖ ὑψωθῆναι τὸν Υἱὸν τὲ ἀνθρώπε. Ἵνα πᾶς ὁ πιςεύων εἰς αὐτὸν μὴ ἀπόλυται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὥσπερ ἓν ὁ μὴ τιμῶν τὸν Υἱὸν, καθὼς φησιν ὁ Κύριος, ἐ τιμᾷ τὸν Πατέρα, ἔτω καὶ ὁ μὴ τιμῶν τὴν Εἰκόνα, ἐδὲ τὸν εἰκονιζόμενον τιμᾷ. ἀλλὰ καὶ περὶ τῶν Ἁγίων, ἄκεσον τὲ Κυρίε, (Ματθαίε, ι.) λέγοντος τοῖς μαθηταῖς. ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. ὥςε ὁ μὴ τιμῶν τὲς Ἁγίες, ἐδὲ αὐτὸν τιμᾷ τὸν Κύριον. ὁ μὴ προσκυνῶν τὸν Σταυρὸν, ἐδὲ τὸν ςαυρωθέντα προσκυνεῖν δίκαιον. Οὐ γὰρ τὴν φύσιν τὲ ξύλε, πάντα γὰρ προσκυνείημεν ἂν τὰ ξύλα, ὥσπερ ὁ Ισραὴλ, τὰ ἄλση καὶ τὰ δένδρα προσεκύνει, λέγων σύ μὲ εἶ Θεός. ἡμεῖς δὲ ἐχ ἔτως, ἀλλὰ μνήμην καὶ γραφὴν τῶν τὲ Κυρίε παθημάτων, καὶ τῶν δι' αὐτῶν ἀθλησάντων. Δεικνύοντες τὴν τῆς ψυχῆς ἡμῶν γνησίαν πρὸς τὸν ςαυρωθέντα διάθεσιν, καὶ πρὸς τὲς αὐτὲ θεράποντας.

Ἀλλὰ καὶ ἐκ τῆς Ἁγίας ς'. Συνόδε τῆς ἐπὶ Ἰεσινιανῆ, περὶ τῆς Ἁγίας ε. Συνόδε. ἔν τισι τῶν σεπτῶν Εἰκόνων γραφαῖς, Ἀμνὸς, δακτύλῳ τὲ Προδρόμε δεικνύμενος, ἐγχαράτλεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμε προϋποφαίνων Ἀμνὸν, Χριbram futurorum, eo modo & ſerpentem conſtitui ad ſalutem populi, u , antequ m res ipſæ evenerint, exercitii cauſa im ginem ſigni crucis, & in ea pendentis Redemptoris & conſervatoris, proponam. Quod veriſſima ſit hæc ſententia, audiamus, dilecti, ipſum Dominum, am his verbis confirmantem. Ac, quemadmodum Moſes exaltavit Serpentem in deſerto, ita exaltari oportet Filium hominis, ut omnis, qui credit in ipſum, non pereat, ſed habeat vitam æternam. Vt igitur, qui non honorat Filium, (ſicut ait Dominus) non honorat Patrem: ſic, qui non honorat imaginem, nec illum, quem imago refert, honorat. Sed & de Sanctis, quid Dominus Matth. 10. diſcipulis dicat, audi. Qui recipit vos, me recipit. Quare, qui non honorat Sanctos, is nec ipſum honorat Dominum. Qui non adorat crucem, eum, ne quidem Dominum crucifixum adorare, juſſum eſt. Non quidem certe naturam ligni, (alioqui omnia adoraremus ligna, ſicut Iſraelitæ, lucos & arbores adorabant, dicentes; Tu, meus es Deus) non ita nos: ſed memoriam & picturam perpeſſionum Domini, & eorum, qui his animati, certamina ſubierunt, ut ſic oſtendamus animorum noſtrorum germanam erga crucifixum, & miniſtros ejus, affectionem & obſervantiam.

Idem etiam e VI. ſancta Synodo, Iuſtiniano Imp. de ſancta V. Synodo, celebrata, oſtenditur. In quibusdam venerabilium imaginum picturis, agnus digito præcurſoris monſtratus, effingitur, qui agnus in typum receptus eſt gratiæ, verum nobis, in lege traditum, præſignigni-

Χριστὸν τὸν Θεὸν ἡμῶν. τὰς ἓν παλαιὰς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ Ἐκκλησίᾳ παραδεδομένας, κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεχόμενοι. ὡς ἂν ἓν τὸ τέλειον, καὶν ταῖς χρωματουργίαις, ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφωμεν, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου Ἀμνὸν, Χριστὸν Θεὸν ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα, καὶ ἐν ταῖς εἰκόσιν, ἀπὸ τοῦ νῦν, ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀνατεθῆναι ὁρίζομεν. διὰ τῆς ταπεινώσεως, τὸ ὕψος τοῦ Θεοῦ Λόγου κατανοοῦντες. Καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, καὶ τοῦ πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου, χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

Ἀλλὰ καὶ μετὰ ταῦτα πάντα, δίκαιον ὑπομνῆσαι ὑμᾶς εἰδότας, ὅτι ἡ Ἁγία καὶ Οἰκουμενικὴ ζ'. Σύνοδος τῶν τοζ'. Θεοφόρων Πατέρων, συνηθροίσθη ἐν Νικαίᾳ, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, κατὰ τῶν εἰκονομάχων. καὶ ἐκυρώθη, τὰς Σεπτὰς Εἰκόνας καὶ προσκυνεῖσθαι καὶ σέβεσθαι. καὶ τὰ Ἱερὰ ἐκτυπώματα, ἐν τοῖς Θείοις Ναοῖς ἀνεσήλωντο. Καὶ ἐπιτίμιον φοβερὸν ἐξεφώνησεν ἡ Ἁγία αὕτη Σύνοδος, κατὰ τῶν ἀθετούντων τὰς Ἁγίας Εἰκόνας. Εἴτις δὲ προσκυνεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν εἰκόνι περιγραπτὸν κατὰ τὸ ἀνθρώπινον, ἤτω ἀνάθεμα. ὡς γὰρ ὁ Θεολογικώτατος Ἰωάννης ὁ Εὐαγγελιστὴς λέγει. (ἐπιστ. ά. κεφ. ά.) ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν, ὃ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖ-

gnificans agnum, Christum Deum noſtrum. Cum igitur veteres typos & umbras, ut veritatis ſymbola, & antegreſſas notas, Eccleſiæ tradita amplectimur: tum multo magis gratiam & veritatem, ut legis impletionem, recipimus & honoramus. Vt igitur illud, quod jam exitu perfectum eſt, etiam artificio colorum, omnium oculis ſubjiciamus, eum, qui peccata mundi tollit, agnum, Chriſtum Deum noſtrum, humana effigie, inter cæteras quoque imagines poſtmodum veteris agni erigendum ſancimus, vt hoc modo, ex humiliatione excelſitatem Dei Logi conſideremus, & ad recordationem ipſius, in ſpecie humana converſationis, & paſſionis, & ſalutaris mortis, & hinc ortæ mundo redemptionis, veluti manu ducamur.

Vltra hæc omnia, æquum eſt, ſcientes vos, commonefieri de VII. ſancta œcumenica Synodo. Congregata fuit hæc, 377. Spiritu S. plenorum patrum, Nicææ, Conſtantino & Irena Impp. adverſus Iconomachos, & in ea ſancitum, venerabiles imagines, & adorandas & colendas eſſe. Sacræ itaque figuræ, in Templis reſtitutæ ſunt, & graviſſima pœna, ab eadem Synodo in illarum contemptores promulgata. Si quis, inquit, non adorat Dominum noſtrum Ieſum Chriſtum, imagine, quoad humanam formam, circumſcriptum, anathema eſto. Nam ſicut ſummus Theologus Ioannes Evangeliſta ait: Quod erat ab initio, quod audivimus, quod vidimus, quod contemplati ſumus oculis noſtris, & manus noſtræ contrectaverunt, de verbo vitæ: hoc omne

αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς, ταῦτα μαρτυροῦμεν. καὶ οἱ ἄλλοι Μαθηταὶ, καὶ συνεφάγομεν αὐτῷ, καὶ συνεπίομεν, οὐ πρὸ τοῦ πάθους μόνον, ἀλλὰ καὶ μετὰ τὸ πάθος, καὶ τὴν ἀνάστασιν. διὰ τοῦτο ἃ ἑωράθη καὶ ψηλαφηθέντα εἰκονογραφοῦμεν, καὶ προσκυνοῦμεν ὡς οἱ Προφῆται εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέδωκε καὶ παρέλαβεν, οἱ Διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ Οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, ἕτω φρονοῦμεν, ἕτω λαλοῦμεν, ἕτω κηρύσσομεν. Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς αὐτοῦ Ἁγίους, ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν θυσίαις, ἐν ναοῖς, ἐν εἰκονίσμασι. τὸν μὲν ὡς Θεὸν καὶ Δεσπότην σέβοντες, τοὺς δὲ, δι' αὐτὸν, ὡς γνησίους θεράποντας, τιμῶντες, καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες. λατρευτικὴν δὲ προσκύνησιν ἑδενὶ ἀπονέμομεν, πλὴν μόνῳ τῷ Θεῷ. ἀλλὰ καὶ τοῦ ἀναθέματος ἔκρινεν αὕτη ἡ ζ'. Οἰκουμενικὴ τοὺς λατρευτικῶς προσκυνοῦντας. ὡς καὶ τοὺς τὴν ἔνσαρκον τοῦ Θεοῦ οἰκονομίαν, λόγῳ μὲν δεχομένους, ὁρᾶν δὲ ταύτην δι' εἰκόνων οὐ καταδεχομένους, καὶ διὰ τοῦτο ῥήμασι σχηματίζονται, πράγματι δὲ ἀρνοῦνται, κατεύχεται. ὥρισεν ἓν ἡ Σύνοδος, ὡς τὰ πρακτικὰ αὐτῆς γράφει, καὶ ὡς ἐσταυρώθη, καὶ ὡς ἐτάφη, καὶ ὡς ἀνέστη, καὶ ὡς πάντα δι' ἡμᾶς ἐποίησεν, εἰκονίζεσθαι, ὡς παγκόσμια καὶ σωτήρια ἔργα. Ἰουδαίων γὰρ καὶ Ἑλλήνων κρίνουσι, τὸ ἀμέσως εἰς τὸ πρωτότυπον βλασφημεῖν, τῶν μὴ δεχομένων δὲ τὴν προσκύνησιν τῶν Θείων Εἰκόνων, διὰ τῆς αὐτοῦ

testamur, & cæteri discipuli, cum eo comedimus, & una bibimus, non ante passionem modo, sed post passionem etiam, & resurrectionem: ita propter hanc causam, eorum, quæ visu & contactu percepta sunt, nos imagines pingimus, & adoramus. Sicut scilicet Prophetæ viderunt, sicut Apostoli docuerunt, sicut Ecclesia accepit & tradidit, sicut Doctores decreverunt, sicut orbis terrarum consensit, sicut gratiæ splendor luxit, sicut veritas demonstrata est, sic sentimus, sic loquimur, sic prædicamus: Christum, verum Deum nostrum, & Sanctos ejus, verbis, picturis, sacrificiis, templis, imaginibus, honorantes, illum quidem vt Deum & Dominum, venerantes, hos autem, propter illum, ut germanos famulos, Schetica illa adoratione afficientes: Latreutice vero neminem, præter solum Deum, adorantes, quippe quod anathematis quoque pœna a VII. Synodo cautum sit, sicut eadem illos, qui Dei in carne peractam dispensationem, verbo quidem recipiunt, imagine vero repræsentatam non sustinent, (ideoque verbis simulant, re abnegant) execratur. Definivit igitur illa Synodus, jussitque (sicut ex actis ejus liquet) Christi & crucifixionem, & sepulturam, & resurrectionem, & quicquid ob salutem nostram fecit, imaginibus pictis efformanda esse, tanquam toti terrarum orbi salutaria opera. Iudæorum enim & Gentilium esse existimant, immediate blasphemiis in Prototypum invadere, eorum vero, qui adorationem S. imaginum respuunt, mediate (per ipsius imaginem) in eum, qui imagine effictus est, contumelioſos esse. Cum

igi-

αὐτῶ εἰκόνος, εἰς αὐτὸν τὸν εἰκονιζόμενον. τέτων τοίνυν ἐυσεβῶς ἀναμνηθέντων καὶ ὑμῖν, οἴδατε γὰρ ὡς σπεδαιότατοι, μακάριοι δὲ μόνον, ἐὰν φυλάξηθε, λιπαρῶμεν τὴν ὑμετέραν ἀγάπην, μιμητὰς τῶν ἐνθέως ζησάντων, ἀναφανῆναι. ὃ ἐυχόμενοι ἐ παύομεν ἀξιωθῆναι ὑμᾶς. οἰκτιρμοῖς καὶ χάριτι τῦ μεγάλε, καὶ πρώτε ἀρχιερέως Χριτῦ τῦ ἀληθινῦ Θεῦ ἡμῶν. πρεσβείαις τῆς ὑπερευλογημένης ἐνδόξε Δεσποίνης ἡμῶν Θεοτόκε καὶ ἀειπαρθένε Μαρίας, τῶν Θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων, Ἀμήν.

igitur, de his omnibus, pie tantum vos commonefecerimus: (noſtis enim, pro maximo veſtro ſtudio & diligentia, antea. Tantum beati eritis, ſi feceritis) obſecramus veſtram charitatem, ut imitatores illorum, qui Divino ſpiritu pleni vixerunt, exiſtatis. Quæ gratia, non ceſſamus orare, vt vobis contingat, miſerationibus & gratia magni illius, & primi Pontificis, Chriſti veri Dei noſtri, interceſſionibus ſumme benedictæ & glorioſæ Dominæ noſtræ Deiparæ ſemper virginis Mariæ, Dei ſimilium Angelorum, & omnium Sanctorum, Amen.

ΠΕΡΙ ΜΟΝΑΣΤΙΚΗΣ πολιτείας.

DE MONASTICA vita.

Ετι καὶ πρὸς τὸ ἕκτον ὃ λέγετε τῆς Μοναστικῆς πολιτείας, ἐγνώκαμεν, ὅτι ἐκ μέρες μὲν ἐ κακίζετε τὸ ὑπάρξαι ποτὲ Θεοσεβεῖς τινας ἀνθρώπες, ὃς Ἀββάδας καὶ ἀρχιμανδρίτας ἡ τάξις ὠνόμασεν. ἐκ μέρες δὲ πάλιν τὴν διαγωγὴν ἐκείνων, ὡς μετὰ πολλῆς παρατηρήσεως καὶ ἀναχωρήσεως ἐ καταδέχεσθε. προφέροντες τὸ τῆς φύσεως τρεπτὸν, καὶ ἀδύνατον ὑποφέρειν. φορτιζομένης φορτία δυσβάσακτα, καὶ κατακλειομένης ὡς ἐν εἱρκτῆ.

Nunc ad ſextum caput, in quo de Monaſtica politia agitis. Ibi ex parte, ut intelleximus, non reprehenditis, extitiſſe olim pios quosdam viros, quos ordo ille Abbadas (Monachos) & Archimandritas nominavit. Ex parte vero, genus illud vitæ, ut multa obſervatione, & e communi vita receſſu, conſtans, non admittitis, cauſantes naturæ imbecillitatem & mutabilitatem, quæ neutiquam ferre poſſit tot, & tam gravia, onera, & velut in carcere quodam concludatur.

Ἐφ' οἷς ἡμεῖς ἀποκρινόμενοι, λέγομεν. ὅτι καὶ οἱ πάλαι ἐκεῖνοι Ἀββάδες, ἀναγκαίως μετὰ κερᾶς καὶ ἐυχῆς τῶ Μοναδικῶ προσήρχοντο βίω. κατὰ δὲ τὸν τύπον τῦτον καὶ νῦν γίνεται. Καὶ πρῶτον μὲν ὁ Μαθητὴς καὶ διάδοχος Παύλε, ὁ τὰ θεῖα πολὺς Διονύσιος ὁ Ἀρειο-

Ad ea nos ſic reſpondemus: priſcos etiam illos Monachos, ſe neceſſario cum tonſura & voto ad ſolitariam contuliſſe vitam, eademque id ratione etiamnum fieri. Ac primum, Diſcipulus & ſucceſſor Pauli, ille Divinarum rerum ſtudiis eruditiſſimus Dionyſius Areopagita, in Ec-

Ἀρεοπαγίτης, ἕτω λέγει ἐν τῷ περὶ Ἐκκλησιαστικῆς Ἱεραρχίας. ὁ μὲν Ἱερεὺς ἕστηκεν ἐπίπροσθεν τῆ Θείᾳ Θυσιαστηρίᾳ, τὴν Μοναχικὴν ἐπίκλησιν Ἱερολογῶν, ὁ δὲ τελέμενος, ὀπίσω τῆ Ἱερέως ἕστηκεν. ἐκ ἀμφω τὼ πόδε κλίνων, ἐχ ἕναι τοῖν ποδοῖν. ἐκ ἐπὶ κεφαλῆς ἔχων τὰ Θεοπαράδοτα λόγια, μόνον δὲ τῷ Ἱερεῖ παρεζὼς Ἱερολογοῦντι τὴν ἐπ' αὐτῷ Μυστικὴν ἐπίκλησιν. τελέσας δὲ αὐτὴν ὁ Ἱερεὺς, ἐπὶ τὸν τελέμενον ἐλθὼν, ἐπερωτᾷ πρῶτον αὐτὸν, εἰ πάσαις ἀποτάσσεται ταῖς διαιρεταῖς ἐ μόναν ζωαῖς, ἀλλά καὶ φαντασίαις. ἔιτα τὴν τελειοτάτην αὐτῷ ζωὴν ὑφηγεῖται, μαρτυρέμενος, ὅτι χρὴ τῆς μέσης αὐτὸν ὑπεραναστῆναι. ταῦτα δὲ πάντα τῆ τελεμένῳ προσεχῶς ὁμολογήσαντος, τῷ σαυροειδεῖ τύπῳ σφραγισάμενος αὐτὸν ὁ Ἱερεὺς, ἀποκείρει, τὴν τρισσὴν τῆς Θείας μακαριότητος ἐπιβοήσας ὑπόσασιν. καὶ τὴν ἐσθῆτα πᾶσαν ἀπαμφιέσας, ἑτέραν ἀμφιέννυσι, καὶ μετὰ τῶν ἄλλων Ἱερῶν ἀνδρῶν, ὅσοι πάρεισιν, ἀσπασάμενος αὐτὸν, κοινωνὸν ἀποτελεῖ τῶν Θεαρχικῶν Μυστηρίων. Καὶ ταῦτα μὲν Διονύσιος.

Δεύτερος δὲ ὁ μέγας Βασίλειος ἐν τῷ ἀσκητικῷ λόγῳ αὐτῆ, τὸ περὶ ἀποταγῆς βίε, ἕτω φάσκει, Εὐαγγελικῇ φωνῇ χρώμενος. δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, φησιν ἡ Θεία φωνή. εἴτε τὴν ἐκεῖ ἀνάπαυσιν, εἴτε τὴν ἐντεῦθεν αἰνιττομένη. πλήγε προσκαλεῖται ἡμᾶς, τέτον μὲν τὸν φόρτον τῆς πολυκτησίας, διὰ τῆς εἰς τὲς δεομένες ἀποθέσεως προτρέπεσα ἀποβαλέσθαι. τέτο δὲ, τὸν ἐκ τέτε περσγινόμενον ἡμῖν ἐσμὸν

clesiast. Hierarchia sic dicit. Stat Sacerdos ante divinum Altare, monasticam precationem reverenter recitans, qui vero initiatur, seu consecratur, post Sacerdotem stat. Is nec ambos pedes inclinat, nec alterum. Non etiam supra caput, sacra & divinitus tradita Oracula habet, sed tantum Sacerdoti astat, recitanti super eo illam mysticam precationem. Qua peracta, Sacerdos ad eum, qui initiatur, accedit & interrogat, num omnibus renunciet, non tantum cura & perturbatione distractis vitæ generibus, sed etiam cogitationibus & imaginationibus. Deinde perfectissimam ei vitam exponit, protestans, eum debere altius, quam communis hominum vita sit, se extollere. Quæ postquam omnia ille continuo promisit, tunc signo crucis signatum, Sacerdos tondet, invocata S. & beata Dei Trinitate. Deinde omni veste detracta, aliam ei induit: & tum a se, tum a reliquo consecratorum virorum, quotquot adsunt, cœtu, fausta precatione salutatum, capacem Divinorum mysteriorum efficit. Hæc, Dionysius.

Sequitur Basilius magnus, qui in Ascetico suo Sermone, qui est de abrenuntiatione vitæ, sic dicit, Evangelica sententia vtens. Venite omnes, qui laboratis, & onerati estis, & ego refocillabo vos, inquit divina vox, sive alterius vitæ, sive hujus, refocillationem innuens. Vtut sit, vocat nos ad se adhortans, partim, ut onus opum, quas multas possideamus, erogatione in pauperes, tanquam depositione, abjiciamus, partim, ut cumulo peccatorum qui nobis e divitiis accrevit, per beneficen-

ἐσμὸν τῶν ἁμαρτημάτων, διὰ τῆς εὐποιΐας καὶ ἐξαγορεύσεως ἀπορῤῥίψαντας, προσδραμεῖν τῷ σταυροφόρῳ βίῳ τῶν μοναχῶν. Ὁ τοίνυν ὑπακῦσαι Χριστῷ προηρημένος, καὶ πρὸς τὸν πλωχὸν καὶ ἀπερίσπαστον βίον τῶν Μοναχῶν ἐπαγόμενος, θαυμαστὸς ὡς ἀληθῶς καὶ μακαριστός. ἀλλὰ παρακαλῶ, μὴ ἀδοκιμάστως τοῦτο ποιείτω μηδὲ ὑπογραφέτω ἑαυτῷ ἀνεκτότητα βίου, καὶ σωτηρίαν ἁμαρτῶν. ἀλλὰ μᾶλλον προγυμναζέτω ἑαυτὸν πρὸς εὐδοκίμησιν ὑπομονῆς καὶ θλίψεων, σωματικῶν τε καὶ πνευματικῶν. ἵνα μὴ ἀπροσδοκήτοις ἑαυτὸν ἐμβαλὼν παλαίσμασιν, εἶτα ἀδυνατῶν πρὸς τὴν ἀντίστασιν τῶν ἐπερχομένων αὐτῷ δοκιμίων, εὑρεθῇ παλινδρομῶν πρὸς τὰ, ἀφ' ὧν ἐξελήλυθε, σὺν αἰσχύνῃ καὶ γέλωτι, μετὰ κατακρίσεως ψυχῆς ἐπανερχόμενος τῷ βίῳ. καὶ ὅσα ἑξῆς.

Καὶ παρακατιὼν δὲ ὁ αὐτὸς Βασίλειός φησι. διὰ γὰρ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς, κηδόμενος τῆς σωτηρίας ἡμῶν, εἰς δύο διεῖλε βίους τὴν τῶν ἀνθρώπων διαγωγήν. εἰς συζυγίαν λέγω καὶ παρθενίαν. Ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸν τῆς παρθενίας ἆθλον, ἔλθοι ἐπὶ συνοίκησιν γυναικός. καὶ τὰ λοιπά. ἅτινα ὡς σοφοὶ ἀνάγνωτε, καὶ γνῶσιν τῆς Μοναδικῆς γνώσησθε ἱκανὴν. Καὶ ἔτι κατωτέρω ἐν τῷ λόγῳ τούτῳ διατρανοῖ περὶ τούτων ἐπεξεργαζόμενος. σὺ δὲ ὁ τῶν ἐρανίων πολιτευμάτων ἐραστὴς, καὶ τῆς Ἀγγελικῆς διαγωγῆς πραγματευτὴς, καὶ τῶν Ἁγίων Μαθητῶν τοῦ Χριστοῦ συστρατιώτης γενέσθαι ἐπιθυμῶν, τόνωσον σεαυτὸν πρὸς τὴν ὑπομονὴν τῶν θλίψεων, καὶ ἀνδρείως πρόσελθε

ficentiam & confessionem abjecto, ad cruciferam Monachorum vitam accurramus. Qui ergo parere Christo constituit, & ad inopem, curisque vitæ vacuam, vitam monasticam properat, mirabilis vere est, & beatus prædicandus. Sed hortor, ne abs antegressa probatione hoc faciat, neque cogitatione fingat sibi, nescio quam tolerantiam vitæ, & salutem certissimam: sed potius antea exerceat se, ut cum laude stare possit, patientia laborum & afflictionum, tum corporalium, tum spiritualium, ut ne, cum ad inexpectata se demiserit certamina, postea, cum supervenientium tentationum vim sustinere non possit, recurrat ad primum statum, unde exiverat, cum dedecore, & irrisione spectantium, atque mala conscientia, ad vitam communem revertatur. Et, quæ deinceps.

Idem Basilius, inferius ait: Ideo enim quoque humanissimus Deus, curam gerens salutis nostræ, duo vitæ humanæ degendæ genera fecit, conjugium & cælibatum, vt, qui cælibatus certamen ferre non possit, uxorem ducat. Et plura addit, quæ vos, ut viri sapientes, legite: e quibus, quanta satis est, Monasticæ vitæ cognitionem haurietis. Pluribus de hinc verbis, in eodem hoc sermone perspicue explicat. Tu vero, inquit, qui jurium superæ civitatis amator, & Angelicæ conversationis negociator, & Sanctorum discipulorum Christi commilito, fieri cupis, contende nervos tuos, ad tolerantiam ærumnarum, viriliter accede ad Senatum Monachorum. Vides, Monachorum vitam, aperte vocari Angelicam politiam, ab

hoc

σελθε τῇ συγκλήτῳ τῶν Μοναχῶν. ὁρᾷς πῶς Ἀγγελικὴν πολιτείαν, τὴν τῶν Μοναχῶν ὁ Θεόσοφος ἀποκαλεῖ φανερῶς. Καὶ μετ' ὀλίγα· πρὸς τὴν μίμησιν σπεῦδε τῶν προασκησάντων, ἐν τοῖς ἤθεσι, καὶ μὴ ἐκδέχε διδάσκεσθαι ἕκαστον. καὶ ἔτι. Νέος ὢν, εἴτε τὴν σάρκα, εἴτε τὸ φρόνημα, φεῦγε τὴν συνδιαγωγὴν τῶν ὁμηλίκων, καὶ ἀποδίδρασκε ἀπ' αὐτῶν ὡς ἀπὸ φλογός. πολλὰς γὰρ ἐμπρήσας, καὶ τὰς ἑξῆς. Οὕτω λέγει καὶ περὶ τούτου ὁ Ἅγιος. καὶ ἡμεῖς δὲ λογιζόμεθα καὶ φαύλως καὶ ἀχρήστως σώζεσθαι τοὺς ἐν κέλλῃ καὶ τῷ μονήρει βίῳ. Προσέρχονται γὰρ πολλοὶ τῷ ἐναρέτῳ βίῳ τούτῳ τῶν Μοναχῶν. Ὀλίγοι δὲ τὸν ζυγὸν αὐτοῦ καταδέχονται. Βιαστῶν γάρ ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Βίαν ἐκάλεσε τὴν τοῦ σώματος καταπόνησιν, ἣν ὑπομένουσιν ἐκουσίως οἱ τοῦ Χριστοῦ Μαθηταὶ, ἐν τῇ ἀρνήσει τῶν οἰκείων θελημάτων, καὶ τῆς ἀναπαύσεως τῆς τοῦ σώματος, φυλακῇ πασῶν τῶν ἐντολῶν τοῦ Χριστοῦ. Εἰ τοίνυν βέλει ἁρπάσαι τὴν Βασιλείαν τοῦ Θεοῦ, γενοῦ βιαστής. ὑπόζευξόν σε τὸν αὐχένα τῷ ζυγῷ τοῦ Χριστοῦ. Σφίγξον τὰ ζεῦγλα περὶ τὸν τραχηλόν σε. Θλιβέτω αὐτὸς τὸν σὸν αὐχένα. Λέπλυνον αὐτὸν τῷ πόνῳ τῶν ἀρετῶν, Ἐν νηστείαις, ἐν ἀγρυπνίαις, ἐν ὑποταγῇ, ἐν ἡσυχίᾳ, ἐν ψαλμῳδίαις, ἐν προσευχαῖς, ἐν δάκρυσιν, ἐν χειρεργίᾳ, ἐν ὑπομονῇ πάσης θλίψεως, ἐπερχομένης σοι ἔκτε δαιμόνων, καὶ ἀνθρώπων. μή σε πειράτω τῷ χρόνῳ ἐνδῦναι τοῖς πόνοις λογισμὸς ὑψηλόφρων. ἵνα μή πως ταῖς θύραις τῆς ἐξόδου γυμνὸς ἀρετῶν καταληφθεὶς, ἔξω τῶν

hoc in divinis rebus ſapientiſſimo viro? Et Paulo poſt. Ad imitationem eorum, qui antea te laboribus pietatis exercuerunt, feſtina moribus vitæ, nec expecta, dum ſingula edocearis. Item, ſi juvenis es, inquit, ſive ætate, ſive ſenſu, vitato conſuetudinem æqualium, refugito ab ea tanquam a flamma. Multis enim incenſis, &c. Hoc modo Sanctus ille, de hoc genere loquitur. Et nos non exiſtimamus, malos & inutiles homines foveri, qui in cellulis & ſolitaria vita, degunt. Appropinquant enim multi huic ſtudioſæ & laudatæ vitæ Monachorum. Sed pauci jugum ejus ſuſcipiunt. Vi enim agentium, eſt Regnum cælorum, & violenti rapiunt id. Vim appellat corporis depreſſionem & ſubjugationem, quam ſua voluntate ſuſtinent diſcipuli Chriſti, dum negant ſuas concupiſcentias, ac quietem recreationemque corporis, obſervatione omnium præceptorum Chriſti. Si igitur vis rapere Regnum Dei, fias violentus, ſubde tuam cervicem jugo Chriſti, conſtringe collum tuum jugi vinculis, preme illo cervicem tuam, extenua hanc labore virtutum, in jejuniis, in vigiliis, in ſummiſſione & obedientia, in quiete, in Pſalmorum cantionibus, in precationibus, in lacrymis, in labore manuum, in patientia cujusvis afflictionis, ſeu a Dæmonibus illatæ, ſeu ab hominibus. Cave, ne ſuperbia inflatus, proceſſu temporis remiſſior in laboribus fias, ne forte ad fores diſceſſus ex hac vita, nudus virtutibus deprehenſus, poſtmodum extra portas Regni cœleſtis projectus inveniaris.

Vides,

Si audieris dicentem: „Mittam vobis „Spiritum S., ne de Deitate intellige. Deus enim non mittitur. Verba sunt, operationem significantia. Præterea, Thaumaturgus Gregorius, in revelatione sic institutus ait: unus Spiritus Sanctus ex Deo essentiam habens, & per Filium exhibitus, scilicet hominibus. Quorum illud, de æterna, hoc vero, de temporali progressione dicitur. Et Alexandrinus Cyrillus, in S. Symboli enarratione ait: Profunditur quidem (id est, procedit) Spiritus S. ex Deo patre (hoc de arcana & ineffabili processione) præbetur vero creaturæ per Filium. Hoc, de processione ad nos. Sanctus item Augustinus, in libro de Trinitate: Non tamen ideo, quia illi quidem dant, hic vero datur, minor illis est. Sic enim datur, tanquam Dei donum, ita, ut ipse sese det, tanquam Deus. Non enim dici potest, ipsum non esse suæ potestatis, de quo dicitur: Spiritus ubi vult, spirat. Sed & apud S. Paulum: Hæc operatur unus & idem Spiritus, dividens seorsim unicuique, sicut vult. Gregorius insuper Nyssenus, ubi in Eunomium scribit, Spiritus S. inquit, e conditore quidem universitatis rerum, & ipse essentiam habens (ita ut sit inde, unde etiam unigenita lux ortum ducit) per veram autem lucem effulgens, neque intervallo, neque naturæ aliqua diversitate, a Patre aut ab unigenito, abscinditur. Hoc loco partitio, quæ Conjunctionibus (Quidem & Autem) facta est, Patri quidem essentialem Spiritus processionem, Filio vero ejusdem ad nos manifestationem, cogitandam apertissime dat. Non enim hu-

Υἱῷ, τὴν πρὸς ἡμᾶς αὐτῷ φανέρωσιν ἐννοεῖν προθυμοτάτως δίδωσιν. Οὐ γὰρ διὰ ταύτην κἀκείνην ἔν τι καὶ ταὐτὸν δυναμένας ὁ λόγος, ἀλλὰ τὴν μὲν τοῦτο σημαίνειν, τὴν δ' ἐκεῖνο παρίστησι. Καὶ ὁ μέγας Βασίλειος, τὴν τοιαύτην πρόοδον τοῦ Πνεύματος, καὶ ἐκ τοῦ Πνεύματος ἔσαν εἰδὼς, φησὶν ἐν τοῖς πρὸς Εὐνόμιον ἀντιῤῥητικοῖς, τὸ Πνεῦμα τὸ Ἅγιον αὔξησιν ἃ ζητεῖν τελειότερον ὄν. Διὸ καὶ παρ' αὐτῷ πάντα τέλεια, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, σοφία, σύνεσις, βελή, ἀσφάλεια, εὐσέβεια, γνῶσις, ἁγιασμὸς, ἀπολύτρωσις, πίστις, ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, καὶ ὅσα τούτοις παραπλήσια. Οὐδὲν ἔχον ἐν αὐτῷ ἐπίκτητον, ἀλλὰ ἰδίως πάντα ἔχον, ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνὸς, αἴτιον ἑαυτοῦ ἔχον ὡς πηγὴν ἑαυτοῦ ὄν, κἀκεῖθεν πηγάζον. πηγὴ δὲ καὶ αὐτὸ τῶν προειρημένων ἀγαθῶν. Ἀλλὰ τὸ μὲν ἐκ Θεοῦ πηγάζον, ἐνυπόστατόν ἐστι. Τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα, ἐνέργειαι αὐτοῦ εἰσι. Καὶ πάλιν ἐν τοῖς αὐτοῖς, ὥσπερ διαιρεῖν τὰ ἐνεργήματα εἰς τοὺς ἀξίους τῆς ὑποδοχῆς τῶν ἐνεργημάτων ὁ Πατὴρ λέγεται, καὶ διαιρεῖν τὰς διακονίας ὁ Υἱὸς εἰς τοὺς τῆς διακονίας ἀξίους. ἔτω διαιρεῖν καὶ τὰ χαρίσματα τὸ Πνεῦμα τὸ Ἅγιον, εἰς τοὺς ἀξίους τῆς τῶν χαρισμάτων ὑποδοχῆς μαρτυρεῖται. Ὁρᾷς, πῶς καὶ ἐνταῦθα ἡ τοῦ Ἁγίου Πνεύματος ἐνέργεια, συντεταγμένη ἐστὶ τῇ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐνεργείᾳ; Ὅταν γὰρ τὰ πάντα ἐνεργεῖται ὑπὸ τοῦ Θεοῦ, διὰ Ἰησοῦ Χριστοῦ ἐν Πνεύματι, ἀχώριστον ὁρῶ τὴν ἐνέργειαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Τούτοις συνῳδὰ καὶ Ἀθανάσιος ὁ πο-

jus & illius, unam & eandem significationem, sed unius quidem hanc, illius vero, aliam, oratio exhibet. Sane Basilius etiam Magnus, hujusmodi progressionis, & quæ ex Spiritu fiat, haud ignarus, inquit in suis adversus Eunomium contradictionibus: Spiritus S. incrementum non requirit, cum perfectissimus sit. Ideo & apud ipsum, omnia sunt perfecta, charitas, gaudium, pax, longanimitas, benignitas, sapientia, intelligentia, consilium, securitas, pietas, cognitio, sanctificatio, redemptio, fides, opera potestatum seu virtutum, dona sanationum, & quæ sunt generis ejusdem. Nihil ille in se habet adventitium, sed, quæ habet, omnia ipsi propria sunt, tanquam Spiritui Dei, ex quo ipse extitit, quem causam sui habet, tanquam fontem sui, & ex eo scaturit. Vicissim ipse, dictorum modo bonorum fons est. Hoc tamen discrimen est, quod id, quod ex Deo scaturit, essentiale est, quæ vero ex ipso scaturiunt, operationes ipsius sunt. Rursus, in iisdem disputationibus inquit: Quemadmodum dividere operationes in eos, qui illas recipere digni sunt, Pater dicitur: itemque dividere ministeria Filius in eos, qui eis digni sunt, sic etiam dona dividere Spiritus S. in homines, eorum susceptione dignos, testimoniis probatur. Viden', etiam hoc loco Spiritus S. operationem, cum Patris & Filii operatione conjunctam esse? Quando enim omnia Deus operatur, per Iesum Christum, in Spiritu, inseparatam video Patris, & Filii, & Spiritus S. operationem. His consentanea etiam Athanasius, ille calamitatibus exercitatus, omnia

ad

ὁ πολύτλας, καὶ πάντα εἰς ἕνα Θεὸν ἀναφέρων τὸν Πατέρα, ἐν τοῖς πρὸς Σεραπίωνα ἔτω φησί. Τᾶτο εἰδὼς ὁ Μακάριος Παῦλος, ὃ διαιρεῖ τὴν Τριάδα, ὥσπερ ἡμεῖς, ἀλλὰ τὴν ἑνότητα ταύτης διδάσκων, ἔγραφε Κορινθίοις (ά. Κεφ. ιβ΄.) περὶ τῶν Πνευματικῶν. Διαιρέσεις χαρισμάτων εἰσὶν. Ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἃ γὰρ τὸ Πνεῦμα ἑκάστῳ ἐνεργεῖ, ταῦτα παρὰ τᾶ Πατρὸς διὰ τᾶ λόγᾳ χορηγεῖται. Πάντα γὰρ τὰ τᾶ Πατρὸς, τᾶ Υἱᾶ ἐστι. Διὸ καὶ παρὰ τᾶ Υἱᾶ ἐν Πνεύματι διδόμενα, τᾶ Πατρός ἐστι χαρίσματα. Καὶ τᾶ Πνεύματος δὲ ὄντος ἐν ἡμῖν, ἐν τέτῳ αὐτῷ ἔστιν ὁ Πατὴρ. Καὶ ἔτως ἐστὶ τὸ, (Ἰωανν. ιδ΄.) ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Καὶ τᾶτο πάλιν ὁ αὐτὸς Ἀπόστολος διδάσκων, τοῖς αὐτοῖς ἔγραφε Κορινθίοις (Κεφ. ιγ΄.) ἐν δευτέρᾳ ἐπιστολῇ. Ἡ χάρις τᾶ Κυρίᾳ ἡμῶν Ἰησᾶ Χριστᾶ, καὶ ἡ ἀγάπη τᾶ Θεᾶ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τᾶ Ἁγίᾳ Πνεύματος εἴη μετὰ πάντων ὑμῶν. Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ, ἐν Τριάδι δίδοται, παρὰ Πατρὸς δι' Υἱᾶ ἐν Ἁγίῳ Πνεύματι. Ὥσπερ δὲ ἐκ Πατρός ἐστι δι' Υἱᾶ ἡ διδομένη χάρις, ἔτως ἐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ. Τέτῳ γὰρ μετέχοντες, ἔχομεν τᾶ Πατρὸς τὴν ἀγάπην, καὶ τᾶ Υἱᾶ τὴν χάριν, καὶ αὐτᾶ τᾶ Ἁγίᾳ Πνεύματος τὴν κοινωνίαν. Μία ἄρα καὶ ἐκ τέτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται. Οὐ γὰρ ὥσπερ ἑκάστα διηρημένα καὶ διάφορα τὰ διδόμενα σημαίνει ὁ Ἀπόστολος, ἀλλ' ὅτι τὰ διδόμενα ἐν Τριάδι δίδοται. καὶ τὰ εὐαγγελιστὴς Λεκᾶς ἐν ταῖς πράξεσιν,

ad unum Deum Patrem referens, in ſuis ad Serapionem ſcriptis, ſic dicit. Hoc cum ſciret beatus Paulus, non dividit Trinitatem, ſicut nos, ſed unitatem hujus docens, Corinthiis de ſpiritualibus ſcripſit. Diviſiones donorum ſunt, idem vero Deus, qui operatur omnia in omnibus. Quæ enim Spiritus in unoquoque operatur, ea per Logon a Patre ſumminiſtrantur. Omnia namque quæ Pater habet, Filii ſunt. Idcirco etiam a Filio in Spiritu data, Patris dona ſunt. Et, cum Spiritus quoque in nobis ſit, in eo ipſo eſt Pater. Sic ergo conſtat illud: Ego & Pater veniemus, & manſionem apud eum faciemus. Hoc rurſus idem Apoſtolus docens, ad eosdem Corinthios Epiſt. 2. ſcribit: Gratia D. noſtri Ieſu Chriſti, & dilectio Dei Patris, & communio ſancti Spiritus, ſit cum omnibus vobis. Quæ enim gratia datur, & donatio, ea per S. Triadem datur, a Patre ſcilicet per Filium, in S. Spiritu. Quemadmodum autem a Patre per Filium eſt gratia, quæ datur, ita non extiterit communicatio dationis in nobis, niſi in Spiritu S. Nam ſi hujus participes ſumus, habemus charitatem Patris, & Filii gratiam, ipſiusque Sancti Spiritus communionem. Ergo, ex his quoque, unam eſſe Trinitatis operationem, demonſtratur. Non enim, ut ſingulorum diviſa & diverſa eſſe, quæ dantur, ſignificat Apoſtolus, ſed, quod ea, quæ dantur, per Trinitatem dentur, & omnia, ex vero Deo ſint. At etiam Evangeliſta Lucas in actis, viſæ ſunt, inquit, in ipſis diviſæ πάντα ἐξ ἑνὸς Θεᾶ εἰσί. καὶ μὴν καὶ ὁ (Κεφ. β΄.) ὤφθησαν αὐτοῖς διαμεριζόμε-

ναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν. Καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, φησὶ, περὶ τῆς προόδου ταύτης τὸν λόγον ποιούμενος. Καὶ πάλιν, (Κεφ. ή.) θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ αὖθις, (Κεφ. ί.) ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας. Καὶ ὁ θειότατος „Παῦλος ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ „(Κεφ. ιβ'.) ἑκάστῳ, λέγει, δίδοται ἡ „φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμ„φέρον. ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος „δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος „γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέ„ρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλ„λῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐ„τῷ Πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυ„νάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ „δὲ διακρίσεις Πνευμάτων, ἑτέρῳ δὲ γέ„νη γλωσσῶν, ἑτέρῳ δὲ ἑρμηνείαι γλωσ„σῶν. Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν „καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκά„στῳ, καθὼς βούλεται. Καὶ Πέτρος ὁ κορυφαῖος ἐν ταῖς πράξεσι (Κεφ. β'.) „τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν τε „ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος λαβών, „ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ „ἀκούετε. Καὶ πάλιν (Κεφ. ί.) μήτι τὸ „ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βα„πτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ „Ἅγιον ἔλαβον, ὥσπερ καὶ ἡμεῖς; Καὶ ὁ Κύριος δὲ ἀμφοτέρων τῶν προόδων τοῦ Πνεύματος μνήμην ποιούμενος, ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ (Κεφ. ιέ.) φησὶν, „Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα „τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

linguæ, tanquam ignis, ſeditque ſuper unumquemque ipſorum, & impleti ſunt univerſi Spiritu S., ubi nimirum de proceſſione hac ſic loquitur. Et iterum: Cernens autem Simon, per impoſitionem manuum Apoſtolicarum dari Spiritum S. Et rurſus: Adhuc loquente Petro hæc verba: Cecidit Spiritus S. ſuper omnes audientes. „Et diviniſſimus „Paulus 1. ad Corinth. unicuique, inquit, „datur manifeſtatio Spiritus ad id, quod „conducit. Uni enim per Spiritum da„tur ſermo ſapientiæ, alii vero ſermo „cognitionis, ſecundum eundem Spiri„tum; alii fides, in eodem Spiritu; alii „vero, dona ſanationum, eodem Spiri„tu; alii, operationes facultatum; alii „Prophetia; alii diſcretiones Spirituum; „alii, genera linguarum; alii, interpreta„tiones linguarum. Omnia vero hæc „operatur unus & idem Spiritus, divi„dens ſeorſim unicuique, quemadmo„dum vult. Et ſummus Apoſtolorum „Petrus, in actis: Dextra igitur Dei ex„altatus, promiſſione Spiritus S. accepta, „effudit hoc, quod nunc vos videtis & „auditis. Iterum: Num aqua prohibere „quis hos poteſt, quo minus baptizentur, „qui Spiritum S. acceperunt, ſicut & nos? Quin etiam Dominus ipſe, amborum Spiritus progreſſuum mentionem faciens, in Evangelio Ioannis inquit: Quando autem venerit Paracletus, quem ego mittam vobis a Patre, Spiritus ille veritatis, qui a Patre procedit, ille teſtabitur de me. Cum dicit, quando venerit, ibi tum dominationem Spiritus monſtrat,

Ἐν

Ἐν μὲν ἓν τῷ εἰπεῖν, ὅταν ἔλθῃ, τήν τε δεσποτείαν τῆ Πνεύματος ἔδειξε, καὶ χρόνον ἐνέφηνεν. Ἐν δὲ τῷ εἰπεῖν, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τῆ Πατρὸς, τότε μὴ ἀντίθεον εἶναι τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ ἡμῶν ἕνεκεν τὴν πρόοδον ταύτην ἔσαν παρέσησεν. Ἐπέμφθη γὰρ ἡμῖν. τὸ δὲ προεθεῖναι, ὃ παρὰ τῆ Πατρὸς ἐκπορεύεται, τὴν αἰώνιον καὶ ἀναίτιον ἐκείνην τῆ Θείᾳ Πνεύματος πρόοδον, ὅθεν ἐστὶ, θεοπρεπῶς παρέδωκεν. Οὕτω τοίνυν διττῶς τῆς προόδε τῆ Πνεύματος καὶ ἕσης καὶ λεγομένης, καὶ τῆς μὲν, σαφηνείας ἕνεκεν δικαίως ἂν κληθείσης καὶ πρώτης καὶ ὑποστατικῆς καὶ καθ' ὕπαρξιν, τῆς δὲ δευτέρας καὶ μεταδοτικῆς καὶ κατ' ἐνέργειαν. Τῆς μὲν πρώτης, ὁ Πατὴρ μόνος αἴτιος, τῆς δὲ δευτέρας καὶ ὁ Υἱὸς, καὶ αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον. Ταύτη τοι καὶ ἔδειξε τῶν διδασκάλων τῆς καθ' ἡμᾶς ἐκκλησίας, ἐκ τῆ Υἱῆ εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον προσωπικῶς ἐκπορεύεσθαι, ἢ ἐκ τῆ Υἱῆ τὴν ὕπαρξιν ἔχειν, ἢ τῆ Υἱῆ πρόβλημα εἶναι, ἢ τὸν Υἱὸν προβολέα, ἢ αἴτιον τῆ Ἁγίε Πνεύματος ἀπεφήναντο. Προχεῖσθαι δὲ, καὶ ἀναβλύζειν, καὶ προϊέναι, καὶ ἐκλάμπειν, καὶ πέμπεσθαι, καὶ χορηγεῖσθαι, καὶ δίδοσθαι δι' αὐτῆ, πάντες ἀνακηρύττουσιν, ἐκ ἀγνοῦντες τῇ μεταδοτικῇ τῶν προόδων ταῦτα προσήκοντα. Ἀλλὰ ταὐτὸν φησὶ τὸ, ἐκ τῆ Υἱῆ πηγάζειν τὸ Πνεῦμα, τὸ ἐκχεῖσθαι, τὸ ἐκλάμπειν, τὸ πνέειν, τὸ πέμπεσθαι, τὸ χορηγεῖσθαι τὸ δίδοσθαι, καὶ ὅσα τοιαῦτα, τῷ ἐκ τῆ Υἱῆ αὐτὸ ἐκπορεύεσθαι. Οὐκοῦν εἰ τὸ προβάλλεσθαι τὸ Πνεῦμα, τῷ δίδοσθαι ταὐτὸν, ὁ προβάλλων ἔσαι δίδες τὸ προβαλλόμενον, καὶ ὁ δίδες, προβάλλων τὸ διδόμενον. Ἀλλὰ τὸ μὲν δίδοσθαι τὸ

tum tempus innuit. Cum autem dicit, quem ego mittam vobis a Patre, ibi nec oppositum Deo esse Spiritum S. & nostra causa processionem illam esse, astituit. Nobis enim missus est. Quod vero addit, qui a Patre procedit, illam æternam, nulla causa antegrediente factam, divini Spiritus progressionem, unde sit, Deo digne perhibuit. Sic itaque cum rationes processionis Spiritus & sint, & dicantur, earumque una, perspicuitatis gratia merito appelletur, tum prima, tum Hypostatica seu personalis, tum Essentialis: altera vero, secunda, & communicativa, & operativa, prioris quidem, solus Pater causa est, alterius vero, & Filius, & ipse Spiritus S. Hac igitur ratione nemo nostræ Ecclesiæ Doctorum, e Filio dixit Spiritum S. personaliter procedere, aut ex Filio suam essentiam habere, aut a Filio productum esse, aut Filium, productorem, vel causam, sancti Spiritus esse, statuit. Profundi vero, scaturire, prodire, effulgere, mitti, sumministrari, & dari, per ipsum, omnes clara voce prædicant, haud ignari, communicativæ, seu impertitrici progressioni, hæc convenire. At vero (objiciet aliquis) hæc verba, e Filio scaturire Spiritum, effundi, effulgere, spirare, mitti, sumministrari, dari, & similia alia, idem valent, quod e Filio ipsum procedere. Ergo (respondemus nos) si, produci (προβάλλεσθαι) Spiritum, idem est, quod dari, (δίδοσθαι) sequetur ut ille, qui producit, det id, quod producitur, & qui dat, producat id, quod

Πνεῦ-

Πνεῦμα, ἐνεργείας ἐστὶ, τὸ δὲ προβάλλεσθαι ὑποστάσεως. ὑπόστασις δὲ οὐκ ἐνέργεια, ἐ ταὐτὸν. Οὐκ ἄρα τῷ προβάλλεσθαι, τὸ δίδοσθαι ταὐτὸν. Πάλιν, εἰ ταὐτὸν μετάδοσις Ἁγίε Πνεύματος, καὶ Ἐκπόρευσις, ἢ διὰ τὴν μετάδοσιν μεθεκτὴν ἔσαν, μεθεκτὴ ἔσαι καὶ ἡ ἐκπόρευσις, ἢ διὰ τὴν ἐκπόρευσιν ἀμέθεκτον ἔσαν, ἀμέθεκτος ἔσαι καὶ ἡ μετάδοσις. Ἀλλ' ἡ μὲν μετέχεται, ἡ ἁγία μετάδοσις. Ἡ δὲ μένει ἀμέθεκτος, ἡ ἐκπόρευσις. Μεθεκτὸν δὲ, καὶ ἀμέθεκτον, ἐ ταὐτὸν. Οὐκ ἄρα τῇ μεθέξει ἡ ἐκπόρευσις ταὐτόν. Αὖθις, εἰ ταὐτὸν ἔκχυσις τῦ Ἁγίε Πνεύματος καὶ ἐκπόρευσις, ἢ διὰ τὴν ἐκπόρευσιν ἀόρατον ἔσαν, ἀόρατος καὶ ἡ ἔκχυσις ἔσαι, ἢ διὰ τὴν ἔκχυσιν ὁρατὴν ἔσαν, ὁρατὴ ἔσαι καὶ ἡ ἐκπόρευσις. Ἀλλ' ἡ μὲν μυρίοις ὥρᾳάθη. Ἡ δὲ, μένει ἀόρατος. Ὁρατὸν δὲ, καὶ ἀόρατον, ἐ ταὐτὸν. Οὐκ ἄρα τῇ ἐκχύσει ἡ ἐκπόρευσις ταὐτὸν. Πρὸς δὲ, εἰ ταὐτὸν δωρεὰ τῦ Ἁγίε Πνεύματος καὶ ἐκπόρευσις, ἢ διὰ τὴν ἐκπόρευσιν ἁπλῆν ἔσαν, ἁπλῆ ἔσαι καὶ ἡ δωρεὰ, ἢ διὰ τὴν δωρεὰν ποικίλην ἔσαν, ποικίλη ἔσαι καὶ ἡ ἐκπόρευσις. Ἀλλὰ μὴν, ἡ μὲν ἐκπόρευσις ἁπλῆ ἐστιν, ἡ δὲ δωρεὰ, ποικίλη. ἁπλῆν δὲ καὶ ποικίλον, ἐ ταὐτόν. Οὐκ ἄρα ἡ ἐκπόρευσις ταὐτὸν τῇ δωρεᾷ· ἔτι εἰ ταὐτὸν ἦ, τε ἀποστολὴ τῦ Πνεύματος, ᾗ ἡ ἐκπόρευσις, ἢ διὰ τὴν ἀποστολὴν πρὸς ἡμᾶς γενομένην ἐν χρόνῳ, ᾗ ἡ ἐκπόρευσις πρὸς ἡμᾶς ἔσαι ἐνχρόνῳ, ᾗ ἦν, ᾗ ἐστὶν, ὅπερ ἐστὶν. ἢ διὰ τὴν ἐκπόρευσιν, ἐ πρὸς ἡμᾶς γενομένην ᾗ νῦν ᾗ πρὸ τῆς τῦ κόσμε συστάσεως, ἐδὲ ἡ ἀποστολὴ τῦ Πνεύματος πρὸς ἡμᾶς ἔσαι. Ἀλλὰ μὴν, ἡ μὲν ἀποστολὴ πρὸς ἡμᾶς γίνεται,

datur. At, Spiritum dari, operationis eſt, produci vero ſubſiſtentiæ. Subſiſtentia vero, & operatio, idem non ſunt. Non ergo, dari idem eſt, quod produci. Aliud Argumentum. Si idem ſunt, communicatio ſeu impertitio, & progreſſio, ſancti Spiritus, tunc aut propter communicationem, quæ participari poteſt, participabilis erit etiam ipſa proceſſio, aut propter proceſſionem, quæ participari non poteſt, etiam imparticipabilis erit ipſa communicatio. Nunc vero altera participatur, ſancta nempe communicatio, altera vero, imparticipabilis manet, ipſa proceſſio. Participabile autem, & imparticipabile, idem non ſunt. Non ergo cum participatione progreſſio idem eſt. Aliud. Si idem ſunt, effuſio Spiritus ſancti, & proceſſio, tum aut propter proceſſionem, quæ inviſibilis eſt, etiam videri non poterit effuſio, aut propter effuſionem, quæ viſibilis eſt, etiam videri poterit proceſſio. At illa, ab innumeris hominibus viſa eſt, hæc vero inviſibilis manet. Viſibile autem & inviſibile, non ſunt idem. Non ergo idem eſt, proceſſio, quod effuſio. Præterea, ſi idem ſunt donatio Spiritus ſancti, & proceſſio, tum aut propter proceſſionis ſimplicitatem, ſimplex etiam erit donatio: aut propter donationis varietatem, varia quoque erit proceſſio. Atqui proceſſio, ſimplex eſt, donatio vero, varia. Simplex autem, & varium, idem non ſunt. Non igitur proceſſio, cum donatione idem eſt. Adhæc, ſi idem ſunt, miſſio Spiritus, & progreſſio, tum aut propter miſſionem, quæ ad nos in tempore facta eſt, etiam proceſſio ad nos erit in tempore,

νεται, ἡ δὲ ἐκπόρευσις καθ' αὐτὴν καὶ ἦν, καὶ ἐστὶ, καὶ ἔσται, ὅπερ ἐστὶν· οὐκ ἄρα τῇ ἀποστολῇ τοῦ Πνεύματος ταὐτὸν ἡ ἐκπόρευσις. Ἔτι, εἰ ταὐτόν ἐστιν ἡ προσωπικὴ τοῦ Πνεύματος ἐκπόρευσις, τῇ πρὸς ἡμᾶς αὐτοῦ χάριτι, ἢ διὰ τὴν ἐκπόρευσιν προσωπικὴν οὖσαν, προσωπικὴ καὶ ἡ χάρις ἔσται, ἢ διὰ τὴν χάριν κοινὴν οὖσαν, κοινὴ ἔσται καὶ ἡ ἐκπόρευσις. ἀλλὰ μὴν ἡ χάρις ἐκ τῶν Τριῶν Προσώπων ἐπίσης ἔρχεται. ἡ δὲ τοῦ Πνεύματος ἐκπόρευσις οὐκ ἔστιν ἐκ τῶν τριῶν. οὐκ ἄρα ἡ ἐκπόρευσις τῇ χάριτι ταὐτόν. ἔτι εἰ ταὐτὸν ἡ τοῦ Πνεύματος πέμψις καὶ ἡ ἐκπόρευσις, ἢ τῆς πέμψεως διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα δι' ἡμᾶς γενομένης, διὰ τὴν αὐτοῦ ἀγαθότητα καὶ ἡ ἐκπόρευσις δι' ἡμᾶς ἔσται. ἢ ἀναιτίως τῆς ἐκπορεύσεως οὔσης, δι' ἀδεμίας αἰτίας, καὶ ἡ πέμψις γενήσεται. Ἀλλὰ μὴν, ἡ πέμψις δι' αἰτίας γίνεται, ὅταν γίνεται, ἡ δὲ ἐκπόρευσις τοῦ Πνεύματος, ἀϊδίως καὶ δι' ἀδεμίας αἰτίας ἐστίν. οὐκ ἄρα τῇ πέμψει ταὐτὸν ἡ ἐκπόρευσις. Εἰ δὲ ταὐτόν ἐστιν ἡ πέμψις τοῦ Πνεύματος τῇ ἐκπορεύσει, ἀ μέντοι ἄλλο ἢ ἄλλο, πέμπεται δὲ παρὰ τοῦ Πατρὸς ἀ μόνον τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ καὶ αὐτὸς ὁ Υἱὸς, καὶ ἡ πέμψις τοῦ Υἱοῦ ἄρα, ἢ ταὐτὸν ἔσται τῇ ἑαυτοῦ γεννήσει, ἢ ταὐτὸν τῇ ἐκπορεύσει τοῦ Πνεύματος. Ἀλλὰ μὴν ὁ Πατὴρ ἀ γεννᾷ τὸν Υἱὸν καθ' ὑπόστασιν ἐν τῷ πέμπειν αὐτὸν, καὶ διδόναι, καὶ ἐνοικίζειν ἡμῖν διὰ Πνεύματος. οὐκ ἄρα ἀδὲ τὸ Πνεῦμα ἐν τῷ πέμπειν ἢ διδόναι καὶ ἐνοικίζειν ἡμῖν δι' Υἱοῦ, ἐκπορεύει αὐτὸ καθ' ὑπόστασιν. αὐτὰ δὲ ταῦτα ὡσαύτως καὶ περὶ τοῦ Υἱοῦ, καὶ περὶ τοῦ Πνεύματος ἔχομεν λέγειν. Ἐπεὶ γὰρ

pore, & erat, & est, quod est, aut propter processionem non ad nos factam, & nunc, & ante Mundi constitutionem, nec ipsa missio Spiritus ad nos erit. Atqui missio ad nos fit, progressio vero, per se & erat, & est, & erit, quod est. Non ergo idem, quod missio Spiritus, processio est. Aliud. Si idem est personalis processio Spiritus, quod ejusdem erga nos gratia, sequetur, ut aut propter processionem, quæ personalis est, personalis quoque gratia sit, aut propter gratiam, quæ communis est, communis quoque sit processio. At gratia, ex tribus personis, æqualiter venit, Spiritus vero processio, non est a tribus personis. Non ergo progressio & gratia sunt idem. Præterea, si sunt idem, Spiritus missio & progressio, tum aut, missione ex Dei bonitate propter nos facta, ex ejusdem bonitate progressio quoque propter nos erit, aut, cum nullam ante se causam processio habeat, etiam ex nulla causa missio erit. At propter causam fit missio, quando fit, progressio vero Spiritus, ab æterno, nec ex ulla causa, est. Non ergo idem cum missione processio est. Quod si idem est missio Spiritus, quod processio, nec diversum, mittitur autem a Patre non modo Spiritus S., sed etiam Filius, sequetur, missionem Filii quoque, & idem cum sua generatione, & idem cum Processione Spiritus, esse. Atqui Pater non generat Filium secundum subsistentiam, seu personam, dum eum mittit, & dat, & in nobis habitare facit, per Spiritum. Nec Spiritum igitur, dum eum per Filium mittit & dat, & in nobis habitare facit, secundum subsisten-

γὰρ ἐ μόνον τὸ Πνεῦμα τὸ Ἅγιον παρὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ ὁ Υἱὸς παρὰ τοῦ Πνεύματος πέμπεται, εἰ ταὐτὸν πέμψις τοῦ Πνεύματος καὶ ἐκπόρευσις, καὶ ἐπὶ τοῦ Υἱοῦ πάντος ταὐτόν ἔσται, ἡ πέμψις αὐτοῦ καὶ ἡ γέννησις. Ἀλλὰ μὴν τὸ Πνεῦμα ἐ γεννᾷ τὸν Υἱὸν ἐν τῷ πέμπειν αὐτὸν καὶ διδόναι καὶ ἐνοικίζειν ἡμῖν. ἐκ ἄρα ἔθ' ὁ Υἱὸς ἐν τῷ πέμπειν καὶ διδόναι τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκπορέυει αὐτὸ καθ' ὑπόσασιν. εἰ δὲ καὶ ἡ ἄχρονος τοῦ Πνεύματος πρόοδος δι' αἰτίας, δι' αἰτίας ἔσαι καὶ τοῦ Υἱοῦ ἄχρονος γέννησις, καὶ ἐκ ἀληθέυει ὁ λέγων περὶ αὐτοῦ, ἐν ἀρχῇ ἦν ἀναιτίως. Εἰ δὲ καὶ τὸ οὗ ἕνεκα, τοῦ ἕνεκά τε κρεῖτον, δι' ἡμᾶς δὲ τὸ Πνεῦμα τὴν ὕπαρξιν ἔχει, ὑπερέχομεν ἄρα ἡμεῖς αὐτοῦ τῷ τελικῷ αἰτίῳ. καὶ ὅσα δὲ ἄλλα ἔπεται ἄτοπα, τί ἂν τις ἀριθμοίη; Καὶ μὴν, εἰ τὸ αὐτό ἐστι καὶ πρόσωπον τοῦ Πνεύματος, ἀϊδίως καὶ ἀδιαζάτως ὑφεστηκὸς ἐν τῷ Πατρὶ, τὸ αὐτὸ δὲ καὶ χάρισμα δωρέμενον ἡμῖν χρονικῶς καὶ μεταδοτικῶς, ἐ ἡ προαιώνιος αὐτοῦ ὕπαρξις ἡ αὐτή ἐστι τῇ πρὸς ἡμᾶς αὐτοῦ δόσει. ἐπεὶ ἐ μόνον ὁ Πατήρ, καὶ ὁ Υἱὸς αὐτὸ δίδωσιν, ἀλλὰ ἐ αὐτὸ ἑαυτὸ, ἐ αὐτὸ ἐξ ἑαυτοῦ. ἆρα τὸ Πνεῦμα τὸ Ἅγιον προσωπικῶς ἐκπορέυεται. Εἶτα ὁ μὲν Υἱὸς σὺν τῷ Πατρὶ γεννᾷν ἑαυτὸν, ἐ τῆς ἰδίας γεννήσεως αἴτιος εἶναι, ἐδὲ δαίμοσι νομισθήσεται. ἡμεῖς δὲ τὸ Πνεῦμα τὸ Ἅγιον, αὐτὸ ἑαυτὸ προσωπικῶς ἐσιῦν, ἐ τῆς ἰδίας ἐκπορεύσεως αἴτιον εἶναι πιστεύσομεν; ἐ ποῖος ἅδης τοῦτο ἐρεύξεται; εἰ δὲ ἡ μὲν ἀΐδιος τοῦ Θεοῦ

tiam procedere facit. Eadem hæc, eodem modo & de Filio & de Spiritu, dicere possumus. Quoniam enim non solum Spiritus S. a Filio, sed etiam Filius a Spiritu, mittitur, tum, si idem est missio Spiritus, quod progressio, etiam in Filio necesse erit, idem esse missionem ejus, & generationem. At Spiritus non generat Filium, dum mittit eum, & dat, & in nobis collocat. Nec Filius ergo, dum mittit & dat Spiritum Sanctum, producit ipsum secundum subsistentiam. Quod si etiam illa, quæ nullo tempore facta est, Spiritus processio, ex causa est, ex causa quoque erit Filii, nullo temporis puncto facta generatio. Non ergo verum de eo loquitur, qui scribit: In principio erat citra causam. Si item id, cujus causa aliquid fit, ei præstat, quod illius causa fit, propter nos autem Spiritus S. essentiam habet, sequitur, nos ei excellere ratione finalis causæ. Alia denique absurda istam opinionem consequentia, cur enumerando quis tempus terat? Enimvero, si idem est, & persona Spiritus, quæ æterno, & indisjuncte subsistit in Patre, & donum, quod in tempore & impertiendo nobis datur, tunc &, quæ omnia secula antecedit, essentia ipsius, eadem est, quæ ipsius ad nos datio. Non enim Pater & Filius tantum illum dant, sed ipse quoque se, & ipse ex se. Spiritus ergo sanctus personaliter procedit. Deinde, Filium cum Patre seipsum generare, & suæ propriæ generationis autorem esse, ne a Dæmonibus quidem existimabitur. Nos vero, Spiritum S. ipsum se in substantiam, seu essentiam, personaliter producere, & suæ ipsummet progressionis autorem & causam esse credemus? Qui inferi, quæso, hoc eructabunt? Quod si vero æterna divini

Spiri-

Πνεύματος πρόοδος ἐκ ἔστιν ἐξ ἑαυτῦ, ἄτοπον γὰρ αὐτὸ ἑαυτὸ προσωπικῶς ἐκπορέυειν, ὡς δέδεικται, ἡ δὲ πρὸς ἡμᾶς αὐτῦ δόσις, ἐστὶ καὶ ἐκ τῦ Πνεύματος, ἄλλο ἄρα τὸ τῦ πνεύματος πρόσωπον, καὶ ἄλλο τὸ χάρισμα. ἕτερον δόσις τῦ Πνεύματος, καὶ ἕτερον ὕπαρξις. Ἀλλὰ τὸ πολλὴν ἐμποιῆν τοῖς πολλοῖς ἐξαπάτην, ἐκεῖνό ἐστιν· ὅτιπερ, ἡνίκα περὶ τῆς δοθέισης ταύτης, ἢ τῦ χαρίσματος ποιῆνται λόγον οἱ Ἅγιοι, ἐπεὶ μὴ μόνον παρὰ τῦ Πατρὸς, ἀλλὰ καὶ παρὰ τῦ Υἱῦ τῦτο δίδοσθαι ἴσασι, λοιπὸν καὶ ἐκ Πατρὸς δι' Υἱῦ προϊέναι, καὶ ἐκ Πατρὸς δι' Υἱῦ χορηγεῖσθαι, καὶ ἐκ Πατρὸς δι' Υἱῦ πεφηνέναι, καὶ ὅσα τοιαῦτα τιθέασιν. ὧν ἀκέοντες οἱ πολλοὶ, καὶ μὴ συνιέντες, ὡς ἐχὶ περὶ τῦ προσώπε τῦ Πνεύματος, ἀλλὰ περὶ τῦ χαρίσματος ταῦτα λέγεται, ἔχοντες δὲ καί τινα ζῆλον ἴσως περὶ τῦ Πνεύματος, κἂν μὴ κατ' ἐπίγνωσιν, εὐθὺς καὶ τὴν δόσιν ἐκπόρευσιν, καὶ τὸ χάρισμα πρόσωπον τῦ Πνεύματος οἴονται. κἀντεῦθεν τύτοις τὸ δόγμα ὠχυρῶσθαι δοκεῖ, καὶ οἷον ἐρανόμηκες τεῖχος τύτες ἡμῶν διῖξῶν. Ἀλλ' ὅγε τῶν διδασκάλων κύκλος, ἱκανὸς αὐτῆς μεταπεῖσαι τῆς τοιαύτης δόξης. Μᾶλλον δὲ τὸ τῦ Χριῦ σῶμα ὁ Παῦλος, πᾶσι πρὸς πίστωσιν ἐξαρκεῖ, νῦν μὲν λέγων, διαιρέσεις χαρισμάτων, καὶ ὅσα ἑξῆς, νῦν δὲ, ᾧ μὲν διὰ τῦ Πνεύματος δίδοται τόδε, ᾧ δὲ, τόδε, καὶ ἄλλῳ μὲν ἄλλο, ἑτέρῳ δὲ, ἕτερον, καὶ τύτοις πᾶσιν ἐπιφέρων, ὥσπερ τι σφράγισμα λόγε. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιρῶν ἰδίᾳ ἑκάστῳ, καθὼς βέλεται. ὥστε βελήσεως ἡ χάρις, ἀλλ' ἐχὶ φύσεως. ὥστε ἐχὶ προσώπων, ἀλλ' ἐνεργειῶν ἡ διαίρεσις. ὥστε

Spiritus proceſſio, non eſt ex ipſo Spiritu, (abſurdum enim eſt, ut ipſe producat ſeipſum perſonaliter, ſicuti, demonſtratum eſt) ipſa vero datio ejus, quæ ad nos fit, eſt etiam e Spiritu, aliud, profecto Spiritus perſona, & aliud donum eſt, aliud datio Spiritus, & aliud, eſſentia. Sed cauſa, quæ in magnum errorem multos adducit, illa eſt, quod, quando de gratia hac data, aut de dono, verba ſancti faciunt, poſtquam non tantum a Patre, ſed a Filio etiam, dari Spiritum ſciunt, hinc etiam ex Patre per Filium prodire, & ex Patre per Filium ſuppeditari, & ex Patre per Filium apparere, & id genus alia, ſtatuunt. Quæ cum plerique audiunt, nec intelligunt, ea non de perſona Spiritus, ſed de dono, dici: cumque forſitan zelum aliquem de Spiritu, etſi non ſecundum agnitionem, habent, continuo quoque dationem, pro proceſſione: & donum, pro perſona Spiritus, putant. Hoc, illis dogmatis hujus extruendi fundamentum extitiſſe videtur, quod ipſos, tanquam murus ad cœlum eductus, a nobis diſpeſcit. Verum ſatis eos Doctorum Eccleſiæ conſentiens cœnas, ab ea poteſt opinione abducere, imo Chriſti os Paulus, omnibus ad fidem faciendam ſufficit, alias dicens, diviſiones donorum, &c. alias, Alicui per Spiritum datur hoc, alii hoc, & alii aliud, rurſus alii diverſum. Quibus omnibus, tanquam ſignaculum, infert: Omnia autem hæc operatur unus & idem Spiritus, dividens ſeorſim unicuique, ut vult. Voluntatis ergo, gratia eſt, non autem naturæ. Ergo non perſonarum, ſed operationum, illa diviſio eſt. Quemadmodum igitur Deus,

ὥστε ὥσπερ ὁ τὰ ἐνεργήματα ἐνεργῶν Θεὸς, οὐκ ἔστιν ἐνέργημα, ἀλλὰ τὸ πρόσωπον αὐτὸ τοῦ Πατρὸς, καὶ ὁ τὰς διακονίας διαιρῶν Κύριος, διακονία οὐκ ἔστιν, ἀλλὰ τὸ πρόσωπον πάντως αὐτοῦ τοῦ Υἱοῦ, οὕτω καὶ τὸ διαιρεῖν τὰ χαρίσματα Πνεῦμα, οὐκ ἔστι χάρισμα, ἀλλ' αὐτὸ τὸ τοῦ Πνεύματος πρόσωπον. εἰ δὲ τὸ αὐτό ἐστι τὸ τοῦ Θείου Πνεύματος πρόσωπον, καὶ τὸ χάρισμα, καὶ ἡ αὐτὴ ἐστὶ δόσις τοῦ Πνεύματος καὶ ἐκπόρευσις, τὸ αὐτὸ ἄρα ἔσαι διακονία Κυρίου καὶ Κύριος, καὶ τὸ αὐτὸ ἔσαι Θεοῦ ἐνέργημα καὶ Θεὸς, εἴπερ τὸ διαιρεῖν πρόσωπον, τῷ διαιρεμένῳ χαρίσματα ταὐτόν. Ἀλλὰ τὴν δόξαν ταύτην ὁ θεῖος Ἀπόστολος διαιρῶν, ἵνα δείξῃ, ὅτι ἄλλο τῶν διαιρεμένων ἐστὶ τὸ διαιρεῖν τὰ διαιρέμενα πρόσωπον, διαπρυσίως οὕτω φησὶ, Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. τετέστι, τὰ μὲν διαιρέμενα, καὶ πλεῖστα, καὶ ποικίλα, τὸ δὲ διαιροῦν ταῦτα πρόσωπον, ἓν τὸ αὐτὸ καὶ ἁπλοῦν. καθάπερ οὖν ὁ Πατὴρ, παρέχων χαρίσματα τοῖς ἀνθρώποις, οὐκ αὐτὸς προσωπικῶς τινὶ παρὰ τοῦτο χαρίζεται, καὶ καθάπερ ὁ Υἱὸς, δυνάμεις διδοὺς τοῖς ἀξίοις, οὐ προσωπικῶς αὐτὸς τινὶ μεταδίδοται, οὕτω καὶ τὸ δὲ Πνεῦμα τὸ Ἅγιον, τὰς κοινὰς δωρεὰς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ ἑαυτοῦ διανέμον πιστοῖς, προσωπικῶς οὐδενὶ χορηγεῖται παρά τινος. ταύτας πλὴν τὰς κοινὰς δωρεὰς, καὶ ἑνικῶς Πνεῦμα, καὶ δόσιν, καὶ χάριν, καὶ δῶρον, καὶ χάρισμα, καὶ πληθυντικῶς Πνεύματα, καὶ Χαρίσματα, καὶ δόσεις, καὶ δῶρα, καὶ χάριτας οἱ Ἅγιοι λέγουσι, καὶ παρ' ἑνὸς ἑκάστου ἰδίως τῶν ἐν τῇ Θείᾳ Τριάδι προσώπων παρεχομένας

qui operationes edit, non eſt operatio, ſed ipſa perſona Patris, &, qui miniſteria dividit, Dominus, miniſterium non eſt, ſed omnino perſona ipſius Filii, eodem modo, qui dona dividit, Spiritus, donum non eſt, ſed ipſa Spiritus perſona. Si vero idem ſunt, ſancti Spiritus perſona, & donum, eademque eſt datio Spiritus, & proceſſio, ſequetur, idem eſſe miniſterium Domini, & Dominum, & idem, Dei operationem editam, ac Deum, ſiquidem perſona dividens, idem eſt, quod diviſum donum. At opinionem iſtam divinus Apoſtolus dividens, ut oſtendat, diverſam eſſe a diviſis donis, perſonam ea dividentem, clare ſic pronuntiat: Omnia autem hæc operatur unus & idem Spiritus, dividens unicuique, ſicut vult. Hoc eſt, ea quidem, quæ dividuntur, plurima & varia ſunt, perſona vero, quæ ipſa dividit, una eademque & ſimplex eſt. Quemadmodum igitur Pater, qui dona præbet hominibus, non ipſe perſonaliter alicui a ſe donatur, & ſicut Filius, cum facultates ſeu virtutes dignis dat, non perſonaliter ipſe alicui communicatur, eodem etiam modo Spiritus S., quando communes Patris, & Filii, & ſui, donationes fidelibus facit, nemini perſonaliter ab ullo ſumminiſtratur. Veruntamen has communes Trinitatis donationes, S. Patres, & ſingulari numero, Spiritum, dationem, gratiam, donum, munus: & pluraliſ, Spiritus, dationes, gratias, dona, munera, dicunt: easque ab unaquaque ſeorſim trium S. Triadis perſonarum præberi. Attamen & a duabus quibusvis, dixerit aliquis, &

νας αὐτὰς. καὶ παρὰ τῶν δύο χορηγουμένας, ὁποιωνοῦν εἰπεῖν τις, καὶ παρὰ τῶν τριῶν διδομένας οἷς ἄξιον. πλὴν ἐκ τοῦ Πνεύματος μὲν ἀμέσως, ἐκ δὲ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκ ἀμέσως.

Ἀλλὰ τὸ μὲν ψεῦδος, αὖραι, καὶ χάος, καὶ ζόφος φερέτωσαν, ὅτι δὲ ἄλλο φύσις ἐπὶ τῆς Θείας Τριάδος, καὶ ἄλλο ὑπόστασις, καὶ ἄλλο ἐνέργεια, οἱ τῆς ἀληθείας διδάσκαλοι μαρτυρείτωσαν. ὁ μὲν Δαμασκηνὸς Ἰωάννης ὅτω λέγων, ἰστέον, ὅτι ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργῶν. ἐνέργεια μὲν οὖν ἐστιν, ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις, ἐνεργητικὸν δέ, ἡ φύσις ἐξ ἧς ἡ ἐνέργεια προέισιν, ἐνέργημα δὲ, τὸ τῆς ἐνεργείας ἀποτέλεσμα, ἐνεργῶν δὲ, ὁ τῇ ἐνεργείᾳ κεχρημένος, ἤτοι ἡ ὑπόστασις. ὅ, τε Θεολόγος Γρηγόριος, ἄλλο γεννῶν, καὶ γέννησις, θέλων, καὶ θέλησις, λέγων, καὶ λόγος, εἰ μὴ ἐθελοκακοῦμεν. τὰ μὲν γὰρ ὁ κινῶν, τὰ δὲ, οἷον ἡ κίνησις. καὶ ὁ ἅγιος Ἰουστῖνος, ὁ φιλόσοφος καὶ μάρτυς, εἰ ἄλλο τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ ἐνυπάρχειν, καὶ ὑπάρχει μὲν τοῦ Θεοῦ ἡ οὐσία, ἐνυπάρχει δὲ τῇ οὐσίᾳ ἡ βουλὴ, ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη βουλή. ὁ δὲ Θεῖος Μάξιμος, οὐδὲν τῶν ὄντων χωρὶς ἐνεργείας φυσικῆς ὑφέστηκεν. Οἱ γὰρ Ἅγιοι πατέρες φασὶ φανερῶς, μήτε εἶναι, μήτε γινώσκεσθαι χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας, τὴν οἱανδήτινα φύσιν. καὶ ὁ τῆς Ἀλεξανδρείας Κύριλλος, εἰ τὸ γεννᾶν ταὐτὸν ἐστι τῷ ποιεῖν, ὁ γεννῶν, ἔσαι ποιῶν τὸ γεννώμενον, καὶ ὁποιῶν, γεννῶν τὸ ποιούμενον. Ἀλλὰ τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ, φύσεως δὲ, τὸ γεννᾶν. φύσις δὲ ἡ ἐνέρ-

ab omnibus tribus, dari hominibus dignis, verum, a Spiritu quidem, immediate, e Patre vero, & Filio, non immediate.

Sed mendacium quidem omne, venti, & chaos, & caligo auferant. Aliud vero naturam in S. Trinitate esse, aliud Hypostasin, & aliud operationem, Doctores veritatis testentur. Primo, Ioannes Damascenus, his verbis: Sciendum, inquit, inter se differre, operationem, operativum, operamentum, & operans. Operatio est efficax & substantialis motio naturæ. Operativum, ipsa natura est, ex qua operatio procedit. Operamentum, operationis effectus, seu opus. Operans vero, ille, qui operatione utitur, seu ipsa Hypostasis. Deinde Theologus Gregorius. Aliud est, generans, & generatio, volens, & voluntas, dicens, & oratio, nisi sponte nostra prave agere volumus. Illa enim motor sunt, hæc vero, tanquam motio. Sanctus etiam Philosophus & Martyr Iustinus, si aliud est, inquit, Esse, & aliud, Inesse, atque Est quidem substantia Dei, Inest vero substantiæ, consilium, aliud etiam est substantia Dei, & aliud, ipsius consilium. Præterea, divinus Maximus. Nihil eorum, quæ sunt, absque operatione naturali subsistit. Sancti enim Patres ajunt aperte, neque esse, neque cognosci, ullam naturam, absque substantiali sua operatione. Et Cyrillus Alexandrinus. Si generare, idem est, quod facere, ille, qui generat, faciens erit id, quod generatur, & qui facit, generans id, quod fit. Sed facere, operationis est, naturæ vero,

ἐνέργεια, ἃ ταὐτὸν. ἐκ ἄρα τὸ γεννᾶν, τῷ ποιεῖν ταὐτόν. ὥστε ἄλλο τῆς ἐνεργείας ἔσης, καὶ ἄλλο τῆς ὑποστάσεως, καὶ ἄλλο τῆς οὐσίας, ὥσπερ οὐδὲν ἐκεῖ γεννᾷ ἑαυτὸ, οὕτως οὐδὲν ἐκεῖ αὐτὸ ἑαυτὸ πορεύει καθ' ὕπαρξιν. ἄλλο τὸ γεννῶν πρόσωπον, καὶ ἄλλο τὸ γεννώμενον, ἄλλο τὸ ἐκπορεῦον, καὶ ἄλλο τὸ ἐκπορευόμενον. ἄλλο Υἱὸς, καὶ ἄλλο γέννησις Υἱῦ, ἄλλο Πνεῦμα, καὶ ἄλλο ἐκπόρευσις Πνεύματος, ἄλλο Θεῦ ὕπαρξις, καὶ ἄλλο Θεῦ συγκατάβασις. καὶ ταῦτα μὲν περὶ τῆς ἐκπορεύσεως τῦ Ἁγίυ Πνεύματος.

Generare. Natura autem, & operatio, non idem ſunt. Nec igitur, Generare, & Facere, idem. Quocirca, cum diſcrimen ſit inter operationem, & Hypoſtaſin, & Subſtantiam, ſicut nihil illic ſeipſum generat, ita etiam nihil illic ſeipſum procedere facit ſecundum exiſtentiam. Aliud eſt, perſona generans, & aliud, perſona generata. Aliud, quod ad procedendum producit, & aliud, quod procedit. Aliud, Filius, & aliud, generatio Filii. Aliud, Spiritus, & aliud, proceſſio Spiritus. Aliud, Dei eſſentia, & aliud, Dei ad noſtrum captum deſcenſio. Hæc, de ſancti Spiritus proceſſione.

ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ.

Περὶ δὲ τῦ αὐτεξουσίυ καὶ ἐφ' ἡμῖν, δεῖ πρῶτον θεωρῆσαι, ὅτι τὸ κακὸν ἐκ ἔστιν ἐν τοῖς οὖσιν, οὐδὲ παρὰ Θεῦ ἔχει τὴν γέννησιν. εἶδε καὶ γάρ φησιν ἡ γραφὴ, (Γενεσ. ά.) Πάντα ὅσα ἐποίησεν ὁ Θεὸς, καὶ ἰδὲ καλά. καὶ ἐχὶ ἁπλῶς καλὰ, ἀλλὰ καὶ λίαν. τί δὲ ἔστι τὸ κακὸν; διάθεσις ἐν ψυχῇ ἐναντίως ἔχουσα πρὸς ἀρετὴν, διὰ τὴν ἀπὸ τῦ καλῦ ἀπόπλωσιν τοῖς ῥαθύμοις ἐγγινομένην. μὴ τοίνυν ἔξωθεν τὸ κακὸν περιεργάζου, μηδὲ ἀρχέγονόν τινα φύσιν πονηρίας φαντάζου, ἀλλὰ τῆς ἐν ἑαυτῷ κακίας, ἕκαστος ἑαυτὸν ἀρχηγὸν λογιζέσθω. ἀεὶ γὰρ τῶν γινομένων τὰ μὲν ἐκ φύσεως ἡμῖν ἐπιγίνεται, οἷον γῆρας καὶ ἀσθένειαι, τὰ δὲ ἀπὸ ταυτομάτυ, οἷον αἱ ἄλογοι περιπλώσεις. Τὰ δὲ ἐφ' ἡμῖν τυγχάνει, ὡς τὸ κρατῆσαι τῶν ἐπιθυμιῶν, ἢ κολάσαι τὰς ἡδονὰς, ὡς τὸ καταχεῖν ὀργῆς, ἢ χεῖρας ἐπαφεῖναι τῷ παρο-

DE LIBERO ARBITRIO.

Sequitur de illo, quod in poteſtate noſtra, & penes nos, eſt. Hic primo conſiderandum eſt: Malum, non eſſe in numero rerum, quæ ſunt, neque a Deo ortum habere. Vidit enim (inquit Scriptura) omnia, quæ fecerat, Deus, & ecce, bona erant. Nec ſimpliciter bona, ſed etiam valde bona. Quid vero eſt malum? Affectio quædam animæ, virtuti aduerſans, quæ propter defectionem a bono, ſeu prolapſionem, ſocordibus innaſcitur. Noli igitur extrinſecus quærere Malum, neque primitivam aliquam malitiæ naturam finge: ſed ſuæ in ſeipſo vitioſitatis, unusquisque ſeipſum autorem principalem exiſtimet. Semper enim eorum, quæ fiunt, partim a natura nobis oboriuntur, ut ſenectus & imbecillitas: quædam vero, fortuito, ut varietates caſuum, quarum ratio reddi non poteſt, alia, penes nos ſunt, ut, tenere modum cupi-

παροξύνοντι, ἀληθεύειν ἢ ψεύδεσθαι. ἐπιεικὴ τὸ ἦθος εἶναι, καὶ μέτριον, ἢ ὑπέρογκον καὶ ἀλαζονείαις ὑπεραιρόμενον. ὧν τοίνυν αὐτὸς εἶ κύριος, τέτων τὰς ἀρχὰς μὴ ζητήσῃς ἔτερωθεν, ἀλλὰ γνώριζε τὸ κυρίως κακὸν, ἐκ τῶν προαιρετικῶν ἀποπλωμάτων τὴν ἀρχὴν εἰληφός. Οὐ γὰρ ἂν, εἴπερ ἀκέσιον καὶ μὴ ἐφ' ἡμῖν, τοσέτος μὲν ὁ φόβος ἐκ τῶν νόμων τοῖς ἀδικέσιν ἐπήρτητο, ἕτω δὲ ἀπαραιτήτοι τῶν δικασηρίων αἱ κολάσεις τὸ πρὸς ἀξίας τοῖς κακέργοις ἀντιμετρέσαι. Ἀλλὰ καὶ ὁ σοφὸς Σολομὼν, (Σοφ. β'.) ὁ Θεός, φησι, θάνατον ἐκ ἐποίησεν, ἀλλ' ἐπ' ἀφθαρσίᾳ τὸν ἄνθρωπον ἔπλασε κατ' εἰκόνα τῆς ἰδίας ἀϊδιότητος αὐτέ. φθόνῳ δὲ διαβόλε, θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. Εἰ τοίνυν κατ' εἰκόνα Θεῦ ἐπλάσθη ὁ ἄνθρωπος, ἄρχων ὑπάρχει, καὶ ἐ δῶλος. ποιήσωμεν γάρ φησιν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ ἀρχέτωσαν. ἐκ εἶπε, θυμέσθωσαν καὶ ἐπιθυμείτωσαν, καὶ λυπείσθωσαν. ἐ γὰρ τὰ πάθη εἰς τὴν τῦ Θεῦ εἰκόνα παρελήφθη, ἀλλ' ὁ λογισμὸς τῶν παθῶν δεσπότης. ἄνθρωπον κατ' εἰκόνα, τὸν ἔσω ἄνθρωπον λέγει. ἀλλ' ἐρεῖς σὺ, διατὶ ἐ λέγει ἡμῖν περὶ λογισμῦ; τὸν ἄνθρωπον εἶπε κατ' εἰκόνα Θεῦ, ὁ δὲ λογισμὸς, ἄνθρωπος; ἄκεσε τῦ Ἀποσόλε λέγοντος, (β'. Κορινθ. δ'.) εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Πῶς διαγνωρίζω ἀνθρώπες; ἕνα τὸν φαινόμενον, καὶ ἕνα τὸν ὑποκεκρυμμένον τῷ φαινομένῳ, ἀόρατον τὸν ἔσω ἄνθρωπον. ἔσω τοίνυν ἔχομεν ἄνθρωπον, καὶ διπλοῖ τινές ἐσμεν. καὶ τόγε ἀληθὲς λεγόμενον, ὅτι ἔνδον ἐσμέν.

cupiditatum, aut caſtigare voluptates, ut, cohibere iram, aut manus iniicere laceſſenti, verum dicere, aut mentiri, æquo & moderato ingenio eſſe, aut elato & jactabundo. Quæ igitur ipſe in poteſtate habes, horum principia & cauſas ne quære aliunde, ſed cognoſce, quod proprie Malum eſt, id ex voluntario receſſu & prolapſione ortum ducere. Niſi enim ita eſſet: ſed præter voluntatem & poteſtatem noſtram committeretur, non tot & tantæ legum minæ, injuſtis malum denunciantes, metumque incutientes, impenderent, non tam ſeveræ & indeprecabiles, dignam maleficis mercedem remetientes, pœnæ a Iudicibus infligerentur. At etiam ſapiens Solomon, Deus, inquit, mortem non fecit, ſed ad immortalitatem hominem formavit, ſecundum imaginem æternitatis ſuæ, ſed invidia Diaboli, mors in Mundum intravit. Si igitur ad imaginem Dei formatus eſt homo: Princeps eſt, & non ſervus. Inquit enim Deus: Faciamus hominem ad imaginem noſtram, & imperent. Non dixit: iraſcantur, & concupiſcant, & triſtentur. Non enim animorum morbi, ad imaginem Dei aſſumpti ſunt, ſed ratio, affectuum Domina eſt. Hominem ſecundum imaginem, internum hominem dicit. Sed dices tu: Cur non dicit nobis de ratione? Hominem dixit ſecundum imaginem Dei. Eſt ne ratio, homo? Audi, quid Apoſtolus dicat. Etſi, inquit, externus homo noſter perit, at internus renovatur in dies ſingulos. Quomodo duos diſco homines? unum, qui cernitur, alterum, qui ſub eo, quem cernimus, ὥϛε τὸ σῶμα, ὄργανον τῦ ἀνθρώπε, ψυχῆς

ψυχῆς ὄργανον, ἄνθρωπος δὲ κυρίως, κατ' αὐτὴν τὴν ψυχὴν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. τὸ μὲν τῇ κτίσει ἔχομεν, τὸ δὲ ἐκ προαιρέσεως κατορθῶμεν. ἐν τῇ πρώτῃ κατασκευῇ συνυπάρχει ἡμῖν τὸ κατ' εἰκόνα γεγενῆθαι Θεῦ. ἐκ προαιρέσεως κατορθῶται, τὸ καθ' ὁμοίωσιν εἶναι Θεῦ. τοῦτο δὲ τὸ κατὰ προαίρεσιν, δυνάμει ἐν ἡμῖν ὑπάρχει. ἐνεργείᾳ δὲ ἐαυτοῖς ἐπάγομεν. εἰ μὴ προλαβὼν εἶπεν ὁ Κύριος ποιῶν ἡμᾶς, ποιήσωμεν κ) καθ' ὁμοίωσιν. εἰ μὴ τὴν τοῦ γενέθαι καθ' ὁμοίωσιν δύναμιν ἡμῖν ἐχαρίσατο, ἐκ ἂν τῇ ἑαυτῶν ἐξουσίᾳ τὴν πρὸς Θεὸν ὁμοίωσιν ἐδεξάμεθα. νῦν μέν τοι δυνάμει ἡμᾶς ἐποίησεν ὁμοιωτικὸς Θεῦ, δύναμιν δὲ δὸς πρὸς τὸ ὁμοιοῦθαι Θεῷ, ἀφῆκεν ἡμᾶς ἐργάτας εἶναι τῆς πρὸς Θεὸν ὁμοιώσεως, ἵνα μὴ τὰ τῆς ἡμετέρας ὁμοιώσεως ἄλλῳ ἔπαινον φέρῃ, ἵνα τοίνυν αὐτὸ τὸ θαῦμα ἐμὸν γένηται, καὶ ἐκ ἀλλότριον, ἐμοὶ κατέλιπε τὸ καθ' ὁμοίωσιν Θεῦ γενέθαι. κατ' εἰκόνα γὰρ ἔχω τὸ, λογικὸς εἶναι, καθ' ὁμοίωσιν δὲ γίνομαι ἐν τῷ χριστιανὸς γενέθαι. Γίνεθε τέλειοι, ὅτι ὁ Πατὴρ ὑμῶν ὁ ἐν οὐρανοῖς τέλειός ἐστι. (Ματθ. ε.) Εἶδες, πῶς ἀποδίδωσιν ἡμῖν ὁ Κύριος τὸ καθ' ὁμοίωσιν; ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. εἰ τοίνυν ταῦτα ἕτως ἔχει, οὐδὲν κωλύει καὶ μετὰ τὴν ἐκ παραβάσεως πτῶσιν ἐκκλίναι μὲν ἀπὸ τοῦ κακοῦ τὸν ἄνθρωπον, ἐπεισάκτου ὄντος

latet, invisibilem internum hominem. Intus igitur hominem habemus, & duplices sumus: aut verius dicendo, intus sumus. Corpus ergo, instrumentum hominis est, animæ organon: Homo autem, proprie ratione animæ est, idque, secundum imaginem, & secundum similitudinem, quorum illud, ex creatione habemus; hoc vero, proposito & industria nostra consequimur. In prima nostri conditione contigit nobis, secundum imaginem factos esse Dei. Electione vero, & studio, comparatur, ut secundum Dei similitudinem simus. Hoc autem, quod secundum electionem est, facultate, seu potentia, in nobis est, operatione vero, vel actu, in nos introducimus. Si non antevertens dixisset Dominus, cum nos faceret: Faciamus & secundum similitudinem, si non facultatem, qua secundum similitudinem ejus fieremus, nobis donasset, non potestate nostra similitudinem Dei accepissemus. Nunc vero facultate nos instruxit, qua possimus Dei fieri similes. Cumque facultatem accedendi ad similitudinem Dei dederit, permisit nos similitudinis ad Deum esse operarios, ut ne nostræ similitudinis donum, alii laudem adferat. Ut igitur meum fiat hoc miraculum, non alienum, mihi reliquit facultatem fiendi ad similitudinem Dei. Nam quod ratione præditus sum, id secundum imaginem habeo. Ad similitudinem vero fio, dum Christianus fio. Fiatis perfecti, quod & pater vester, ille cœlestis, perfectus est. Vides, ubi interpretetur nobis Dominus illud, quod dicitur, secundum similitudinem? Quod Solem suum exoriri finit super malos & bonos, & pluit super justos & injustos. Si igitur hæc ita sese habent: nihil vetat, quo minus, etiam post transgressionis lapsum, declinare a malo, quod alienum & adventitium quiddam est, homo

possit,

ποιῆσαι δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν αἱρεῖσθαι, ὡς ἔχοντα τὸ αὐτεξέσιον. Ἀλλ' ἐδὲ τὸ ὑπὸ Μωσέως ῥηθὲν ἀναιρεῖ ὅλως τὴν αἵρεσιν τῦ καλῦ. Δηλοῖ δὲ πρὸ τῦ κατακλυσμῦ, καὶ μετὰ τὸν κατακλυσμὸν, τὸ φυσικῶς προσεῖναι τῷ ἀνθρώπῳ πονηρὸν, τὸ ἐπιθυμητικὸν, ἤτοι ἕτερον. Ὁ Θεὸς μὲν εἰς χρῆσιν ἐχαρίσατο, ἡμεῖς δὲ εἰς κακὸν ἐτρέψαμεν. Ὁ δὲ Ἑβραῖος, ἀντὶ τῦ ἐπιμελῶς, φυσικὸν τῦ ἀνθρώπῳ ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτῦ. Νοεῖται δὲ παρ' αὐτοῖς καὶ ἕτω, τὸ πλάσμα τῆς καρδίας, τετέσι, τὸν αὐτεξέσιον λογισμόν. Ἐγκεῖσθαι δὲ, καὶ ἥδεσθαι τοῖς κακοῖς ἐκ νεότητος, σπλάσθαι δὲ ἐκ εἰς τὸ ἐπιθυμεῖν κοίτης, ἀλλ' εἰς παιδοποιΐαν, ἐκ εἰς πορνείας. Ὡς τὸ θυμικὸν, εἰς φυλακὴν ἀλλ' ἐκ ἐπήρειαν. Ὅτι δὲ καὶ μετὰ τὴν παράβασιν, δύναμιν ἔχει ὁ ἄνθρωπος αἱρεῖσθαι τὸ ἀγαθὸν, δῆλον ἐντεῦθεν. Εἰ μὴ γὰρ τῦτο ἦν, ἐκ ἂν ὁ μὲν Δαβὶδ ἔλεγε, (Ψαλμ. λγ'.) Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίθητε. Ἕτερος δὲ προφήτης, ὡς ἀπὸ προσώπῳ τῦ Θεῦ, (Ζαχ. ά. καὶ Μαλαχ. γ'.) Ἐπιστράφητε πρὸς μὲ, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. Καὶ ἄλλος, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σε, καὶ ἐκ ἠθελήσατε; ὁ δὲ Κύριος ἐν ἐυαγγελίοις, ὅσις θέλει, φησίν, ὀπίσω μὲ ἀκολυθεῖν. Δείκνυσι δὲ τῦτο καὶ ἔτι σαφέστερον ἐν τῇ τῦ σπόρῳ παραβολῇ, ἐξῆλθε, λέγων, ὁ σπείρων τῦ σπεῖραι τὸν σπόρον αὐτῦ, ἀλλ' ἐχὶ τῦ ἀρόσαι. Ὡς δὴ τῆς ἀρόσεως παρ' ἡμῶν ὀφειλέσης εἰσενεχθῆναι. Καὶ ἐν τῇ παραβολῇ τῦ Ἀσώτῳ φησὶν. Εἰς ἑαυτὸν δὲ ἐλθὼν, ἔφη, πόσοι μίθιοι τῦ Πατρός μῳ περισσεύονται ἄρτων; Ἀλλὰ καὶ ὁ Πέτρος (ά. Κεφ. β'.) φησὶ, Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπο-

possit, & contra facere id, quod bonum est. Eligere quippe bonum potest, utpote liberam habens voluntatem. Nec quoque Mosis dictum, prorsus tollit electionem boni, sed significat, ante & post diluvium, homini naturaliter adesse malum, ut, vim concupiscendi, aut aliud simile. Deus quidem, ad usum donavit, nos vero ad malum convertimus. Hebræus vero, pro adverbio ἐπιμελῶς (diligenter, studiose) habet: Naturale est homini ad mala, a juventute sua. Intelligitur autem apud eos etiam sic. Figmentum cordis, hoc est, liberæ potestatis cogitatio, aut consilium. Incumbere vero (ἐγκεῖσθαι) pro, delectari malis a juventute. Formatum autem esse, non ad concupiscentiam concubitus, & ad procreandos liberos, non ad scortationem. Sic facultatem animæ irascentem, ad custodiendum & cavendum, non ad injuriam & contumeliam. Hominem vero, post lapsum quoque potentiam habere eligendi bonum, hinc manifestum est. Si enim hoc non esset, non diceret David: Accedite ad ipsum, & illuminamini. Et alius Propheta, sub persona Dei: Convertimini ad me, & convertar ad vos. Et alius: Hierusalem, Hierusalem, quoties volui congregare filios tuos, nec voluistis? Et in Evangeliis Dominus: Quicunque vult me sequi. Monstrat vero hoc multo clarius in Parabola de semine, dicens: Exivit, qui seminat, ad seminandum semen suum. Non dicit, ad arandum, quia innuit arationem a nobis adjungendam esse. Et in Parabola prodigi inquit: In se reversus, dixit. Quot mercenarii Patris mei abundant panibus? Sed & Petrus: Chri-

λιμπάνων ὑπογραμμὸν, ἵνα ἐξακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Ἐκ δὴ τούτων πάντων δείκνυται, ὡς τὸ μὲν ἀναστῆναι καὶ ἀκολουθῆσαι, ἐφ' ἡμῖν, καὶ δύναμιν ἔχομεν, ὥστε ἑλέσθαι τὸ ἀγαθὸν, ἢ χεῖρον ἢ τὸ κακόν. Ἑνὸς δὲ καὶ μόνου χρήζομεν, τῆς παρὰ Θεοῦ δηλαδὴ βοηθείας, ἵνα τὸ ἀγαθὸν κατορθώσωμεν καὶ σωθῶμεν, ἧς χωρὶς ἐδὲν ἀνύσαι ἰσχύομεν, κατά τε τὸ, χωρὶς ἐμοῦ ὐ δύνασθε ποιεῖν ἐδέν, καὶ τὰ ὅμοια τούτοις. Ἀλλὰ καὶ περὶ τούτου ἀρκεῖ.

ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ.

Ἐπεὶ δὲ καὶ τῶν μυστηρίων, τινὰ μὲν ἐργάζεσθε, πλὴν ἐπισφαλῶς διαστρέφοντες, καὶ μεταβάλλοντες καὶν τούτοις τὰ τῆς παλαιᾶς καὶ νέας διδασκαλίας ῥητὰ, εἰς τὸν οἰκεῖον σκοπὸν ὑμῶν. Τινὰ δὲ τούτων, ἐδὲ μυστήρια εἶναι λέγετε, ὡς παραδόσεις ὄντα, μὴ ὅτι γε τοῖς Θείοις ῥήμασι τεθεμελιωθεῖσαι, ἀλλὰ καὶ πάντη αὐτοῖς ἀντιπίπτουσαι, ὥστε καὶ τὸν Χρυσόστομον Ἰωάννην τὸν θεῖον ἀποδεξάμενον τὸ χρίσμα, οἷά τινα χειμάῤῥουν παρασυρῆναί τινα, κἀντεῦθεν καλοῦντες ἑαυτοὺς θεολόγους.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΓΙΩΝ ἐπικλήσεως.

Τήν τε ἐπίκλησιν τῶν Ἁγίων ματαίαν λογίζεσθε, καὶ τὰς εἰκόνας αὐτῶν, καὶ τὰ σεπτὰ λείψανα, καὶ τὴν προσκύνησιν ἀθετεῖτε, ἀπὸ τῆς Ἑβραΐδος πηγῆς λαμβάνοντες ἀφορμὰς. ἀθετεῖτε δὲ καὶ τὸ ἐξομολογεῖσθαι ἀλλήλοις, καὶ ἔτι πρὸς τούτοις τὴν Μοναστικὴν πολιτείαν, καὶ ἰσάγγελον, καὶ ἡμεῖς πρὸς ταῦτα φαμὲν, ὅτι τὰ περὶ τούτων Θεῖα ῥητὰ, ἐχ ἑρμήνευσαν θεολόγοι τοιοῦτοι, οἵπερ ἐσὲ

stus mortuus est pro nobis, exemplum seu formulam nobis relinquens, ut persequamini vestigia ipsius. E quibus omnibus demonstratur, surgere & sequi penes nos esse, nosque non minus boni, quam mali, eligendi, facultatem habere, uno autem, eoque solo, indigere, auxilio videlicet divino: ut, quod bonum est, perficiamus, & salutem consequamur, quo sine nihil peragere possumus, testante dicto: sine me nihil potestis facere, & ejus generis aliis dictis. De hoc quoque satis.

DE SACRAMENTIS.

Iam vero, quandoquidem e Mysteriis, sive Sacramentis, quædam admittitis, (sed cum errore, quippe pervertentes & mutantes in his etiam, antiquæ & novæ doctrinæ dicta, ad vestrum scilicet scopum tuendum) quædam vero horum, ne Sacramenta quidem esse dicitis: tanquam traditiones, quæ non modo divinis literis non fundatæ sint, sed etiam omnino iis repugnent, ita, ut etiam D. Ioannes Chrysostomus, qui Chrisma approbavit, velut torrens quidam abripiatur, indeque vosmet Theologos vocatis.

DE INVOCATIONE sanctorum.

Quandoquidem præterea invocationem Sanctorum, vanam existimatis, & imagines eorum, venerandasque reliquias, & adorationem, rejicitis ex Hebræo fonte sumpta occasione & ansa: rejicitis item mutuam alterius ad alterum confessionem: præterea, Monasticam vitam, Angelis æqualem: Ideo nos ad hæc respondemus, divina dicta, quæ de his extant, non interpretata expositaque esse a

simi-

ἐσὲ ὑμεῖς, ἀδὲ ὁ Θεῖος Χρυσόστομος ἢ ἄλλος ποτὲ τῶν μακαρίων, καὶ κατ' ἀλήθειαν Θεολόγων ἐκείνων ἀνδρῶν, ὥσπερ χειμάρρους παρεσύρη. Ἀλλ' αὐτός τε, καὶ οἱ κατ' αὐτὸν Θεῖοι ἄνδρες, πλήρεις ὄντες Ἁγίου Πνεύματος, καὶ θαύματα ποιοῦντες παράδοξα ζῶντες τε καὶ θανόντες, ἡρμήνευσαν ὡς ἡρμήνευσαν, καὶ τὰς τοιαύτας παραδόσεις ἀποδεξάμενοι, ὡς ἀναγκαίας καὶ εὐσεβεῖς ἀλληλοδιαδόχως ἡμῖν φέροντες παρέδωκαν. Ὧν ἐνίας καὶ ἡ πρεσβυτέρα Ῥώμη φυλάττει καὶ σέργει μεθ' ἡμῶν. Πόθεν ἓν ὑμεῖς, κρειττόνως τῆς παλαιᾶς καὶ νέας Ῥώμης σκεψάμενοι, τὰ μὲν τῶν ἀληθῶς Θεολόγων ἀφήκατε, τὰ ἑαυτῶν δὲ ὡς προτιμότερα ἡγεῖσθε; ἐκ τῆς πηγῆς τῆς Ἑβραΐδος. Ἀλλ' ἡ καταφρόνησις τῶν Ἁγίων Εἰκόνων, ὧδε καὶ τῶν Θείων Λειψάνων, παρ' Ἑβραίων ἔσχε τὴν ἀρχήν, ὡς ἐκ τῶν Ἱστοριῶν μανθάνομεν. Τά, τε χίσματα τὰ αὐτόθι πολλάγε ποικίλα ὄντα, τὰ τῶν Λατέρων Ἑβραῖοί τινες, ὡς ἠκέσθη, εὐσέβειαν ὑποκρινάμενοι, πρὸξένησαν καὶ διέσπειραν. Καὶ ἤδη, ὡς ὁρᾶτε, προκόπτουσιν ἐπὶ τὸ χεῖρον, καὶ ὁσημέραι αὐξάνουσιν. Οἷς ἡμεῖς ὅλως μὴ κοινωνοῦντες, τὰ μὲν τῆς ἐκκλησίας ἡμῶν μυστήρια ἀπαρασαλεύτως σέργομεν, ἐμμένοντες τοῖς εἰρημένοις ὑπὸ τῶν διαδόχων τῶν Θεοκηρύκων Ἀποστόλων. Καὶ τὰς ἑρμηνείας αὐτῶν, παντὸς χρυσίου καὶ λίθου τιμιωτέρας ἡγέμεθα. Ἐπικαλέμεθα δὲ καὶ τοὺς Ἁγίους πάντας, ἐχ' ὡς σωτῆρας καὶ λυτρωτάς, ἄπαγε. Εἷς γάρ ἐστι Σωτὴρ, καὶ Λυτρωτὴς ὁ Χριστὸς, ἀλλ' ὡς μεσίτας αὐτοὺς προβαλλόμεθα, ἡμεῖς οἱ ἁμαρτωλοὶ, καὶ ἐν κακοῖς ὄντες, τοὺς καλῶς καὶ θείως διηνυκότας τὸ ζῆν, καὶ πρὸς Θεὸν ἐκδημήσαντας, καὶ τὸ πρεσβεύειν

similibus veſtri Theologis, neque divinum Chryſoſtomum, aut alium quenquam beatorum illorum, & revera Theologorum, unquam inſtar torrentis abſtractum fuiſſe. Ipſe vero, & ipſius ſimiles divini viri, Spiritu S. pleni, miraculis a ſe editis ſtupendis in vita & morte clari, ſic interpretati ſunt, quemadmodum habemus: cæterique, traditiones tales cum approbaſſent, ut neceſſarias & pias, continua ſucceſſione per manus veluti tradentes, ad nos uſque propagarunt, quarum aliquas vetus etiam Roma obſervat, & nobiſcum amplectitur. Vnde igitur vos rectius & melius, vetere novaque Roma ſapuiſtis, ut verorum Theologorum ſcriptis relictis, veſtra iſta, meliora potioraque duceretis? Ex Hebræo fonte. At contemptio ſanctarum imaginum in hac urbe, & divinarum reliquiarum, ab Hebræis initium habuit, ſicut Hiſtoriæ teſtantur. Et Schiſmata, quæ apud vos ſunt, quæ multa variique generis ſunt, Lutheranorum, Hebræi aliqui, vt fama fert, pietatis ſimulatione introduxerunt, ac diſſeminaverunt. Nunc etiam, ſicut oculis cernitur, proficiunt in pejus, & quotidie creſcunt. Cum quibus equidem nos prorſus non communicantes quicquam Eccleſiæ noſtræ Myſteria, immota ſervamus, manentes in iis, quæ dicta ſunt a ſucceſſoribus præconum Dei Apoſtolorum, eorumque interpretationes, quovis auro & gemma precioſiores ducimus. Invocamus autem Sanctos omnes, non quidem, ut conſervatores & redemptores, (abſit. Vnus enim eſt conſervator & redemptor, Chriſtus) ſed pro mediatoribus eos objicimus: nos, qui peccatores, & in malis, ſumus, illos, qui pulchre & divine confecerunt vitæ

βέ ειν ὑπὲρ ἡμῶν πλουτοῦντας. Καί γε τοῦ σκοποῦ διηνεκῶς οὐχ ἁμαρτάνομεν. Καὶ γαρ τὰς ἱερὰς εἰκόνας αὐτῶν προσκυνοῦντες, καὶ τὰ λείψανα ἀσπαζόμενοι, μυρίας ἰάσεις ἐκβλύζοντα, τοῖς πιστῶς προσιοῦσιν ἑκάστοτε, ὠφέλειαν οὐ τὴν τυχοῦσαν καρπούμεθα παρ' αὐτῶν, καὶ ψυχῇ καὶ σώματι φωτιζόμεθα. Ἐξομολογούμεθα δὲ καὶ ἀλλήλοις κατὰ τὴν θείαν γραφήν. Καὶ τὸν ἰσάγγελον καὶ Μοναστικὸν ἀσπαζόμεθα βίον, καὶ τοῖς ἑλομένοις τὸν ζυγὸν τοῦτον, μηδαμῶς στραφῆναι ὀπίσω κελεύομεν, εἴ γε βούλοιντο εὔθετοι εἶναι εἰς τὴν τῶν Οὐρανῶν βασιλείαν.

Ἀξιοῦμεν δὲ ὑμᾶς τοῦ λοιποῦ μὴ κόπους παρέχειν ἡμῖν, μηδὲ περὶ τῶν αὐτῶν γράφειν καὶ ἐπιστέλλειν, εἴ γε τοὺς τῆς Ἐκκλησίας Φωστῆρας, καὶ Θεολόγους ἄλλοτε ἄλλως μεταχειρίζεσθε. Καὶ τοῖς λόγοις τιμῶντες αὐτοὺς, καὶ ἐπαίροντες, τοῖς ἔργοις ἀθετεῖτε, καὶ τὰ ὅπλα ἡμῶν ἄχρηστα ἀποδεικνύετε, τοὺς λόγους αὐτῶν τοὺς ἁγίους καὶ θείους, δι' ὧν ἂν ἡμεῖς γράφειν καὶ ἀντιλέγειν ὑμῖν εἴχομεν. ὥστε, τὸ καθ' ὑμᾶς, ἀπηλλάξατε τῶν φροντίδων ἡμᾶς. Τὴν ὑμετέραν οὖν πορευόμενοι, μηκέτι μὲν περὶ δογμάτων, φιλίας δὲ μόνης ἕνεκα, εἰ βουλητὸν, γράφετε. ἔῤῥωσθε.

curriculum, & ad Deum emigraverunt, pro nobisque intercedere large possunt. Nec frustra hoc facimus, sed scopum continenter attingimus. Dum enim sacras ipsorum imagines adoramus, & reliquias salutamus, quæ innumeras sanationes, ceu ebulliendo, effundunt, identidem illis, qui fide accedunt, fructum utilitatemque haud vulgarem percipimus ab ipsis, atque tum animo, tum corpore, illustramur. Confitemur item peccata nostra invicem, secundum S. Scripturam, nec non Angelorum similem, solitariam amplexamur vitam, iisque, qui hoc jugum subire volunt, nequaquam retrocedere mandamus, modo velint apti ad Regnum cœlorum esse.

Rogamus itaque vos, ne posthac labores nobis exhibeatis, neque de iisdem scribatis, & Scripta mittatis. Nam Theologos, qui Ecclesiæ lumina fuerunt, alias aliter tractatis, & verbis quidem honoratis eos, extollitisque, factis vero rejicitis, armaque nostra, inutilia nobis efficere vultis, excutere scilicet de manibus nostris, verba illorum sancta & divina, quibus nos ad scribendum, & contradicendum vobis, uti potuissemus. Quamobrem quantum ad vos attinet, liberastis nos curis. Vestram ergo viam euntes, ne amplius de Dogmatibus, sed amicitiæ tantum causa, si volueritis, scribite.

Ὁ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ἹΕΡΕΜΙΑΣ.

Ἐξεδόθη κατὰ τὸ ᾳ φ π ά. ἔτος, Μηνὶ Ἰουνίῳ ϛ'.

ὁ Πρωτονοτάριος Θεοδόσιος.

CONSTANTINOPOLEOS HIEREMIAS.

Editum 1581. anno, die Iunii 6.

Protonotarius Theodosius sst.

FINIS.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ἐν ᾧ περιέχεται

Η ΑΥΓΟΥΣΤΑΙΑ ΟΜΟΛΟΓΙΑ

ΗΤΟΙ ΤΑ ΤΗΣ

ΤΩΝ ΛΟΥΘΕΡΩΝ ΘΡΗΣΚΕΙΑΣ ΔΟΓΜΑΤΑ

ΚΑΙ ΑΡΘΡΑ

ΑΙ ΤΕ ΤΡΕΙΣ ΑΝΤΑΠΟΚΡΙΣΕΙΣ

ΠΡΟΣ ΤΑΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ,

ΤΡΕΙΣ ΑΠΟΚΡΙΣΕΙΣ.

ΝΥΝ ΤΟ ΔΕΥΤΕΡΟΝ

ΤΥΡΟΙΣ ΕΚΔΟΘΕΙΣ ΕΠΙΜΕΛΕΙΑ ΚΑΙ ΔΑΠΑΝΗ

ΓΕΔΕΩΝ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΚΥΠΡΙΟΥ.

ΣΧΟΛΗ ΘΕΟΛΟΓΙΚΗ ΑΘΗΝΩΝ
ΑΡ 945
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

TOMVS SECVNDVS

IN QVO CONTINENTVR

AVGVSTANA CONFESSIO

SEV

LVTHERANORVM RELIGIONIS OMNIA

DOGMATA ET ARTICVLI.

PRIMVM SECVNDVMQVE ET TERTIVM RESPONSVM

AD TRIA PATRIARCHAE CONSTANTINOPOLITANI

D. IEREMIAE

RESPONSA.

EDITIO SECVNDA

CVM DILIGENTIA AC SVMPTIBVS

GEDEON HIEROMONACHI.

LIPSIAE

LITTERIS BREITKOPFIIS.

1758.

ΕΞΟΜΟΛΟΓΗΣΙΣ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΤΟΥΤΕΣΤΙ ΔΙΔΑΧΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ, ΠΡΟΣΕΝΕΧΘΕΙΣΑ ΚΑΡΟΛΩ ΤΩ ΤΩΝ ΡΩΜΑΙΩΝ ΑΥΤΟΚΡΑΤΟΡΙ ΑΝΙΚΗΤΟΤΑΤΩ, ΕΝ ΤΗ ΤΟΥ ΣΕΤΑΣΤΟΥ ΠΑΡΩΝΥΜΩ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ ΠΟΛΕΙ, ΕΤΕΙ ΑΠΟ ΤΗΣ ΧΡΙΣΤΟΓΟΝΙΑΣ, ΑΦΛ.

CONFESSIO FIDEI, EXHIBITA INVICTISSIMO IMPERATORI CAROLO V. CAESARI AVGVSTO IN COMITIIS AVGVSTAE, ANNO MDXXX.

ΚΕΦΑΛΑΙΑ Ἢ ΑΡΘΡΑ ΤΗΣ ΠΙΣΤΕΩΣ ΕΞΑΙΡΕΤΑ.

Τὸ πρῶτον.

Ὁμοφρονοῦσαι αἱ παρ' ἡμῖν Ἐκκλησίαι διδάσκουσι, τὸ τῆς κατὰ Νίκαιαν γενομένης Συνόδου δόγμα περὶ ἑνότητος τῆς Θείας οὐσίας, καὶ τῶν τριῶν ὑποστάσεων, ἢ προσώπων ἀληθὲς εἶναι, καὶ χωρὶς παντὸς διστάγμου πιστευτέον, μίαν μὲν θηλαδὴ Θείαν οὐσίαν εἶναι, τήν τε λεγομένην καὶ οὖσαν Θεὸν ἀΐδιον, ἀσώματον, ἀμέριστον, ἀμετρήτῳ δυνάμει, σοφίᾳ, ἀγαθότητι, κτίσαντα καὶ διασώζοντα πάντα, τάτε ὁρατὰ καὶ ἀόρατα. Ὑποστάσεις δὲ τρεῖς, ὁμοουσίους, ὁμοδυνάμους καὶ συναϊδίους, ἤγουν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ τῷ τῆς ὑποστάσεως ὀνόματι χρῶνται ἐν

ARTICVLI FIDEI PRAECIPVI.

Primum.

Ecclesiæ magno consensu apud nos docent, decretum Nicenæ Synodi de unitate essentiæ divinæ, & de tribus Personis, verum, & sine vlla dubitatione credendum esse. Videlicet, quod sit vna essentia divina, quæ & appellatur, & est Deus, æternus, incorporeus, impartibilis, immensa potentia, sapientia, bonitate, creator & conservator omnium rerum, visibilium & invisibilium, & tamen tres sint personæ, ejusdem essentiæ & potentiæ, & coæternæ, pater, filius, & Spiritus sanctus. Et nomine personæ utuntur ea significatione

ἐν τῇ αὐτῇ σημασίᾳ, καθ' ἣν καὶ οἱ ἐκκλησιαστικοὶ ξυγγραφεῖς ἐν ταύτῃ τῇ πραγματείᾳ αὐτῷ κέχρηνται, ἵνα μὴ μέρος ἢ ποιότητος ἐν ἄλλῳ ὑποκειμένης σημαντικὸν ᾖ, ἀλλὰ τὸ ἰδιάζον, καὶ ἰδίως ὑφισάμενον ἐμφαίνῃ.

ne, qua usi sunt in hac causa scriptores Ecclesiastici, ut significet non partem aut qualitatem in alio, sed quod proprie subsistit.

Καταδικάζεσι δὲ πάσας αἱρέσεις, τὰς τόδε τῆς Ὀρθοδόξε Πίστεως ἄρθρον βλασφημησάσας· Οἷονεὶ τὴν τῶν Μανιχαίων, δύο ἀρχὰς διαπλασάντων, τὴν μὲν τὸ ἀγαθὸν, τὴν δὲ τὸ πονηρόν· Καὶ τὴν τῶν Βαλεντινιανῶν, καὶ τῶν Ἀρειανῶν, καὶ τῶν Εὐνομιανῶν, καὶ τῶν Μαχωμετιστῶν, καὶ συνελόντι εἰπεῖν, πάσας τὰς τῶν ἄλλων τέτοις παραπλησίων. Προσέτι δὲ καὶ τὴν τῶν περὶ Σαμοσατέα Παῦλον, τῶν τε παλαιῶν καὶ νεωτέρων, οἵτινες διατεινόμενοι μίαν μόνον ὑπόσασιν εἶναι, περὶ τῦ Λόγε, καὶ τῦ Ἁγίε Πνεύματος, πανέργως τε καὶ ἀσεβῶς ῥητορέυσι, καὶ σοφίζονται· Ὡς ἀ διωρισμένων ὑποσάσεων ἐσῶν, ἀλλὰ τῦ μὲν Λόγε τὸν κατὰ τὴν φωνὴν προφορικὸν λόγον σημαίνοντος, τῦ δὲ Πνεύματος κίνησίν τινα ἐν τοῖς ἔσι κεκλισμένην.

Damnant omnes hæreses, contra hunc articulum exortas, ut Manichæos, qui duo principia ponebant, Bonum & Malum, item Valentinianos, Arianos, Eunomianos, Mahometistas, & omnes horum similes. Damnant & Samosatenos, veteres & Neotericos, qui, cum tantum unam personam esse contendant, de Verbo, & de Spiritu sancto astute & impie rhetoricantur, quod non sint personæ distinctæ, sed quod verbum significet verbum vocale, & spiritus motum in rebus creatum.

Τὸ δεύτερον.

Εἶτα δὲ καὶ τῦτο διδάσκεσι, μετὰ τὸ τῦ πρωτοπλάσε Ἀδὰμ παράπλωμα, πάντας ἀνθρώπες πατρόθεν τε καὶ μητρόθεν τῇ φύσει ἁμαρτωλὲς γεννᾶσθαι, τετέσι χωρὶς φόβε τῦ Θεῦ, χωρὶς πεποιθήσεως τῆς ἐπὶ τὸν αὐτὸν, μᾶλλον δὲ ξὺν ἐπιθυμίᾳ καὶ ἀταξίᾳ, τὸ ἔμφυτον φαῦλον, καὶ μοχθηρὸν ἐνδεδυμένες. προσαγορέυσι δὲ τὸ ἔμφυτον φαῦλον, καὶ μοχθηρὸν τῆς ἀνθρωπίνης φύσεως, συμφρονέντος, καὶ ἀκολέθως τῇ τῶν ἐν Ἁγίοις Πατέρων καὶ πάντων τῶν Ὀρθοδόξων καὶ καὶ εὐσεβῶν ἐν τῇ Ἐκκλησίᾳ γνώμη τε καὶ διδαχῇ, τὸ ὑπόδικον, καὶ ἔνοχον τῇ αἰωνίᾳ κατακρίσει πάντων ἀνθρώπων. διὰ τὸ τῦ πρωτοπλάσε παράπλωμα, ἐφ' ᾧ πᾶς ἄνθρωπος τέκνον τῆς ὀργῆς

Secundum.

Item docent, quod post lapsum Adæ, omnes homines, naturali modo propagati, nascantur cum peccato originis, hoc est, sine metu Dei, sine fiducia erga Deum, & cum concupiscentia. Intelligimus autem peccatum originis, quod sic vocant sancti patres, & omnes orthodoxi, & pie eruditi in Ecclesia, videlicet reatum, quo nascentes, propter Adæ lapsum, rei sunt iræ

ὀργῆς τῦ Θεῦ τῇ φύσει γεννᾶται, καὶ τῷ αἰωνίῳ θανάτῳ ὑπαίτιος, καὶ ὑποχείριος· Καὶ δὴ καὶ τὴν παραφθορὰν τῆς ἀνθρωπίνης φύσεως, τὴν ἀπὸ τῦ Ἀδὰμ, παντὶ τῷ ἐμφυεῖσαν, ἢ καὶ τὴν στέρησιν, ἢ τὸ ὑστέρημα τῆς ἀρχῆθεν δικαιοσύνης, καὶ ὁλοκληρίας, ἢ ὑπακοῆς, καὶ τὴν ἐπιθυμίαν περιέχει.

iræ Dei & mortis æternæ, & ipſam corruptionem humanæ naturæ, propagatam ab Adam: Et hæc naturæ humanæ corruptio, defectus juſtitiæ ſeu integritatis, ſeu obedientiæ originalis, & concupiſcentiam complectitur.

Ἔστι δὲ τὸ ὑστέρημα, δεινή τις τυφλότης, καὶ ἄγνοια τῦ Θεῦ, καὶ ἀχλὺς ἢ ἐπισκότησις τῆς θείας ἐλλάμψεως καὶ Θεογνωσίας, ἥτις τῇ ἀνθρωπείᾳ φύσει ὁλοχερῶς καὶ ἁπλαίτως ἔτι ἐχέση ἐνηυγάσατ' ἂν, καὶ διαφορὰ τῆς ὀρθότητος· τετέσι φθορὰ τῦ ἀμεταπλώτε καὶ δινεκῦς τῆς ὑπακοῆς, καὶ τῦ ἀνυποκρίτε καὶ ἀκραιφνῦς καὶ ἀνυπερβλήτε τῆς ἀγάπης τῦ Θεῦ, καὶ τῶν ὁμοίων τέτοις, τῇ εἰλικρινεῖ καὶ ἔπω παραπεπλωκύια ἀνθρωπίνῃ φύσει Θεόθεν ἐγκεχαραγμένων.

Eſtque defectus horribilis cæcitas, & inobedientia, ſcilicet carere illa luce ac notitia Dei, quæ fuerat futura in natura integra: item carere illa rectitudine, hoc eſt, perpetua obedientia, vera, pura ac ſumma dilectione Dei, & ſimilibus donis integræ naturæ. Eſtque vitium originis vere peccatum, damnans & afferens nunc quoque æternam mortem his, qui non renaſcuntur per baptiſmum & Spiritum ſanctum.

Λέγοντες τῦτο τὸ νόσημα, ἢ κακίαν τῆς ἐφθαρμένης τῶν ἀνθρώπων φύσεως. ὄντως ἁμαρτίαν εἶναι, καταγινώσκεσαν καὶ μέχρι τῦ παρόντος αἰώνιον θάνατον πάντων, τῶν μὴ ἀναγεννηθέντων διὰ τῦτε Βαπτίσματος καὶ τῦ Ἁγίε Πνεύματος.

Οὕτω δὶ ὑπ' αὐτῶν φρονέντων τε καὶ διδασκόντων, κατακρίνονται οἱ Πελαγιανοὶ ἐπονομαζόμενοι, καὶ προσέτι καὶ ἄλλοι, οἵτινες ἦν, οἱ ἀρνέμενοι τὴν δὲ τὴν ἐκ γενετῆς μεχθηρίαν καὶ φαυλότητα, ἁμαρτίαν εἶναι πρὸς ἀτιμίαν τῆς ἀπολυτρώσεως, καὶ τῶν εὐεργετημάτων τῦ Χριτῦ, διαμάχονται λέγοντες, τὸν ἄνθρωπον ταῖς οἰκείαις τῆς ψυχῆς δυνάμεσι, οἱόντε εἶναι τὸν νόμον τῦ Θεῦ πληρῶσαι καὶ ἐνώπιον αὐτῦ δικαιωθῆναι.

Damnant Pelagianos, & alios, qui vitium originis negant eſſe peccatum, & ut extenuent gloriam meriti & beneficiorum Chriſti, diſputant, hominem legi Dei ſatisfacere, & propriis viribus rationis coram Deo juſtificari poſſe.

Τὸ τρίτον.

Πρὸς δὲ τοῖς εἰρημένοις, ἓν τῶν παρ' ἡμῖν διδασκομένων καὶ τῦτό ἐστιν, ὅτι ὁ Λόγος, ἦγεν ὁ Υἱὸς τῦ Θεῦ, τὴν ἀνθρωπί-

Tertium.

Item docent, quod verbum, hoc eſt, filius Dei, aſſumſerit humanam naturam, in utero beatæ Ma-

Θρωπίνην φύσιν ἐν κοιλίᾳ τῆς μακαρίας ἀειπαρθένε Μαρίας ἀνέλαβεν, ἵνα δύο φύσεις, ἡ θεία δηλονότι καὶ ἡ ἀνθρωπίνη, ἐν ἑνώσει ὑποστατικῇ ἀχωρίστως συνδεθεῖσαι, ἀεὶ διατελῶσιν. Εἷς τοίνυν ὁ Χριστὸς, ὄντως Θεὸς, καὶ ὄντως Ἄνθρωπος, τεχθεὶς ἐκ Μαρίας τῆς ἀειπαρθένε, ὄντως παθὼν, σταυρωθεὶς, θανὼν, καὶ ταφεὶς, ὥστε τὸν Πατέρα ἡμῖν ἀποκαταλλάξαθαι, καὶ θυσίαν γενέθαι, ὲ μόνον ὑπὲρ τῆ ἀρχαίε παραπλώματος, καὶ τῆ ὑπαιτίε τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ καὶ ὑπὲρ πάντων, ὅσα παρανομῆντες οἱ ἄνθρωποι καταδίκης ἄξια ἐργάζονται. Ὁ αὐτὸς καὶ εἰς ᾅδε κατῆλθε, καὶ ἀληθῶς ἡμέρᾳ τῇ τρίτῃ ἀνέστη, κἄπειτα εἰς ὐρανὲς ἀνῆλθε, κάθεζόμενος ἐκ δεξιῶν τῆ Πατρὸς, ἀδιαλείπτως καὶ ἀτελευτήτως βασιλέυων, καὶ κυριέυων πάσης τῆς κλίσεως, καὶ ἁγιάζων τὲς πιστέυοντας εἰς αὐτὸν, πέμψας εἰς τὰς καρδίας αὐτῶν τὸ Πνεῦμα τὸ Ἅγιον, διευθῦνον, παρηγορῆν, καὶ ζωοποιῆν αὐτὲς, καὶ δὴ καὶ ὑπερασπίζον αὐτῶν κατὰ τῆτε διαβόλε, καὶ τῆ τῆς ἁμαρτίας κράτες. Οὗτος ὁ Χριστὸς περιφανῶς καὶ ἐνδόξως ἀπονοσήσειν μέλει, κρῖναι ζῶντας καὶ νεκρὲς, κατὰ τὸ τῶν Ἀποστόλων Σύμβολον. Κατακρίνονται δὲ κἀνταῦθα, ὡς ἐν τοῖς πρὸ τῆ κεφαλαίοις, αἱ τόδε τῆς πίστεως ἄρθρον κατατρέχσαι αἱρέσεις.

riæ virginis, ut ſint duæ naturæ, divina & humana, in unitate perſonæ inſeparabiliter conjunctæ, vnus Chriſtus, vere Deus, & vere homo, natus ex virgine Maria, vere paſſus, crucifixus, mortuus, & ſepultus, ut reconciliaret nobis Patrem, & hoſtia eſſet non tantum pro culpa originis, ſed etiam pro omnibus actualibus peccatis hominum. Idem deſcendit ad inferos, & vere reſurrexit tertia die, deinde aſcendit ad cœlos, ut ſedeat ad dexteram patris, & perpetuo regnet & dominetur omnibus creaturis, ſanctificet credentes in ipſum, miſſo in corda eorum ſpiritu ſancto, qui regat, conſoletur, ac vivificet eos, ac defendat adverſus diabolum & vim peccati. Idem Chriſtus palam eſt rediturus, ut judicet vivos & mortuos reſuſcitatos, juxta Symbolum Apoſtolorum.

Τὸ τέταρτον.

Ἵνα δὲ τέτων τῶν ἐυεργετημάτων τῆ Χριστῆ, τῆς ἀφέσεως δηλαδὴ τῶν ἁμαρτιῶν, καὶ τῆς δικαιοποιίας, καὶ ζωῆς τῆς αἰωνίε, ἐπιτυχεῖς γενώμεθα, διέταξεν ὁ Χριστὸς τὴν τῆ Εὐαγγελίε ἀνακήρυξιν, δι' ἧς αὐτὰ αἱ μεγαλοδωρίαι τῆ λυτρωτῆ ἡμῖν προσφέρονται. Ὡς γέγραπται ἐν τῇ κατὰ Λεκᾶν Εὐαγγελικῇ διηγήσει, κεφαλαίῳ τῷ ἐχάτῳ, κηρυχθῆναι δεῖν ἐπὶ τῷ ὀνόματι αὐτῆ μετάνοιαν, καὶ ἄφεσιν

Quartum.

Ut autem conſequamur hæc beneficia Chriſti, ſcilicet remiſſionem peccatorum, juſtificationem, & vitam æternam, dedit Chriſtus Evangelium, in quo hæc beneficia nobis proponuntur, ſicut ſcriptum eſt Lucæ ultimo, prædicari pœnitentiam in nomine ejus, & remiſ-

ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη. Πάντων γὰρ ἀνθρώπων, ὡς προείρηται, τὸ τῆς φύσεως νοσερὸν καὶ ἀκάθαρτον περιβεβλημένων, καὶ πατρόθεν τε καὶ μητρόθεν ἁμαρτωλῶν γεννηθέντων, καὶ τὸν Θεῖον Νόμον παραβαινόντων, καὶ μὴ φυλάττειν τὰς ἐντολὰς αὐτῷ, μήτ' ἐξ ὅλης τῆς καρδίας τὸν Θεὸν ἀγαπᾷν δυναμένων, τὸ Εὐαγγέλιον μέντοι καὶ τὰς ἁμαρτίας διελέγχει, καὶ τὸν μεσίτην καὶ λυτρωτὴν Χριστὸν ἡμῖν ἀποδεικνύει, καὶ περὶ τῆς ἀφέσεως τῶν παραπτωμάτων ἡμᾶς μαθητεύει.

remissionem peccatorum inter omnes Gentes. Cum enim omnes homines, naturali modo propagati, habeant peccatum, nec possint vere legi Dei satisfacere, Evangelium arguit peccata, & ostendit nobis Mediatorem Christum, & sic docet nos de remissione peccatorum.

Χρὴ γὰρ ἐξελεγχομένων καὶ καταφωρωμένων διὰ τῆ Εὐαγγελίᾳ τῶν ἁμαρτιῶν, τὰς ἐμφόβους ἐπ' αὐταῖς, καὶ κατανυσσομένας τὰς καρδίας, ἐπερειθέντας ταῖς ἐπαγγελίαις, ἀναμφιβόλως καὶ ἄνευ διςαγμῆ πιςεύειν, δωρεὰν διὰ τὸν Χριςὸν, γενόμενον ὑπὲρ ἡμῶν θυσίαν, καὶ ἐξιλασάμενον ἡμῖν τὸν Πατέρα, πασῶν ἡμᾶς ἁμαρτιῶν ἀφέσεως ἐπιτυγχάνειν, καὶ ἐνώπιον τῆ Θεῆ δικαιῆσθαι. Τοιγαρῆν εἰ καὶ ἀπαιτεῖ τὸ Εὐαγγέλιον τὴν μετάνοιαν, ὅμως δ' εἰς τὸ βεβαίαν εἶναι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, προῖκα καὶ δωρεὰν, τυτέςι μὴ δι' ἀξίαν τῆς ἀγαθεργίας ἡμῶν, μήτε διὰ τὰ προηγησάμενα ἢ παρεπόμενα τῶν ἡμετέρων κατορθωμάτων προσφέρεσθαι αὐτὴν ἡμῖν διδάσκει. Σφαλερὰ γὰρ καὶ ἀβέβαιος ἂν ἐγίνετο ἡ τῶν ἁμαρτιῶν ἄφεσις, εἰ νομιςέον ἂν ἦν, τηνίκα δὴ ἐπιτεύξεσθαι ἡμᾶς αὐτῆς, ὅταν τοῖς προηγησαμένοις τῶν ἀγαθεργημάτων αὐτὴν μισθαρνήσωμεν, ἢ ἀξία ἱκανῶς τῆς τῶν ἁμαρτιῶν ἀφέσεως αὐτὴ ἡ μετάνοια ἔσα τυγχάνη.

Cum Evangelium arguit peccata nostra, corda perterrefacta statuere debent, quod gratis nobis propter Christum donentur remissio peccatorum, & justificatio per fidem, qua credere & confiteri debemus, hæc nobis donari propter Christum, qui pro nobis factus est hostia, & placavit Patrem. Quanquam igitur Evangelium requirit pœnitentiam: tamen ut remissio peccatorum certa sit, docet eam gratis donari, hoc est, non pendere ex conditione dignitatis nostræ, nec dari propter ulla præcedentia opera, aut dignitatem sequentium. Fieret enim incerta promissio, si ita sentiendum esset, tum demum nobis contingere remissionem peccatorum, postquam eam præcedentibus operibus meriti essemus, aut satis digna esset pœnitentia.

Ἐπειδὴ ἀδημονῆσα καὶ ςενοχωρεμένη ἡ συνείδησις ἐδὲν ἔργον εὑρίσκειν δύναται, ὃ τῇ τῆ Θεῆ ὀργῇ ἀντιπαρατάσσοιτ' ἄν· Καὶ δι' αὐτὴν τὴν δε τὴν αἰτίαν ὁ Θεὸς τὸν

Conscientia enim in veris pavoribus nullum invenit opus, quod possit opponere iræ Dei, & Christus nobis donatus & propositus est, ut

sit

τὸν Υἱὸν αὐτῦ ἡμῖν ἐχαρίσατο, ὥστε μόνον αὐτὸν ἱλαστῆρα γενέσθαι. Διὸ χρὴ ταύτην τὴν τιμὴν καὶ δόξαν τῦ ἐξιλασμῦ, μόνῳ τῷ Χριστῷ ὀφειλομένην τε καὶ προσήκουσαν, ἀδαμῶς τοῖς ἡμετέροις ἔργοις προσνεμηθῆναι. Οὕτως ἓν καὶ ὁ Παῦλος πρὸς Ἐφεσίους (Κεφ. β'.) ἔγραψε: „Τῇ χάριτι ἐστὲ σεσωσμένοι, διὰ τῆς Πίστεως, (καὶ τῦτο ἐκ ἐξ ὑμῶν, Θεῦ τὸ δῶ„ρον.) ἐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται.

sit propitiator. Hic honos Christi non debet transferri in nostra opera. Ideo Paulus dicit: (Ephes. II.) „gratis salvati estis per fidem.

Καὶ πρὸς τὰς Ῥωμαίους, (Κεφ. δ'.) Διὰ τῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν. Τότε γὰρ ἀσφαλῶς καὶ ἀμετακινήτως ἔχει τὸ συνειδὸς ἀμφὶ τὸ πιστεύειν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὅταν ἀκέη, ἐκ ἐξηρτῆσθαι αὐτὴν τῆς ἀξίας ἡμῶν, ἀλλὰ χάρισμα εἶναι, καὶ δῶρον τῦ Θεῦ, διὰ τὸν Χριστὸν ἡμῖν διδόμενον. Αὕτη ἄρα ἡ παραμυθία βεβαίατε, καὶ τοῖς περιλύποις καὶ τεθλιμμένοις τὴν ψυχὴν διὰ τὰς ἁμαρτίας ἀναγκαία ἐστι, καὶ τῇ τῶν ἐν Ἁγίοις Πατέρων διδαχῇ συνᾴδει. Ὁ γὰρ ἀμβρόσιος ὧδέπῃ φησί: „Διετάγη ὑπὸ τῦ Θεῦ τῦτο, σωθῆναι „τὸν πιστεύοντα εἰς Χριστὸν, χωρὶς ἔργε, μόνῃ τῇ πίστει τῆς τῶν ἁμαρτιῶν „ἀφέσεως ἐπιτυγχάνοντα.

Item, (ad Romanos Cap. IV.) ideo ex fide gratis, ut sit firma promissio, hoc est, ita erit certa remissio, cum sciemus, eam non pendere ex conditione nostræ dignitatis, sed donari propter Christum. Hæc est firma & necessaria consolatio piis & perterrefactis mentibus. Atque ita docent & S. Patres: Et extat apud Ambrosium memorabilis & insignis sententia, his verbis: „hoc constitutum est a Deo, ut qui „credit in Christum, salvus sit, sine „opere, sola fide gratis accipiens re„missionem peccatorum.

Ἡ δὲ τῆς πίστεως λέξις ὐ μόνον τὴν ἱστορικὴν γνῶσιν ἐμφαίνει, ἀλλὰ καὶ τῆς πεποιθήσεως, καὶ συγκαταθέσεως σημαντική ἐστι, τῆς προσοικειώσης ἡμῖν τὴν περὶ ἀφέσεως ἁμαρτιῶν, καὶ δικαιώσεως καὶ ζωῆς αἰωνίε ἐπαγγελίαν, καὶ αὐτὴν τοῖς ἱστορεμένοις περὶ τῦ Χριστῦ προσήκουσαν. Διὸ καὶν τῷ τῶν Ἀποστόλων Συμβόλῳ τῇ ἱστορίᾳ τῦτο τὸ Ἄρθρον πρόσκειται, Πιστεύω ἄφεσιν ἁμαρτιῶν, ὃ καὶ πάντων τῶν ἄλλων κορυφαῖόν ἐστι. Ταύτην γὰρ τὴν χάριν οἷον τέλος καὶ πέρας ὅλης τῆς ἱστορίας λέγοντις εἶναι, ἐκ ἂν ἀφα-

Et fidei vocabulum, non solum cognitionem historiæ de Christo significat: sed etiam credere & assentiri huic promissioni, quæ est Evangelii propria, in qua propter Christum nobis promittuntur remissio peccatorum, justificatio, & vita æterna. Nam & hæc promissio ad historiam de Christo pertinet: sicut & in Symbolo additus est historiæ hic articulus: Credo remissionem peccatorum. Et ad hunc articulum, reliqui de historia Christi referri debent. Nam id beneficium

ἀφαμαρτάνοι τῇ ἀληθῶς· Παθόντος γε καὶ ἀναστάντος διὰ τοῦτο τοῦ Χριστοῦ, ὥστε δι' αὐτὸν τὴν ἄφεσιν ἡμῖν τῶν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον δοθῆναι.

Τὸ πέμπτον.

Διέταξε τοίνυν ὁ Χριστὸς τὴν διακονίαν τοῦ Εὐαγγελίου, τήνδε μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν ἀνακηρύττοντος. Ἔστι δὲ ἀμφότερον τὸ κήρυγμα Καθολικόν. Πάσας γὰρ πάντων ἀνθρώπων ἁμαρτίας ἀπελέγχει, καὶ πᾶσι τοῖς πιστεύουσιν ἄφεσιν αὐτῶν ἐπαγγέλλεται, ἵνα μὴ σφαλεράντις αὐτὴν καὶ ἀμφισβητήσιμον ἢ ἀβέβαιον ἔναι ὑπολαμβάνῃ· ἀλλ' ἵνα πάντες οἱ ἐσενοχωρημένοι καὶ συντετριμμένοι τὰς καρδίας, τῇ ἐπιγνώσει τῶν ἁμαρτιῶν εἰδῶσι πιστευτέον εἶναι, τῇ χάριτι αὐτὲς διὰ τὸν Χριστὸν, καὶ μὴ διὰ τὴν ἰδίαν ἱκανοποιίαν ἢ ἀξιότητα τέτων ἀφίεσθαι. Καὶ ἔτως ἄρα παρηγορῆντες ἑαυτὲς ταῖς ἐπαγγελίαις ταῖς ἐν τῷ Εὐαγγελίῳ, καὶ ἀνεγειρόμενοι τῇ πίστει, ἀνενδοιάστως τῆς τῶν ἁμαρτιῶν ἀφέσεως ἐπιτυχεῖς γινόμεθα, καὶ ἅμα τὸ Πνεῦμα τὸ Ἅγιον ὁ Θεὸς ἡμῖν χαρίζεται. Ἐπειδὴ διά τε τοῦ λόγε τοῦ Θεοῦ, καὶ τῶν Μυστηρίων, καὶ παραγίνεται αὐτὸ τοῖς ἀνθρώποις, καὶ ἐνεργάζεται, ἀκροωμένοις γε καὶ μελετῶσι τὴν Εὐαγγελικὴν διδαχὴν, καὶ χρωμένοις τῇ τῶν Μυστηρίων κοινωνίᾳ, καὶ τῇ πίστει ἑαυτὲς παραμυθημένοις. Λέγει γὰρ ἐν τῷ τρίτῳ τῆς πρὸς Γαλάτας Ἐπιστολῆς ὁ Παῦλος, „ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύσι. Καὶ „πρὸς τὲς Κορινθίες γράφων ὁ αὐτὸς, τὸ Εὐαγγέλιον διακονίαν τοῦ Πνεύμα„τος καλεῖ. Καὶ τοῖς Ῥωμαίοις ἐπιστέλλων, ἡ πίστις, φησὶν, ἐξ ἀκοῆς, ἡ δὲ „ἀκοὴ διὰ ῥήματος Θεοῦ. Διὸ παρακαλέντων ἡμῶν ἑαυτὲς διὰ πίστεως, καὶ ἐλευ-

ficium est finis historiæ: ideo Christus passus & resuscitatus est, ut propter ipsum nobis donarentur remissio peccatorum & vita æterna.

Quintum.

Itaque instituit Christus ministerium docendi Evangelii, quod prædicat pœnitentiam & remissionem peccatorum. Estque vtraque prædicatio universalis: omnium peccata arguit, & omnibus credentibus promittit remissionem peccatorum, ut non sit incerta remissio, sed ut omnes perterrefactæ mentes sciant, se debere credere, quod certo ipsis donetur remissio peccatorum propter Christum, non propter ipsorum merita, aut dignitatem. Hi omnes certo consequuntur remissionem peccatorum. Et cum hoc modo consolamur nos promissione seu Evangelio, & erigimus nos fide, simul datur nobis Spiritus sanctus. Nam Spiritus sanctus datur & est efficax per verbum & per Sacramenta. Cum Evangelium audimus aut cogitamus, aut Sacramenta tractamus, & fide nos consolamur, simul est efficax Spiritus sanctus, juxta illud Pauli ad Galatas tertio: „ut promissio ex „fide Jesu Christi detur credentibus. „Et ad Corinthios: Evangelium est mi„nisterium Spiritus. Et ad Rom. Fi„des ex auditu est. Cum igitur fide nos

θερω-

θερεμένων τῶν ταραχῶν καὶ ὠδίνων τῆς ἁμαρτίας διὰ Πνεύματος τοῦ Ἁγίου, ἀπογεννητικῶ καὶ ἐμποιητικῶ ταῖς καρδίαις ἡμῶν ὄντος καὶ τῶν λοιπῶν ἀρετῶν, ἀληθῶς ἤδη τὸ εὔσπλαγχνον καὶ φιλάνθρωπον ἢ τὸ ἔλεος τῶ Θεῶ ἐπιγινώσκομεν, καὶ ἀγαπῶμέντε καὶ φοβέμεθα αὐτὸν, πεποίθησιν, παραδοκίαν τῆς βοηθείας τοῦ Θεοῦ, καὶ ἐπίκλησιν αὐτοῦ μόνου, καὶ τὰ τέτοις ὅμοια τῷ Πνεύματι καρποφορῶντες.

nos consolamur & liberamur a terroribus peccati, per Spiritum sanctum, concipiunt corda cæteras virtutes, agnoscunt vere misericordiam Dei, concipiunt veram dilectionem, verum timorem Dei, fiduciam, spem auxilii divini, invocationem, & similes fructu spiritus.

Οὕτω δὲ διδάσκοντες οἱ παρ' ἡμῖν Θεολογοῦντες, καταγινώσκεσι πάντων τῶν μὴ καὶ αὐτῶν τάυτην τὴν πίσιν, ἀφέσεως δηλονότι τῶν ἁμαρτιῶν μόνην καταληπτικὴν διδασκόντων, ἀλλὰ διαζειν καὶ ἀμφιβόλως ἔχειν τὰς συνειδήσεις κελευόντων, περὶ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως καὶ λεγόντων τὸν δικαιομὸν ἐκ ἁμαρτίαν εἶναι, καὶ δὴ κἀκείνων, οἵτινες διδάσκοντες τὲς ἀνθρώπες ἐ κατὰ χάριν, ἀλλὰ κατ' ἀξίαν τὴν οἰκείαν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἐπιτυχεῖν, ἐ πιστευτέον εἶναι φασὶ, δωρεὰν αὐτὲς διὰ τὸν Χριστὸν δικαιῶθαι.

Damnantur illi, qui de hac fide, qua remissio peccatorum accipitur, nihil docent, sed jubent conscientias dubitare, an consequantur remissionem peccatorum. Et addunt hanc dubitationem non esse peccatum. Item, docent homines consequi remissionem peccatorum, propter propriam dignitatem, non docent, credendum esse, quod gratis propter Christum, remissio peccatorum donetur.

Πρὸς τέτοις δὲ ἡ τῶν ἀναβαπτιστῶν, καὶ ἄλλων πάντων τέτοις παραπλησίων φρονέντων τε καὶ διδασκόντων τὸ Ἅγιον Πνεῦμα χωρὶς ἡ παρεκτὸς τοῦ ἐξωτέρω λόγε, καὶ κηρύγματος τῆ Εὐαγγελίε ταῖς ἰδίαις παρασκευαῖς ἡ ἀγαθεργίαις τὲς ἀνθρώπες λαμβάνειν.

Damnant Anabaptistas & alios, qui sentiunt, Spiritum sanctum contingere sine verbo externo hominibus, per ipsorum præparationes & opera.

Τὸ ἕκτον.

Sextum.

Ἐχόμενον δὲ τῶν εἰρημένων ἡ τόδε, δεῖν τὴν δὲ τὴν πίσιν ἐκ ἀρχὴν καὶ ἄκαρπον εἶναι, ἀλλ' ὅτι μάλισα ἐνεργὸν καὶ καρποφόρον. Καὶ χρῆναι τὲς πισὲς τὰ καλὰ

Item docent, quod fides illa debeat bonos fructus parere, & quod oporteat bona opera a Deo mandata facere, propter voluntatem Dei, non

ut

καλὰ τῶν ἔργων, τὰ ὑπὸ τοῦ Θεοῦ ἐντεταλμένα, ἀπεργάζεσθαι, διὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πρόσταγμα· ἀλλὰ μὴ, ἵνα θαρρῶσι διὰ αὐτῶν τῆς ἔμπροσθεν τοῦ Θεοῦ δικαιοσύνης καταξιωθῆναι. Ἡ γὰρ ἄφεσις τῶν ἁμαρτιῶν, καὶ δικαιοσύνη, τῇ πίστει καταλαμβάνεται, καθὼς μαρτυρεῖ καὶ αὐτὴ ἡ τοῦ Χριστοῦ φωνὴ, (Λεκ. Κεφ. ιζ'.) Φάσκοντος· „ὅταν ποιήσητε „πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε „ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν. Οὐ γὰρ δύναται ἡ ἀνθρωπίνη συνείδησις τὸ τῶν ἁμαρτιῶν καθαρὸν καὶ ἀνέγκλητον ἢ ἀθῶον ἑαυτῆς, τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ ἀντιπαρατάσσειν, καθάπερ λέγει Ψαλμὸς ὁ ρμβ'. „μὴ εἰσέλθῃς εἰς κρίσιν με„τὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται „ἐνώπιόν σου πᾶς ὁ ζῶν. Καὶ ὁ Ἰωάννης ἐν τῇ προτέρᾳ κεφαλαίῳ τῷ πρώτῳ ψησίν. „ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν „ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ „ἡμῖν τὰς ἁμαρτίας.

ut confidamus, per ea opera juſtificationem coram Deo mereri. Nam remiſſio peccatorum & juſtificatio fide apprehenditur, ſicut teſtatur & vox Chriſti: (Luc. XVII.) cum feceritis hæc omnia, dicite: ſerui inutiles ſumus. Non enim poteſt conſcientia opponere judicio Dei propriam mundiciem, aut opera, ſicut Pſalmus CXLII. teſtatur; Non intres in judicium cum ſervo tuo, quia non juſtificabitur coram te omnis vivens. Et Joannes 1. c. I. ait: Si dixerimus, quod peccatum non habemus, ipſi nos ſeducimus: ſi confiteamur peccata noſtra, fidelis & juſtus eſt, ut remittat nobis peccata noſtra.

Τὸ ἕβδομον.

Ἔτι δὲ καὶ τοῦτο διδάσκεται, μίαν μέντοι Ἁγίαν Ἐκκλησίαν εἶναι, ἀεὶ διαμενοῦσαν. Ἔστι δὲ ἡ Ἐκκλησία συναθροισμός τις τῶν μελῶν τοῦ Χριστοῦ, τουτέστι τῶν Ἁγίων, ἐν ᾧ καὶ τὸ Εὐαγγελίον ὀρθῶς, τουτέστιν ἀκεραίως καὶ ἀκιβδήλως, διδάσκεται, καὶ τὰ Μυστήρια ὀρθῶς κατὰ τὴν τοῦ Χριστοῦ διαταγὴν οἰκονομεῖται. Ἀπόχρη δὲ πρὸς τὴν ἀληθῆ συνάφειαν καὶ ἑνότητα αὐτῆς τὸ ἐν τῇ διδασκαλίᾳ τοῦ Εὐαγγελίου, καὶ ἐν τῇ τῶν Μυστηρίων οἰκονομήσει σύμφωνον· Καὶ τῶν ἀναγκαίων ἐστί, παντοχοῦ τὰς αὐτὰς εἶναι ἀνθρωπίνας παραδόσεις ἢ θεσμοὺς, καὶ τελετὰς ὑπ' ἀνθρώπων ἐξευρημένας. Καθάπερ καὶ ὁ Παῦλος ἐν τῷ τετάρτῳ τῆς πρὸς Ἐφεσίους λέγει·

Septimum.

Item docent, quod una ſancta Eccleſia perpetuo manſura ſit. Eſt autem Eccleſia Chriſti proprie, congregatio membrorum Chriſti, hoc eſt, ſanctorum, in qua Evangelium recte docetur, & recte adminiſtrantur ſacramenta. Et ad veram unitatem Eccleſiæ ſatis eſt, conſentire de doctrina Evangelii, & adminiſtratione Sacramentorum. Nec neceſſe eſt, ubique ſimiles eſſe traditiones humanas, ſeu ritus ab hominibus inſtitutos, ſicut & Paulus inquit: (Epheſ. IV.)

λέγει· „Ἓν σῶμα καὶ ἓν Πνεῦμα, κα-
„θὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς
„κλήσεως ὑμῶν. Εἷς Κύριος, μία Πί-
„στις, ἓν Βάπτισμα, εἷς Θεὸς καὶ Πα-
„τὴρ πάντων, καὶ τὰ ἑξῆς.

IV.) „unum corpus, & unus ſpiritus,
„quemadmodum & vocati eſtis in una
„ſpe vocationis veſtræ. Unus Dominus,
„una fides, unum baptiſma, unus Deus,
„& pater omnium &c.

Τὸ ὄγδοον.

Ἀλλ' ἔσης περὶ τῆς Ἐκκλησίας Κυ-
ρίως συλλόγε τῶ Ἁγίων καὶ ἀλη-
θῶς πιστῶν, ὅμως δὲ πολλῶν αὐτῇ ἐν τῷ
ἐνθάδε βίῳ ὑποκριτῶντε καὶ φαύλων
προσμιχθέντων, ἔξεσιν ἄρα τῶν Μυ-
ρίων κοινωνεῖν, κἂν διὰ τῶν ἐκ ὁσίων
ὑπηρετῶν ἡμῖν προσφέροιτε, κατ' ἐκεί-
νην τῶ Χριστῶ ῥῆσιν· (Ματθ. Κεφ. κγ'.)
„Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν
„οἱ γραμματεῖς καὶ Φαρισαῖοι, καὶ τὰ
„λοιπά. Ἔνεσι γὰρ τῷ Εὐαγγελίῳ καὶ
τοῖς Μυστηρίοις ἐνέργεια ἐκ τῆς διατά
ξεως καὶ ἐντολῆς τῶ Χριστῶ, εἰ καὶ διὰ
φαύλων ἡμῖν προσκομίζεται.

Καὶ αὐτη ἄρ' ἡ διδαχὴ ἡμῶν τέστε
Δονατισὰς καὶ ὁμοίες αὐτοῖς ἄλλες κα-
τακρίνει, τὲς ψευδοδιδασκαλέντας μὴ
ἔξεσιν εἶναι τῇ τῶν ἀνοσίων διακονίᾳ ἐν
τῇ Ἐκκλησίᾳ χρῆθαι, καὶ οἰομένες ἀνω-
φελῆ αὐτὴν καὶ ἀργὴν ὑπάρχειν.

Octavum.

Quanquam autem Eccleſia proprie
ſit congregatio ſanctorum, & ve-
re credentium: tamen cum in hac vita
multi hypocritæ & mali admixti ſint,
licet uti ſacramentis, quæ per malos
adminiſtrantur, juxta vocem Chriſti:
(Matth. XXIII.) „ſedent Scribæ & Pha-
„riſæi in cathedra Moiſi &c. Et ſa-
cramenta & verbum Dei, propter
ordinationem & mandatum Chriſti
ſunt efficacia, etiamſi per malos exhi-
beantur.

Damnant Donatiſtas, & ſimiles, qui
negabant, licere uti miniſterio malo-
rum in Eccleſia, & ſentiebant, mini-
ſterium malorum inutile & inefficax
eſſe.

Τὸ ἔνγατον.

Περὶ τῶ Βαπτισμῶ διδάσκεσιν, ἀναγ-
καῖον αὐτὸν εἶναι πρὸς σωτηρίαν,
καὶ τὸ τῆς θείας χάριτος δώρημα δι'
αὐτῶ ἡμῖν προσοικειῶθαι, καὶ δεῖν τὰ
βρέφη Βαπτίζεθαι, ἅγε διὰ τῶ Βαπτίσ-
ματος συσαθέντατε καὶ προσενεχθέν-
τα τῷ Θεῷ, τῆς Χάριτος αὐτῶ μέτοχα
γίνεται, καὶ τὴν υἱοθεσίαν ἀπολαμ-
βάνει. Κατὰ τὸ λόγιον ἐκκείμενον παρὰ
Ματθαίῳ Κεφ. ιή· „ἐκ ἔσι θέλημα ἔμ-
„προσθεν

Nonum.

De Baptiſmo docent, quod neceſſa-
rius ſit ad ſalutem, quodque per
baptiſmum offeratur gratia Dei. Et
quod infantes ſint baptizandi, qui com-
mendati & oblati Deo per baptiſmum,
recipiantur in gratiam Dei, & fiant fi-
lii Dei, ſicut Chriſtus teſtatur Matth.
XVIII. „Non eſt voluntas patris veſtri,

„προσθεν τῦ Πατρὸς ὑμῶν τῦ ἐν ἐρανοῖς, „ἵνα ἀπόλυται ἓν τῶν μικρῶν τύτων.

„qui est in cœlis, ut pereat unus ex „parvulis istis.

Τὸ δέκατον.

Περὶ δὲ τῦ Κυριακῦ Δείπνυ διδάσκυσιν, ὅτι τὸ σῶμα καὶ τὸ αἷμα τῦ Χριςῦ ὄντως πάρεσι, καὶ διανέμεται τοῖς τε φαγῦσι καὶ πιῦσι ἐν τῷδε τῷ δείπνῳ· Ἐγκαλῦντες πᾶσι τοῖς ἑτεροδιδασκαλῦσι.

Decimum.

De Cœna Domini docent, quod corpus & sanguis Christi vere adsint & distribuantur vescentibus in cœna Domini. Et improbant secus docentes.

Τὸ ἑνδέκατον.

Περὶ δὲ τῆς Ἐξομολογήσεως ἣ ἐξαγορεύσεως τῶν ἁμαρτημάτων διδάσκυσι, τὴν μὲν ἀπόλυσιν ἣ ἄφεσιν αὐτῶν, διὰ τῆς φωνῆς τῦ ὑπηρέτυ ἣ οἰκονόμυ τῶν Μυςηρίων τῦ Χριςῦ, ἑνὶ ἑκάςῳ κατ' ἰδίαν ἀπαγγελλομένην τηρητέον εἶναι, καίπερ μὴ ἀναγκαίας ὔσης ἐν τῇ ἐξομολογήσει τῆς τῶν καθ' ἕκαστα παραπλωμάτων ἀπαριθμήσεως. Ἔστι γὰρ τῶν ἀδυνάτων κατ' ἐκεῖνο τὸ τῦ ιή. Ψαλμῦ. παραπλώματα τὶς συνήσει;

Undecimum.

De Confessione peccatorum docent, quod absolutio privata in Ecclesiis retinenda sit, quanquam in confessione non sit necessaria omnium delictorum enumeratio. Est enim impossibilis, juxta illud: delicta quis intelligit?

Τὸ δυωκαιδέκατον.

Περὶ δὲ τῆς Μετανοίας διδάσκεται, τὲς παραπεσόντας καὶ ἁμαρτόντας μετὰ τὸ Βάπτισμα, τῆς τῶν ἁμαρτημάτων παρέσεως ἐπιτυχεῖν, καὶ τῆς χάριτος ἐξαῦθις μετόχυς γίνεσθαι, καθ' ὁντινα χρόνον ἐπιστραφῶσιν ἂν, καὶ τὴν Ἐκκλησίαν τοῖς τοιύτοις πρὸς μετάνοιαν ἐπανερχομένοις τῆς συγγνώμης καὶ ἀφέσεως τῶν πλημμελημάτων μεταδῦναι δεῖν.

Duodecimum.

De Pœnitentia docent, quod lapsis post baptismum contingere possit remissio peccatorum, quocunque tempore, cum convertuntur: Et quod Ecclesia talibus, redeuntibus ad pœnitentiam, impertire absolutionem debeat.

Ἔχει δὲ ἡ μετάνοια, τύτέστιν ἡ ἐπιστροφὴ τῦ ἀσεβῦς ἣ ἁμαρτωλῦ πρὸς Θεὸν μέρη Κυρίως δύο· ἓν μὲν, τὴν σύντριψιν, ἣ τὰς ἀλγηδόνας καὶ ταραχὰς ἐμπεποιημένας τῇ συνειδήσει παρὰ τῆς ἐπιγνώσεως τῶν ἁμαρτιῶν, δι' ὧν καὶ τῆς

Constat autem pœnitentia, hoc est, conversio impii, proprie his duabus partibus. Altera est contritio, hoc est, terrores incussi conscientiæ agnito peccato, in quibus & iram Dei agnoscimus, & dolemus nos peccasse, & pec-

τῆς τῦ Θεῦ ὀργῆς ἀἰθανόμεθα, καὶ ὀδυνώμεθα τὰς καρδίας ἐπὶ ταῖς ἁμαρτίαις, ἀποστρεφόμενοι καὶ μυσαττόμενοι αὐτάς. Καθὼς ὁ Ἰωήλ φησι, Κεφ. β'. „διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ „μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστρέψατε „πρὸς Κύριον τὸν Θεὸν ὑμῶν. Θάτερον δὲ τὴν πίστιν, τὴν διὰ τῦ Εὐαγγελίε ἢ τῆς ἀπολύσεως ἡμῖν ἐγγινομένην, καὶ πιστεύσαν διὰ τὸν Χριστὸν ἀνενδοιάστως καὶ ἀψευδῶς τὰς ἁμαρτίας ἀφίεθαι, καὶ παρηγορῆσαν τὸ συνειδὸς, καὶ τῶν λυπῶν καὶ ἀδημονιῶν πάλιν ἐλευθερῆσαν αὐτό. Περὶ ἧς πίστεως ὁ Παῦλος διδάσκει, (Ῥωμ. Κεφ. ε'.) λέγων· „δικαιωθέντες ἓν ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς Θεόν. Τέτοιν δὲ παρέπεθαι καὶ ἐπακολεθῆν χρὴ τὰ καλὰ τῶν ἔργων, ὑπὸ τῆς μετανοίας καρποφορέμενα.

cata deteſtamur & fugimus: ſicut Joel concionatur: „ſcindite corda veſtra, & „non veſtimenta veſtra, & convertimi„ni ad Dominum Deum veſtrum, &c. Altera pars eſt fides, quæ concipitur ex Evangelio, ſeu abſolutione, & credit propter Chriſtum certo remitti peccata, & conſolatur conſcientiam, & ex terroribus liberat. De qua fide Paulus loquitur, cum inquit: (Rom. V.) „Juſtifi„cati fide pacem habemus. Deinde ſequi debent bona opera, quæ ſunt fructus pœnitentiæ.

Ἐγκαλῆσι δὲ καὶνταυθοῖ τοῖς ἀναβαπτισαῖς οἱ ἡμέτεροι, μὴ δύναθαι παραπεσεῖν, καὶ τὸ Ἅγιον Πνεῦμα ἀποβαλεῖν τὲς ἅπαξ δικαιωθέντας διατεινομένοις, καὶ διισχυρίζεσιν ἐνίες τοσαύτης ὁλοχερείας ἢ τελειότητος ἐν τῷ τῇδε βίῳ ἐπιτυχεῖν, ὥστε μὴ ἐνδέχεθαι αὐτὲς ἁμαρτάνειν.

Damnant Anabaptiſtas, qui negant, ſemel juſtificatos poſſe amittere Spiritum ſanctum. Item qui contendunt, aliquibus tantam perfectionem in hac vita contingere, ut peccare non poſſint.

Καὶ προσέτι καὶ τοῖς Ναυατιανοῖς, οἷς ἔδοξε τοῖς μὲν ἁμαρτίαν εἰς θάνατον πεποιηκόσι μετὰ τὸ βάπτισμα, μετανοῆσι δὲ πάλιν, ἐ συγχωρεῖθαι δεῖν τὰ ἁμαρτήματα.

Damnant Novatianos, qui nolebant abſoluere lapſos, poſt baptiſmum redeuntes ad pœnitentiam.

Πρὸς τέτοις δὲ, καὶ τοῖς μὴ διὰ πίστεως, ἀλλὰ διὰ τὴν ἀγάπην καὶ τὴν ἀγαθεργίαν ἡμῶν τῆς τῶν ἁμαρτιῶν ἀφέσεως ἐπικρατεῖς γίνεθαι ἡμᾶς διδάσκεσιν.

Damnant & illos, qui non docent, remiſſionem peccatorum per fidem, gratis, propter Chriſtum contingere: ſed propter dignitatem dilectionis, aut aliorum operum.

Ἀποδοκιμαζομένων καὶ τῶν τὰς κανονικὰς προσαγορευομένας ἱκανοποιίας ἀναγ-

Damnant & iſtos, qui canonicas ſatisfactiones, docent neceſſarias eſſe, ad redi-

ἀναγκαίας εἶναι λεγόντων πρὸς ἀπολύτρωσιν αἰωνίων τιμωριῶν, ἢ τῶν τῆ καθαρσίᾳ πυρός.

redimendas pœnas æternas, aut pœnas purgatorii.

Τὸ τρισκαιδέκατον.

Περὶ δὲ τῆς χρήσεως τῶν Μυστηρίων διδάσκουσιν, ὅτι ὐ μόνον εἰς τοῦτο διετάγη, ἵνα σύμβολά τινα, ἢ χαρακτῆρες καὶ γνωρίσματα ἦ, διοριστικὰ τῶν Χριστιανῶν καὶ τῶν ἔξω, ἀλλὰ πολλῷ μᾶλλον ὅπως σημεῖά τε καὶ μαρτύρια γένηται τῆς ἐυνοίας καὶ Χάριτος τοῦ Θεοῦ πρὸς ἡμᾶς, εἰς τὸ ἀναζωπυρωθῆναί τε καὶ τερεωθῆναι τὴν πίστιν ἐν τοῖς κοινωνοῦσιν αὐτῶν. Διὸ χρηστέον αὐτοῖς ὕτως, ἵνα προσχωρῆ ἡ πίστις ἡ ἀσπαζομένη τὰς ἐπαγγελίας, τὰς διὰ τῶν Μυστηρίων ἐμφαινομένας, καὶ προσοικειομένας ἡμῖν.

Decimum tertium.

De usu Sacramentorum docent, quod Sacramenta instituta sint, non modo, ut sint notæ professionis inter homines, sed multo magis, ut sint signa & testimonia voluntatis Dei erga nos, ad excitandam fidem in his, qui utuntur eis. Itaque utendum est Sacramentis ita, ut accedat fides, quæ credat promissionibus, quæ per Sacramenta exhibentur & ostenduntur.

Κατακρίνουσιν οὖν τοὺς ψευδολογοῦντας τὰ Μυστήρια, διὰ τὸ ἐπιτελεσθῆναι αὐτὸ τὸ ἔργον δικαιοῦν ἄνευ πίστεως, καὶ μὴ διδάσκοντας τὴν πίστιν ἐν τῇ χρήσει τῶν Μυστηρίων παρεῖναι δεῖν, τὴν πιστεύουσαν ἄφεσιν τῶν ἁμαρτιῶν, ἧς ὲκ ἐξ αὐτοῦ τοῦ ἔργου, ἀλλὰ διὰ μόνης τῆς πίστεως ἐπιτυγχάνομεν.

Damnant igitur illos, qui docent, quod Sacramenta ex opere operato justificent, nec docent, fidem requiri in usu Sacramentorum, quæ credat remitti peccata.

Τὸ τεσσαρεσκαιδέκατον.

Περὶ δὲ τάγματος τοῦ Ἐκκλησιαστικοῦ διδάσκουσι, δημοσίως ἐν τῇ Ἐκκλησίᾳ τὸ Εὐαγγέλιον λειτουργεῖν, ἢ τὰ Μυστήρια διαδιδόναι χρῆναι μηδένα, ὅτι μὴ τὸς ἐνθέσμως πρὸς τὴν ὑπηρεσίαν κεκλημένους.

Decimum quartum.

De ordine ecclesiastico docent, quod nemo debeat in Ecclesia publice docere, aut Sacramenta administrare, nisi rite vocatus.

Τὸ πεντεκαιδέκατον.

Τῶν θεσμῶν δὲ τῶν ἐκκλησιαστικῶν ἐκείνους τηρητέον εἶναι διδάσκουσιν, οἳ

Decimum quintum.

De ritibus Ecclesiasticis docent, ritus illos servandos esse, qui sine peccato

οἱ καὶ χωρὶς ἁμαρτίας τηρηθῆναι δύνανται, καὶ πρὸς ἡσυχίαν τε καὶ εὐταξίαν ἐν τῇ Ἐκκλησίᾳ τείνουσιν· οἷον ῥητάς τινας Ἐκκλησιαστικὰς συνάξεις καὶ Ἑορτὰς, καὶ τὰ τούτοις ὅμοια.

Ἀλλ' ὅμως νουθετοῦνται οἱ ἄνθρωποι μὴ βαρυνθῆναι δεῖν τὰς συνειδήσεις, καὶ ψευδοδοξεῖν, τοιαύτην λατρείαν πρὸς σωτηρίαν ἀναγκαίαν εἶναι.

Λέγουσι δὲ παῤῥησιαζόμενοι τὴν ἀλήθειαν οἱ ἡμέτεροι κἀκεῖνο, τὰς ἀνθρωπίνας παραδόσεις πρὸς ἱλασμὸν τοῦ Θεοῦ, πρὸς μισθοφορὰν τῆς χάριτος καὶ τὴν ἱκανοποιΐαν ὑπὲρ τῶν ἁμαρτημάτων ἀντικεῖσθαι τῷ Εὐαγγελίῳ, καὶ τῇ τῆς χάριτος καὶ πίστεως διδασκαλίᾳ. Τοιγαροῦν καὶ τὰς τῶν Μοναζόντων εὐχὰς, καὶ τὰ περὶ διαφορᾶς τῶν προσφερομένων, καὶ διακρίσεως τῶν ἡμερῶν, καὶ τῶν τούτοις ὁμοίων παραδεδομένα εἰς τὸ μισθοφορεῖν τὴν χάριν, καὶ ἱκανοποιεῖν ὑπὲρ τῶν παραπτωμάτων, οὐδὲν ὠφελεῖν, μᾶλλον δὲ βλάπτειν τὴν ὑγιῆ τοῦ Εὐαγγελίου καὶ σωτήριον διδαχὴν, ἔκδηλόν ἐστι καὶ ἀναμφισβήτητον.

cato ſervari poſſunt, & ad tranquillitatem & bonum ordinem in Eccleſia conducunt, ut certæ feriæ, & alii ſimiles ritus.

De talibus rebus tamen admonentur homines, ne conſcientiæ onerentur, tanquam talis cultus ad ſalutem neceſſarius ſit.

Admonentur etiam, quod traditiones humanæ, inſtitutæ ad placandum Deum, ad promerendam gratiam, & ſatisfaciendum pro peccatis, adverſentur Evangelio & doctrinæ fidei. Quare vota, & traditiones de cibis & diebus, inſtitutæ ad promerendam gratiam, & ſatisfaciendum pro peccatis, inutiles ſint & contra Evangelium.

Τὸ ἑκκαιδέκατον.

Περὶ τῶν πολιτικῶν διδάσκουσι, πάσας τὰς ἐνομισμένας πολιτείας καὶ ἀρχὰς ἐν κόσμῳ καλάς τινας διατάξεις καὶ διακοσμήσεις εἶναι, ὑπὸ τοῦ Θεοῦ καταταθείσας, καὶ τῶν ἀπηγορευμένων ἐκ εἶναι τοῖς Χριστιανοῖς τὸ ἄρχειν τῶν ἄλλων, καὶ δίκας δικάζειν κατὰ τέ τε τῶν αὐτοκρατόρων νόμους καὶ ἄλλους τὰς συνήθεις γε. Ἐξεῖναι δὲ καὶ τοὺς κακέργους ἢ παρανομοῦντας κατὰ τὸ πρόσταγμα τῶν νόμων κολάζειν καὶ τιμωρεῖσθαι. Ἔτι δὲ πολεμεῖν, στρατηλατεῖν, πραγματεύεσθαι, ὠνῇ καὶ πράσει χρῆσθαι, κτήματα κατέχειν, ὅρκους διδόναι, ἐὰν οἱ ἄρχοντες κελεύωσι, γαμεῖντε καὶ γαμεῖσθαι.

Sedecimum.

De rebus civilibus docent, quod legitimæ ordinationes civiles, ſint bona opera & ordinationes Dei & quod Chriſtianis liceat Magiſtratus gerere, exercere judicia, judicare res ex imperatoriis, & aliis præſentibus legibus, ſupplicia jure conſtituere, jure bellare, militare, lege contrahere, tenere proprium, jusjurandum poſtulantibus magiſtratibus dare, ducere, uxorem, nubere.

Damnant

Κατα-

Κατακρίνουσι δὲ καὶ ταύτα, ὡς ἐν τοῖς ἄνω, τοὺς ἀναβαπτίσας, μηδὲν τῶν προειρημένων τοῖς Χριστιανοῖς προσήκειν φλυαροῦντας.

Damnant Anabaptiſtas, qui interdicunt hæc civilia officia Chriſtianis.

Καὶ δὴ καὶ ἄλλους τοὺς τὴν Εὐαγγελικὴν ὁλοκληρίαν καὶ τελειότητα ἐκ ἐν τῷ Φόβῳ τοῦ Θεοῦ, καὶν τῇ πίστει, ἀλλ' ἐν ἀποβολῇ τῶν κτημάτων, καὶ προδόσει τῶν τε τέκνων καὶ γυναικῶν, καὶ συνελόντι φάναι, ἐν τῷ μηδὲν ποιεῖν τῶν ἄρτι λεχθέντων κεῖσθαι διδάσκοντας.

Damnant & illos, qui Evangelicam perfectionem non collocant in timore Dei & fide, ſed in deferendis civilibus officiis.

Τὸ γὰρ Εὐαγγέλιον ὃ περὶ τῶν ἐξωτέρων καὶ προσκαίρων, ἀλλὰ περὶ τῶν ἐσωτέρων τε καὶ αἰωνίων λαλεῖν, τὴν ἀΐδιον τῆς καρδίας δικαιοσύνην ἀνακηρύττει, καὶ μήτε τὰ τῆς πολιτείας, μήτε τὰ τῆς οἰκονομίας καταλύει, ἀλλὰ τηρεῖν καὶ διασώζειν ταῦτα κελεύει, ὡς τὰ ἀληθῶς ὑπὸ τοῦ Θεοῦ διατεταγμένα, καὶν αὐτοῖς τὴν ἀγάπην τὴν Χριστιανοῖς προσήκουσαν, καὶ τὰ τῷ ὄντι καλὰ τῶν ἔργων, ἑνὶ ἑκάστῳ κατὰ τὴν οἰκείαν κλῆσιν ἐπιτηδεύειν προστάττει. Τοιγάρτοι τῶν ὀφειλομένων καὶ ἀναγκαίων ἐστὶ, τοὺς Χριστιανοὺς τοῖς ἄρχουσι πείθεσθαι καὶ ὑπακούειν, καὶ τὰ ὑπ' αὐτῶν νομοθετούμενα φυλάττειν, χωρὶς ἁμαρτίας γε φυλάττεσθαι δύναμενα. Ἐὰν γὰρ παρεκτὸς τοῦ ἁμαρτάνειν τὰ πρὸς τῶν ἀρχόντων παραγγελλόμενά ποιεῖν τις δύνηται, τῷ Θεῷ μᾶλλον ἢ τοῖς ἀνθρώποις πειθαρχητέον, κατὰ τὸ γεγραμμένον ἐν Πράξεσι τῶν Ἀποστόλων, Κεφ. ε.

Damnant Anabaptiſtas, qui interdicunt hæc civilia officia Chriſtianis.

Damnant & illos, qui Evangelicam perfectionem non collocant in timore Dei & fide, ſed in deferendis civilibus officiis.

Quia Evangelium tradit juſtitiam æternam cordis, non diſſipat politiam, aut œconomiam, ſed maxime poſtulat eas conſervare, tanquam ordinationes Dei, & in talibus ordinationibus exercere charitatem. Itaque Chriſtiani neceſſario debent obedire magiſtratibus ac legibus, niſi cum jubent peccare. Tunc enim magis debent obedire Deo quam hominibus, Actor. V.

Τὸ ἑπταικαιδέκατον.

Προσεχὲς τοῖς εἰρημένοις κἀκεῖνό ἐστι, καὶ αὐτὸ παρ' ἡμῖν διδασκόμενον, ὅτι ἐν συντελείᾳ τοῦ αἰῶνος ὁ Χριστὸς ἐλεύσεται, κρῖναι πάντας τοὺς ἀνθρώπους, καὶ τοὺς νεκροὺς ἀναστήσει· καὶ τοῖς μὲν εὐσεβέσι καὶ ἐκλεκτοῖς τῶν ἀνθρώπων ζωὴν αἰώνιον, καὶ χαρὰν ἀτελεύτητον δώσει· τῶν δὲ ἀσεβῶν καὶ διαβόλων τιμωρίαν καὶ κόλασιν ἀδιάλειπτον ἐν γέεννᾳ, καὶ ἄληκτον καταγνώσεται.

Decimum ſeptimum.

Item docent, quod Chriſtus apparebit in conſummatione Mundi, ad judicandum, & mortuos omnes reſuſcitabit, & hominibus piis & electis dabit vitam æternam, & gaudia perpetua: impios autem homines & diabolos condemnabit, ut ſine fine crucientur.

Πάλιν δὲ καὶ τῷδε τῷ κεφαλαίῳ τοῖς ἀναβαπτισταῖς ἀντιλέγουσιν οἱ ἡμέτεροι τοῖς ὑπολαμβάνουσί τε καὶ διδάσκουσι, τέλος τι τῶν τιμωριῶν καὶ τῆς καταδίκης τοῖς διαβόλοις, καὶ τοῖς κατακεκριμένοις τῶν ἀνθρώπων προκείσεσθαι, ἐγκαλοῦντες καὶ τοῖς Ἰουδαϊκάς τινας οἰήσεις, μᾶλλον δὲ μυθολογίας καὶ φλυαρίας νυνὶ διασπείρουσι, πρὸ τῆς τῶν νεκρῶν ἀναστάσεως, τοὺς ἁγίους καὶ εὐσεβεῖς τῷ κόσμῳ ἐμβασιλεύσειν, πανταχοῦ τῶν ἀσεβῶν ἐξολοθρευθέντων.

Damnant Anabaptistas, qui sentiunt, hominibus damnatis ac diabolis finem pœnarum futurum esse. Damnant & alios, qui nunc spargunt Iudaicas opiniones, quod ante resurrectionem mortuorum pii regnum mundi occupaturi sint, ubique; oppressis impiis.

Τὸ ὀκτωκαιδέκατον.

Περὶ τοῦ ἐκουσίου ἢ αὐτεξουσίου φρονοῦσίτε καὶ διδάσκουσι, τὸ ἀνθρώπινον βούλημα προαίρεσίν τινα ἔχειν, καὶ ἐλεύθερόν πως εἶναι πρὸς τὸ κατεργάζεσθαι τὴν πολιτικὴν δικαιοσύνην, καὶ τῶν τῷ ἀνθρωπίνῳ λογισμῷ ὑποκειμένων ἓν πρὸ ἑτέρου αἱρεῖσθαι, μηδαμῶς δὲ χωρὶς βοηθείας καὶ χάριτος καὶ ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, αὐτοτελῶς τὸν ἄνθρωπον ἀπόδεκτον τῷ Θεῷ γίνεσθαι, καὶ ἐξ ὅλης καρδίας αὐτὸν ἀγαπᾶν τε καὶ φοβεῖσθαι καὶ δὴ καὶ πιστεύειν εἰς αὐτὸν, καὶ τὰς ἀνόμους καὶ ἀτάκτους τῶν ἐπιθυμιῶν τὰς ἐμφύτους ἐκβάλλειν τῆς καρδίας ἰσχύειν, ἀλλὰ τάδε πάντα ὑπὸ τοῦ Ἁγίου Πνεύματος, ὃ διὰ τοῦ Εὐαγγελίου ἡμῖν δίδοται, ἀποτελεῖσθαι. Φησὶ γὰρ ὁ ἐν Ἁγίοις Παῦλος, ἐν τῇ ά. πρὸς Κορινθίους Κεφαλαίῳ. β'. „Ψυχικὸς δὲ ἄνθρω„πος ὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ. Καὶ ἵνα μήτις καινοτομεῖν τι ἡμᾶς κατὰ τοῦτο τὸ κεφάλαιον ὑπολαμβάνῃ, τὰ τῷ ἐν ὁσίοις Αὐγουστίνῳ τοῖς αὐτοῖς χεδὸν ῥήμασιν, ἐν τῷ τρίτῳ τῶν ὑπογνωστικῶν εἰρημένα μεταφράσαντες προθήσομεν. λέγει γοῦν ἐκεῖνος ὧδε.

Decimum octavum.

De libero arbitrio docent, quod humana voluntas habeat aliquam libertatem ad efficiendam civilem justitiam, & deligendas res rationi subjectas. Sed non habet vim sine Spiritu sancto efficiendæ justitiæ Dei, seu justitiæ Spiritualis.

Sed hæc fit in cordibus, cum per verbum Spiritus sanctus concipitur, quia Paulus dicit: Animalis homo non percipit ea, quæ sunt Spiritus Dei. Hæc totidem verbis dicit Augustinus lib. 3. Hypognosticon.

„Ὁμολογοῦμεν εἶναί τι ἐκούσιον ἐν πᾶ„σιν ἀνθρώποις, κρῖνον μὲν κατὰ λόγον, „ἐκ ἐπιτήδειον δὲ, τῶν πρὸς Θεὸν χωρὶς „Θεοῦ ἤτοι ἐπιχειρεῖν ἢ ἀποτελεῖν τι, ἀλλ' „ἱκανὸν μόνον τὰ τοῦ παρόντος βίου, καὶ χρη-

„Esse fatemur liberum arbitrium „omnibus hominibus, habens quidem „judicium rationis, non per quod sit „idoneum in iis, quæ ad Deum perti„nent, sine Deo aut inchoare, aut cer-

„te

„χρηστὰ καὶ φαῦλα προαιρεῖσθαι. χρηστὰ λέγω τὰ τῇ φύσει ἐφικτὰ, καὶ ὑπ' αὐτῆς γινόμενα, οἷον δὴ τὸ βέλεσθαι γεωπονεῖν, βέλεσθαι φαγεῖντε καὶ πιεῖν, βέλεσθαι φίλον τινὰ ἢ ἐν δύματα ἔχειν, βέλεσθαι οἰκοδομεῖν, γαμεῖν βέλεσθαι, καὶ βοσκήματα τρέφειν, καὶ τέχνην μανθάνειν τῶν διαφόρων καλῶν, καὶ δὴ ὅ, τι ἓν βέλεσθαι τῶν τῷ ἐνθάδε βίῳ. ἅ τινα μεν πάντα ἐκ ἄνευ τῆς θείας κυβερνήσεως ὑφίσταται, ἀλλ' ἐξ αὐτῆς καὶ δι' αὐτῆς καὶ τὸ νῦν ὄντα διατελεῖ, καὶ τῷ εἶναι ἤρξατο. ἀνάπαλιν δὲ φαῦλα ἢ κακὰ λέγω, οἷονεὶ τὸ εἰδωλολατρεῖν βέλεσθαι, ἢ ἀνθρωποκτονεῖν, καὶ τὰ λοιπὰ τούτοις ἀδελφά.

„te peragere, sed tantum in operibus „vitæ præsentis, tam bonis quam etiam „malis.„ Bonis dico, quæ de bona natura oriuntur, id est, velle laborare in agro, velle manducare & bibere, velle habere amicum, velle habere indumenta, velle fabricare domum, uxorem velle ducere, pecora nutrire, artem discere diversarum rerum bonarum, velle quicquid bonum ad præsentem pertinet vitam: quæ omnia non sine divina gubernatione subsistunt, imo ex Deo, & per ipsum sunt & esse cœperunt. Alias vero dico, ut est, velle idolum colere, velle homicidium, &c.

Τῶν δὲ ἓτως ἐχόντων, ἀποδοκιμάζονται οἵτε Πελαγιανοὶ, καὶ ἄλλοι πάντες, οἱ λέγοντες ἡμᾶς χωρὶς Πνεύματος τῷ Ἁγίῳ καὶ τῆς χάριτος ταῖς φυσικαῖς μόνον δυνάμεσιν οἵοις τε εἶναι τὸν Θεὸν ὑπὲρ πάντα ἀγαπᾶν, καὶ τὰς ἐντολὰς αὐτῷ τηρεῖν. Εἰ γὰρ καὶ τὰ ἔξωθεν φαινόμενα ἔργα ἀπεργάζεσθαί πως ἡ φύσις δύναται, οἷονεὶ κρατεῖν τῶν χειρῶν, ἵνα μὴ κλέψωσι τὸ ἀλλότριον, ἢ φονεύσωσιν, ὅμως τὰς ἐσωτέρω ὁρμὰς καὶ διαθέσεις τῆς τε διανοίας καὶ καρδίας ἀδυνατεῖ παντάπασι σπουδαίας καὶ ἀμέμπτους ἀποτελεῖν· ἤγεν τὸν φόβον τῷ Θεῷ, τὴν πεποίθησιν ἐπὶ τὸν αὐτὸν σφαλερὸν καὶ ἀπερίτρεπτον, τὴν ἀγνότητα, καὶ ἀνεξικακίαν, ἢ ὑπομονὴν, καὶ λοιπά.

Damnant Pelagianos & alios, qui docent, quod sine Spiritu sancto, solis naturæ viribus possimus Deum super omnia diligere, item præcepta Dei facere. Quanquam enim externa opera aliquo modo efficere natura possit: potest enim continere manus a furto, a cæde: tamen interiores motus, ut verum timorem, veram fiduciam, castitatem, patientiam, &c. non potest efficere..

Τὸ ἐννεακαιδέκατον.

Περὶ δὲ τῆς αἰτίας τῆς ἁμαρτίας διδάσκεται, εἰ καὶ κτίζει καὶ συντηρεῖ ὁ Θεὸς τὰ τῆς φύσεως, ὅμως μέντοι τὸ αἴτιον τῆς ἁμαρτίας εἶναι, τὸ τῶν πονηρῶν καὶ καταφρονητῶν τῷ Θεῷ θέλημα,

Decimumnonum.

De causa peccati docent, quod tametsi Deus creat & conservat naturam: tamen causa peccati est voluntas malorum, videlicet Diaboli, & impiorum hominum, quæ non adjuvante

μα, ἅτε τῷ διαβόλῳ καὶ τῶν ἀσεβῶν, ὃ μὴ συνεργῶντος αὐτῷ τῷ Θεῷ, αὐτομάτως ἀπεσοφάφη αὐτῷ. Καθὼς λέγει ὁ Χριστὸς κατ' Ἰωάννην Κεφαλαίῳ ή. „ὅτ' ἂν „λαλεῖ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ.

Deo, avertit se a Deo, sicut Christus ait Ioan. VIII. cum loquitur mendacium, ex propriis loquitur.

Τὸ εἰκοστόν.

Ψευδῶς κατηγορῶσι τῶν ἡμετέρων, οἱ λέγοντες ἀποκωλύειν αὐτοὺς, καλὰ ἐργάζεθαι. Ὅσα γὰρ ἐξεδόθη ὑπ' αὐτῶν συγγράμματα περὶ τῶ δεκαλόγω, καὶ τὰ λοιπὰ τούτοις ὅμοια, προσμαρτυρεῖ αὐτοῖς, ὅτι χρησίμως τε καὶ δεόντως περὶ πάντων τῶν καθηκόντων εἰς τὸν βίον διαλέγοντες ἐδίδαξαν, δηλῶντες ἐν αὐτοῖς ὁποῖά τινα τῶν ἔργων εὐπρόσδεκτα τῷ Θεῷ εἴη ἄν, καὶ πῶς ἐν μιᾷ ἑκάστῃ τῶν κλήσεων, ὡς ἔπος εἰπεῖν, εὐαρεστεῖν τις ἂν αὐτῷ δύναιτο. Περὶ ὧν ἐν τῷ παρελθόντι χρόνῳ οἱ δημηγορῶντες ἐν ταῖς Ἐκκλησίαις, ὀλίγα πάνυ ἔιπον, μόνον παιδαριωδῶν τινῶν, καὶ ἐκ ἀναγκαίων ἔργων διδαχῇ καὶ Φλυαρίᾳ ἐνδιατρίβοντες· οἷον ῥητῶν τινῶν Ἑορτῶν, ῥητῶν νηστειῶν, ἀδελφοτήτων, ἀποδημιῶν, λατρειῶν τῶν Ἁγίων, συμβιώσεως τῆς Μοναχικῆς, καὶ ἄλλων τούτοις ὁμοίων, ἃ δὴ νενθετημένοι οἱ ἀντίδικοι ἡμῶν ἀπομανθάνουσιν ἤδη, καὶ ἥτλον τὰ ἀνωφελῆ τοιαῦτα τῶν ἔργων ἢ πρότερον σεμνολογῶντες, τῆς πίστεως μνείαν ἄρχονται ποιεῖν, τῆς ἐκ παλαιᾶ παρ' αὐτοῖς ἀποσεσιωπημένης. Εἰ καὶ μὴ λήγουσι τὴν διδαχὴν αὐτῆς ἀφανίζοντες, διὰ τὸ ἐνδοιαζέσας καὶ ἀμφισβητέσας τὰς συνειδήσεις καταλείπειν αὐτούς, καὶ μισθαρνεῖν κελεύειν τοὺς ἀνθρώπους τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, τοῖς οἰκείοις ἀγαθεργήμασι· καὶ μὴ διδάσκειν, ὅτι μόνῃ τῇ πίστει διὰ τὸν Χριστὸν ἀνενδοιάστως αὐτῆς ἐπιτυγχάνομεν.

Vigesimum.

Falso accusantur nostri, quod bona opera prohibeant. Nam scripta eorum, quæ extant, de decem præceptis, & alia simili argumento testantur, quod utiliter docuerint de omnibus vitæ generibus & officiis, quæ genera vitæ, quæ opera in qualibet vocatione Deo placeant. De quibus rebus olim parum docebant concionatores, tantum puerilia, & non necessaria opera urgebant, ut certas ferias, certa jejunia, fraternitates, peregrinationes, cultus sanctorum, Monachatum, & similia. Hæc adversarii moniti nunc dediscunt, nec perinde prædicant hæc inutilia opera, ut olim. Præterea incipiunt fidei mentionem facere, de qua mirum olim erat silentium. Etsi non desinunt obscurare, doctrinam fidei, cum relinquunt dubias conscientias, & jubent mereri remissionem peccatorum operibus. Nec docent, quod sola fide propter Christum, certo accipiamus remissionem peccatorum.

Cum

Ἀμε-

Ἀμεληθείσης τοίνυν τῆς περὶ πίστεως διδαχῆς μέχρι τοσούτου χρόνου, ἣν ἐν τῇ Ἐκκλησίᾳ ἀεὶ πρωτεύειν χρὴ, ὡς ἔξαρνος γένοιτ' ἂν ἁπᾶς περὶ τῆς ἐκ πίστεως δικαιοσύνης ἐδὲν παντελῶς ἐν ταῖς Ἐκκλησιαστικαῖς δημηγορίαις εἰρῆσθαι, καὶ τῆς περὶ τῶν ἔργων ψευδοδιδασκαλίας μόνον ἐν ταῖς Ἐκκλησίαις ἐπιπολασάσης, ἐδίδαξαν ἄρα περὶ τῆς πίστεως οἱ ἡμέτεροι ὧδε.

Cum igitur doctrina de fide, quam oportet in Ecclesia præcipuam esse, tam diu jacuerit ignota: quemadmodum fateri omnes necesse est, de fidei justitia altissimum fuisse silentium in concionibus, tantum doctrinam operum versatum esse in Ecclesiis: nostri de fide sic admonuerunt Ecclesias.

Ὅτι δι' αὐτῆς τῆς τῶν ἁμαρτιῶν ἀφέσεως ἐπιτυγχάνομεν, ἔτε τοῖς προηγμένοις, ἔτε τοῖς ἑπακολεθῆσι τῶν ἔργων ταύτην μισθοφορεῦντες, ἀλλὰ τῇ χάριτι καὶ τῷ ἐλέει τῷ Θεῷ διὰ τὸν Χριστὸν δεχόμενοι, καὶ ὅτι ἄνευ παντὸς διστάγμα πιστευτέον ἐστὶ, διὰ τὸν Χριστὸν ἐνώπιον ἡμᾶς τῷ Θεῷ δικαιωθῆναι· τετέστι δικαίως λογισθῆναι, καὶ μηδαμῶς ἐπ' ἀξίᾳ τῆς οἰκείας καλοκἀγαθίας, κἂν ὅτι μάλιστα σπεδαῖοι καὶ ἀνέγκλητοι φαινώμεθα, καὶ τὰ καλὰ ἐργαθῶμεν, καὶ τὸν Χριστὸν δι' ἓ τῆς χάριτος μέτοχοι γινόμεθα, καὶ ὁ Πατὴρ ἡμῖν ἀποκαταλλάσσεται, μόνον μεσίτην καὶ διαλλάκτην ἡμῖν ὑπὸ τῷ Θεῷ προτεθῆναι. Ὃ ἓν πεποιθήσας τοῖς ἰδίοις κατερθώμασι τὴν χάριν μισθοφορήσειν, τῆς τῷ Χριστῷ σωτηρίᾳ ἀπολυτρώσεως, καὶ μεγαλοδωρίας, ἀφροντιστεῖ, καὶ ὑπερορᾷ, καὶ τοῖς ἀνθρωπείοις ἐνεργήμασι χωρὶς τῷ Χριστῷ ὁδόν τινα ζητῶν δῆλός ἐστι πρὸς Θεόν· καὶ τῦτο, εἰπόντος περὶ ἑαυτῷ τῷ λυτρωτῷ, „Ἐγώ εἰμί ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.

Principio quod opera nostra non possint reconciliare Deum, aut mereri remissionem peccatorum, & gratiam, & justificationem, sed hanc tantum fide consequimur, credentes, quod propter Christum recipiamur in gratiam, qui solus positus est Mediator & propitiator, per quem reconciliatur pater. Itaque; qui confidit, operibus se mereri gratiam, is aspernatur Christi meritum & gratiam, & quærit, sine Christo, humanis viribus; viam ad Deum, cum Christus de se dixerit: Ego sum via, veritas, & vita.

Αὕτη γε περὶ τῆς πίστεως διδαχὴ ἑκασχῷ ἐν τοῖς τῷ Παύλῳ γράμμασιν ἐκκειμένη καθορᾶται· οἷον ἐν τῷ β'. τῆς πρὸς τὺς Ἐφεσίυς· „τῇ γὰρ χάριτι ἐστὲ „σεσωσμένοι διὰ τῆς πίστεως, καὶ τῦτο „ἐκ ἐξ ὑμῶν, Θεῷ τὸ δῶρον, ἐκ ἐξ ἔργων, ἵνα μήτις καυχήσηται. Κἂν τῷ τετάρτῳ τῆς πρὸς Ῥωμαίυς Ἐπισολῆς· „διὰ τῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς „τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν· τετέστιν, εἰ διὰ τὰς ἀγαθεργίας ἡμῶν τῆς

Hæc doctrina de fide ubique; in Paulo tractatur. Eph. II. Gratia salui facti estis per fidem, & hoc non ex vobis, Dei donum est, non ex operibus, &c.

τῶν ἁμαρτιῶν ἀφέσεως καταξιωθῆναι ἡμᾶς ἐχρῆν, ἐδέποτ' ἂν ἡ συνείδησις βεβαίως καὶ ἀσφαλῶς περὶ αὐτὴν ἔχειν δύναιτο. Εὑρίσκοντας γὰρ ἡμᾶς ἀεὶ ἐλαττώματά τινα ἐν τοῖς ἔργοις ἡμῶν, ἀναγκαίως ἔχει διςάζειν περὶ τῆς ἀφέσεως τῶν ἁμαρτημάτων, καὶ διὰ τοῦτο αἱ ἐπαγγελίαι ἀνωφελεῖς γένοιντ' ἄν, ἐπὶ τὰ ἡμέτερα καλοκἀγαθεργήματα τεθεμελιωμέναι.

Καὶ ἵνα μήτις ἡμᾶς διαβάλλειν οἷός τε ᾖ, ὡς καινήν τινα καὶ ἀσυνήθη ἑρμηνείαν, καὶ ἀλλοτρίαν τῆς τοῦ Παύλου διανοίας ἐπινοήσαντας, ἴσω ταύτην τὴν πραγματείαν προσμαρτυρήσεων τῶν ἐν ὁσίοις Πατέρων ἀπόρως ἐκ ἔχειν. Ὁ γὰρ Αὐγεστῖνος πολλοῖς Βιβλίοις τῇ χάριτι, καὶ τῇ διὰ πίστεως δικαιοσύνῃ συνηγορεῖ, ὑπερμαχόμενος αὐτῆς κατὰ τῆς ἐξ ἔργων μισθοφορίας. Καὶ σύμφωνα τούτοις ὁ Ἀμβρόσιος πολλαχόθι μὲν ἄλλοθι, καὶ δὴ κἀν τῷ περὶ κλήσεως τῶν ἐθνῶν διδάσκει, ὧδέ πως λέγων· ἐξουδενωθείη ἂν ἡ ἀπολύτρωσις τῷ τοῦ Χριστοῦ αἵματι γενομένη, μήτε τῷ ἐλέει τοῦ Θεοῦ ἡ τῶν ἀνθρωπίνων ἔργων προνομία ὑποκειμένη τυγχάνοι ἂν, ὀφειλομένης τῆς δικαιοποιίας τῆς διὰ χάριτος γινομένης, τοῖς προηγεμένοις τῶν ἀγαθεργημάτων, ὥστε μὴ δῶρον αὐτὴν εἶναι τοῦ διδόντος, ἀλλὰ μισθόν τινα τοῦ ἐργαζομένου.

Et ne quis cavilletur, a nobis novam Pauli interpretationem excogitari, tota hæc causa habet testimonia Patrum. Nam Augustinus multis voluminibus defendit gratiam & justitiam fidei contra merita operum. Et similia docet Ambrosius de vocatione gentium & alibi. Sic enim inquit de vocatione gentium: Vilescerет redemptio sanguinis Christi, nec misericordiæ Dei humanorum operum prærogativa succumberet, si justificatio, quæ fit per gratiam, meritis præcedentibus deberetur, vt non munus largientis, sed merces esset operantis.

Ταύτης μὲν τῆς διδασκαλίας εἰ καὶ οἱ ἄπειροι ὡς εὐκαταφρονήτου ὀλιγωροῦσιν, ὅμως αἱ θεοσεβοῦς καὶ συντετριμέναι τῶν συνειδήσεων, πλεῖσον ὅσον παρηγορίας αὐτὴν ἐπιχορηγεῖν τοῖς πειραζομένοις αἰσθάνονται, ἀνενδοιάστως καὶ ἀδιακρίτως διὰ τοῦ Χριστοῦ τῷ Θεῷ καταλλαχθῆναι, καὶ τῆς ὀφειλομένης τοῖς παραπτώμασι καταδίκης ἀφεθῆναι ἑαυτὰς πιστεύουσαι. Μηδέποτε δ' ἀσφαλῶς καὶ ἡ σύγχως ἔχειν δύναιντ' ἄν, εἰ διὰ τὰ ἡμῖν εἰργασμένα δικαιωθῆναι ἡμᾶς ἐπάναγκες ἦν· Διὸ καὶ ἀναγεννηθέντας ἤδη, καὶ ἀγαθεργοῦντας, ὅμως μέντοι τοῦ μεσίτου καὶ λυτρωτοῦ αἰεὶ ἀντέχεσθαι, καὶ πιστεύειν ἡμᾶς χρεὼν, ἵλεων τὸν Θεὸν ἡμῖν εἶναι, καὶ δικαίους ἡμᾶς ὑπ' αὐτοῦ νομίζεσθαι, οὐχ ὅτι τὸν νόμον πεπληρώμεν, ἀλλὰ διὰ τὸν Χριστὸν, δι' οὗ καὶ τήνδε τὴν ἐπαγγελίαν, ἱλασθῆναι ἡμῖν τὸν Θεὸν, ἐλάβομεν. Τοιγαροῦν

Quanquam autem hæc doctrina contemnitur ab imperitis: tamen experiuntur piæ ac pavidæ conscientiæ, plurimum eam consolationis afferre. Quia conscientiæ non possunt reddi tranquillæ per ulla opera, sed tantum fide, cum certo statuunt, quod propter Christum habeant placa-

Cum dicimus, ſola fide in Chriſtum nos coram Deo juſtificari, hoc dicere volumus: per ſolam fidem nos ita apprehendere Salvatorem noſtrum Chriſtum: ut propter ipſius perfectiſſimum meritum conſequamur peccatorum remiſſionem, & vitam æternam. Et ſolam in Chriſtum fidem eſſe manum illam exiſtimamus: qua ea accipimus, quæ nobis Redemptor noſter Chriſtus impetravit. Neque de eo controverſia eſt, an bona opera ſint facienda: &, an bona opera certo fidem veram ſequantur. Docemus enim, (cum Joanne Baptiſta) quod arbor mala non faciens fructum bonum, exſcindatur, & in ignem mittatur. Neque mortuam fidem, quæ hiſtoriæ tantum eſt notitia, qualis etiam in Dæmonibus eſt, (teſte Jacobo) juſtificare dicimus: ſed eam, de qua Paulus dicit, quod ſit per charitatem efficax. Neque ſentimus eos juſtificari, hoc eſt, remiſſionem peccatorum, & vitam æternam conſequi, qui non agunt pœnitentiam. Hos enim damnari conſtat. Nihilominus tamen, noſtra bona opera, in Articulo juſtificationis non eſſe

μεν παραμιγνύναι δεῖν, ὅπȣ πρόκειται τὸ, διὰ τίνος, καὶ διὰ τὶ, τῷ Θεῷ διαλλαττόμεθα, καὶ τοῖς τȣ̃ Θεȣ̃ τέκνοις καὶ κληρονόμοις ἐγκαταλεγόμεθα. Διὰ τί; Ὅση γὰρ ἐνταυθοῖ ἡμῶν τοῖς ἔργοις καὶ δικαιώμασιν, ἀξίας προσθήκη, νέμεται, τοσαύτην τῆς τȣ̃ Χριστȣ̃ κατορθώματος τιμῆς ἐλάττωσιν γίνεσθαι κρίνομεν.

Αἱ γὰρ Ἅγιαι Γραφαὶ, τὴν ἐνώπιον Θεȣ̃ δικαιοσύνην, καὶ τὴν αἰώνιον σωτηρίαν, ȣ̓χὶ ταῖς ἡμέτέραις ἀρεταῖς καὶ ἔργοις ἐπιγράφȣσι, μόνην δὲ τὴν τȣ̃ Χριστȣ̃ ἀριστείαν, ἣν διὰ μόνης τῆς πίστεως ἑαυτοῖς προσάπτομεν, ἐκείνης αἰτίαν ὑποβάλλονται. Πάντες γάρ (φησι Παῦλος Ῥωμ. γ'.) ἥμαρτον· καὶ ὑστερȣ̃νται τῆς δόξης τȣ̃ Θεȣ̃, δικαιȣ́μενοι ΔΩΡΕΑΝ τῇ αὐτȣ̃ χάριτι, διὰ τῆς ΑΠΟΛΥΤΡΩΣΕΩΣ τῆς ἐν Χριστῷ Ἰησȣ̃, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον, διὰ τῆς πίστεως ἐν τῷ αὐτȣ̃ αἵματι. Καὶ μικρῷ ὕστερον ὁ αὐτὸς, λογιζόμεθα ȣ̓̃ν. φησι, πίστει δικαιȣ̃σθαι ἄνθρωπον, χωρὶς ἔργων νόμȣ. Ἐνταῦθα ὁ Μακάριος Ἀπόστολος τῆς δικαιώσεως ἐκκλείει τὰ ἡμέτερα ἔργα, καὶ ἐκκλείων τὰ ἔργα τȣ̃ νόμȣ, ἀποφαίνεται ȣ̓ περὶ τῶν ἱερατικῶν, ἢ πολιτικῶν μόνον ἔργων, ἀλλὰ καὶ τȣ̃ Δεκαλόγȣ πέρι. Μόριον γὰρ ἐξαίρετον τȣ̃ νόμȣ, αἱ δέκα ἐντολαὶ, καὶ τὰ τῶν πάντων ἐξοχώτατα καὶ ἁγιώτατα ἐπιζητȣ̃σαι ἔργα. Ἐπειδὴ δὲ ȣ̓δεὶς τῇ ἐπικήρῳ ζωῇ ταύτῃ συνὼν, αὐτὰ τελείως παρέχεσθαι δύνατός· διὰ τȣ̃το ἀπογινώσκει τῶν τȣ̃ νόμȣ ἔργων ὁ Ἀπόστολος τὸ ἔμπροσθεν τȣ̃ Θεȣ̃ δικαιωτικόν. Ὅ, τι γὰρ ἐν τῷ δικαίῳ καὶ ἀδεκάστῳ τȣ̃ Θεȣ̃ δικαστηρίῳ ἵστασθαι μέλλει, τȣ̃το πάντῃ πάντως τελειώτατον εἶναι, ἀναγκη. Τοιȣ̃τον δ' ȣ̓δὲν εὑρίσκεσθαι ἐγχωρεῖ ἄλλο, εἰ μὴ τὸ ὁλοτελέστατον Χριστȣ̃ κατόρ-

admiscenda, docemus: ubi agitur: per quid, & propter quid, cum Deo reconciliemur, & in numerum filiorum, & hæredum Dei, recipiamur. Quantum enim in hoc negotio nostris operibus & meritis tribuitur: tantum honori meriti Christi decedere existimamus.

Sacræ enim literæ Justificationem coram Deo, & salutem æternam, non adscribunt nostris meritis & operibus: sed soli merito Christi, quod per solam fidem nobis applicamus. Omnes enim (inquit Paulus Rom. 3.) peccaverunt, & egent gloria Dei: justificati gratis per gratiam ipsus, per redemptionem, quæ est in Christo Jesu: quem proposuit Deus propitiatorem, per fidem in sanguine ipsius. Et paulo post, idem Apostolus inquit: Arbitramur enim hominem justificari: per fidem, sine operibus legis. Hic beatus Apostolus excludit a Justificatione, nostra opera. Et, dum legis opera excludit, loquitur non de cæremonialibus aut politicis tantum operibus: sed etiam de Decalogo. Decalogus enim est præcipua pars legis: & in Decalogo requiruntur omnium præstantissima & sanctissima opera. Sed quia nemo in hac mortali vita ea præstare potest perfecte: Ideo Paulus operibus legis derogat vim justificandi coram Deo. Quicquid enim coram severo Dei judicio constare debet: id oportet omnibus numeris esse absolutissimum. Tale autem nihil extat, præter perfectissimum Christi me-

κατόρθωμα, ὃ τοῖς εἰς αὐτὸν πιστεύσι διὰ τῆς πίστεως λελογισμένον ὠκείωται. Καὶ μὲν δὴ ἐπὶ τοσοῦτον τῶν δικαίων ἀποκρίνεται τὰ ἡμῶν ἔργα, ὥστε μηδαμῇ μηδαμῶς ἡμᾶς αὐτοῖς δικαιοῦσθαι, (κατὰ ταύτην γε τὴν σημασίαν, καθ' ἣν ἐν τῷ δε τῷ πράγματι, ὅπερ τῷ βήματι τοῦ Θεοῦ παρίσταται ὁ ἁμαρτωλὸς, τόδε τὸ ῥῆμα ἐκλαμβάνομεν) ἀλλὰ ὅλην τὴν δικαίωσιν ἡμῶν, δωρεὰν γίνεσθαι καὶ κατὰ χάριν μόνην. Ὅτι γὰρ τὸ ΧΑΡΙΣ, ἡ λέξις, ὅτε ἐπὶ τῆς σωτηρίας ἡμῶν τίθεται ἀποκλείει πάντα τὰ ἡμέτερα ἔργα, ἐξ αὐτοῦ δῆλον τοῦ Παύλου, (Ῥωμ. ια΄.) Φάσκοντος· Εἰ δὲ χάριτι, οὐκ ἔτι ἐξ ἔργων, ἐπεὶ ἡ χάρις, οὐκ ἔτι γίνεται χάρις. Καὶ ἀλλαχοῦ, (Ῥωμ. δ΄.) τῷ δὲ ἐργαζομένῳ, ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ τὸ ὀφείλημα, τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην. Ἐν τισι βίβλοις προσίθεται τὸ, κατὰ πρόθεσιν χάριτος Θεοῦ. Ὁρᾶτε δήπουθεν, τὸν Ἀπόστολον, περὶ τῆς δικαιώσεως λαλοῦντα, οὐ μόνον οὐ παραμιγνύντα τὰ ἡμῶν ἔργα, ἀλλ' αὐτὰ καὶ τῇ χάριτι, τῇ δικαιούσῃ καὶ σωζούσῃ ἡμᾶς, ἀντιτιθέντα, ὥστε καὶ τὴν πίστιν ἀντιτιθέναι τῇ ἡμῶν ἀξίᾳ, ἐν τούτῳ γε τῷ χρήματι. Διὸ καὶ τὴν σωτηρίαν ἡμῶν, ἐπὶ τὴν αἰώνιον τοῦ Θεοῦ ἐν Χριστῷ ἐκλογὴν καὶ προορισμὸν ἀναφέρει, ἀφορίσας πάντα τὰ ἡμέτερα ἔργα ὅτε λέγει· Ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου. (Ἐφεσ. α΄.). Καὶ ἐν τῇ πρὸς Ῥωμαίους (Κεφ. θ΄.) μήπω γὰρ γεννηθέντων μηδὲ πραξάντων τι ἀγαθὸν, ἢ κακὸν, (ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ) οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, ἐρρήθη αὐτῇ, ὅτι ὁ

ritum: quod credentibus in ipsum, per fidem applicatur & imputatur. Et quidem opera nostra ita excluduntur: ut nulla ex parte justificent, (ea quidem significatione, qua in hoc negotio, ubi peccator tribunali Dei sistitur, hoc vocabulo utimur) sed tota nostra justificatio fiat gratis, & sit tota gratuita. Quod enim vocabulum GRATIAE in negotio salutis nostræ, excludat omnia nostra opera: manifestum est ex ipso Paulo, (Rom. 11.) cum inquit: Si autem gratia: jam non ex operibus. Alioquin gratia, jam non est gratia. Et alibi: (Rom. 4.) Ei autem, qui operatur, merces non imputatur secundum gratiam sed secundum debitum. Ei vero, qui non operatur, credenti autem in eum, qui justificat impium, reputatur fides ejus ad justitiam, secundum propositum gratiæ Dei. Videtis nimirum, quod Paulus, in Articulo justificationis non modo non admisceat opera nostra: sed ea etiam opponat gratiæ illi, qua justificamur, & salvamur: ita, ut etiam opponat fidem nostris meritis: in hoc quidem negotio. Ideoque Paulus salutem nostram refert ad æternam Dei electionem & prædestinationem in Christo, exclusis omnibus nostris meritis, dicens: elegit nos in ipso ante constitutionem Mundi (Eph. 1.). Et ad Rom. 9. Cum enim (inquit) nondum nati essent: aut aliquid boni egissent, aut mali, (ut secundum electionem propositum Dei maneat) NON EX OPERIBVS, sed

μείζων δουλεύσει τῷ ἐλάσσονι. Καὶ πάλιν, ὁ αὐτὸς Ἀπόστολος, τῇ γὰρ χάριτί ἐστε, φησὶ, σεσωσμένοι, διὰ τῆς πίστεως, (καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον) οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. Ἐνταῦθα, ἴδετε, ἐξεκλείσθη τὰ ἔργα, ἵνα μηδαμῇ τις αὐτὰ αἴτιον, μηδὲ συναίτιον τῆς αἰωνίου ἡμῶν σωτηρίας ὑποτιθῇ. Θέλει γὰρ ἑαυτῷ μόνῳ τὸ καύχημα τοῦτο ἴδιον ὁ Κύριος, καὶ ἀνέπαφον, φυλάττειν, τὸ, ὅτι χάριτι, ἀλλ' οὐ διὰ τὰ ἡμέτερα καλὰ ἔργα, ἡμᾶς σώζει. Ἢ δὴ καὶ Παῦλος, τὸ ἄγαν πρὸς τὸ ἀνθρώπειον γένος, ἔλεων τετὶ ἀνυμνῶν, Ὅτε δὲ ἡ χρηστότης, καὶ ἡ φιλανθρωπία, φησὶν, (Τιτ. γ'.) ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων, τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς. Ἔλεος οὖν ἐστιν, οὐχὶ δὲ καλοκἀγαθία καὶ ἀξία ἡμῶν, τὸ, ἡμᾶς ἁμαρτιῶν ἀφέσεως τυχόντας, σώζεσθαι. Μόνη δὲ ἡ πίστις ἐστὶν, ἡ τοῦ Θεοῦ ἐλέους τετὶ μετόχους ἡμᾶς ποιοῦσα. Τοιγοῦν καὶ ὁ Ἅγιος Πέτρος, (Πράξ. ι.) περὶ Χριστοῦ λαλῶν τούτῳ πάντες, φησὶν, οἱ Προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν, διὰ τοῦ ὀνόματος αὐτοῦ, πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Ἄφεσιν οὖν τῶν ἁμαρτιῶν, πίστει, ἀλλ' οὐκ ἔργοις, λαμβάνομεν. Καὶ ὁ Σωτὴρ, (Ἰωάν. γ'.) Καθὼς Μωσῆς φησιν, ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Καθάπερ οὖν οἱ ὑπὸ τῶν ὄφεων τότε δηχθέντες, (Ἀριθ. κά.) καὶ ἰάσεως ἐπιθυμοῦντες, οὐ τῷ ποιεῖν τι, ἀλλὰ μόνον τῷ ἐπιβλέπειν ἐπὶ τὸν χαλκοῦν ἐκεῖνον ὄφιν, ἐσώζοντο, οὕτως ἡμεῖς, οὐκ

sed ex vocante, dictum est ei: quia major serviet minori. Et idem Apostolus rursus (Eph. 2.), Gratia enim, inquit, estis salvati, per fidem: & hoc non ex vobis. Donum enim Dei est, non ex operibus: ne quis glorietur. Hic certe opera excluduntur, ne ulla ex parte sint causa salutis nostræ æternæ. Vult enim Dominus sibi soli hanc gloriationem illibatam conservare: quod ex gratia, & non ex nostris meritis, nos salvos faciat. Unde & Paulus hanc Dei erga genus humanum clementiam commendans (Tit. 3.) ait: cum autem benignitas & humanitas apparuit salvatoris nostri Dei: non ex operibus Justitiæ, quæ fecimus nos, sed secundum misericordiam suam, salvos nos fecit. Misericordia igitur est, non meritum nostrum, quod salvamur, & remissionem peccatorum consequimur. Fide autem sola, hujus misericordiæ divinæ participes fieri possumus. Unde Petrus (Act. 10.) dicit de Christo: Huic omnes prophetæ testimonium perhibent: remissionem peccatorum accipere per nomen ejus omnes, qui credunt in eum. Remissio igitur peccatorum, fide, non operibus, accipitur. Et Christus inquit (Joan. 3.): sicut Moyses exaltavit serpentem in deserto: ita exaltari oportet filium hominis: ut omnis, qui credit in eum, non pereat, sed habeat vitam æternam. Ut igitur, qui a serpentibus percussi erant, & sanari volebant (Num. 21.): non aliquid agendo, sed tantum respiciendo in serpentem illum æneum, servabantur: ita

οὐκ

ἐκ ἐργαζόμενοί τι, ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς πίστεως εἰς Χριστὸν τὸν ἐσταυρωμένον ἐπιβλέποντες, θεραπείας καὶ σωτηρίας αἰωνίᾳ ἐφικνέμεθα. Καταλλαγέντες δὲ διὰ τῆς πίστεως τῷ Θεῷ, ἕτω δὴ ἀγαθοεργῶμεν, καὶ τοῦτο διὰ πλείας καὶ μεγάλας αἰτίας, ἃς ὑποκατιόντες, ἐν οἰκείῳ τόπῳ, ἐφ' ὅσον ἱκανὸν ἔσῃ, καταλέξομεν. Τὸ δὲ μακάριον οὐκ ἐν ἔργοις ὁ θεῖος Παῦλος, ἀλλ' ἐκ τῶν ἁμαρτιῶν κατὰ δωρεὰν γενομένη ἀφέσει, κεῖθεν διδάσκει. (Ῥωμ. δ'.) λέγων· Καθάπερ καὶ Δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων, (Ψαλμ. λά.) Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίζηται Κύριος ἁμαρτίαν. Διὰ δὲ Χριστὸν ἀφίενται αἱ ἁμαρτίαι, διότι εἰς τὸ παντελὲς τῷ Θεῷ νόμῳ ὑπακούσας, τοῦτον ἐπλήρωσε, πάσας ἡμῶν τὰς ἀνομίας, ὅπως τῷ ἰδίῳ πάθει ἐξιλάσαιτο, ἐπιφορτισάμενος. Γράφει γὰρ Παῦλος (Ῥωμ. ε'.) Ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς, δίκαιοι κατασταθήσονται οἱ πολλοί. Καὶ Ἡσαΐας (Κεφ. νγ'.)· Ἐπέθηκεν αὐτῷ Κύριος τὴν ἀνομίαν πάντων ἡμῶν, (εἰ καὶ τοῦτο παρὰ τοῖς ἑβδομήκοντα μεθηρμήνευται, Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.) Ὁ τοίνυν πίστει τὸν Χριστὸν περιλαβὼν, ἕτος τοῦ αἰῶνος ἀπόλυθαι ἔξω γίνεται. Ὥσπερ γὰρ, εἴ τις εἰς ὠκύτατον καὶ βαθὺν ποταμὸν ἐμπέσοι, νήχεσθαι μὲν μὴ ἐπισάμενος, πάντως ἂν ἐναποπνιγείη, εἰ δ' ἄλλος τις, νηκτικώτατος ὤν, καὶ ῥωμαλεώτατος, καὶ παντοίων κυμάτων καὶ δεινῶν εὐτυχῶς καταπολμᾷν εἰωθὼς, τὸν ἀπολέσθαι κινδυνεύοντα ἐλεήσας, ἐπὶ σωτη-

non operando, sed oculis fidei respiciendo in Christum crucifixum, sanitatem & salutem æternam consequimur. Ubi vero per fidem Deo sumus reconciliati: bene operamur, propter causas multas & graves, de quibus postea suo loco, quantum satis erit, dicetur. Paulus autem beatitudinem non in operibus, sed in gratuita remissione peccatorum, consistere docet (Rom. 4.), inquiens: Sicut & David (Psal. 32.), dicit beatitudinem hominis: cui Deus acceptam fert justitiam sine operibus: Beati, quorum remissæ sunt iniquitates, & quorum tecta sunt peccata. Beatus vir, cui non imputavit Dominus peccatum. Propter Christum autem remittuntur peccata: quia perfectam obedientiam legi Dei præstitit: & omnia peccata nostra, passione sua expianda, in se recepit. Ait enim Paulus (Rom. 5.) Sicut per inobedientiam unius hominis, peccatores constituti sunt multi: ita per unius obedientiam, justi constituentur multi. Et (Isaias 53.) inquit: Posuit Dominus in eo iniquitatem omnium nostrum. Quare, qui Christum fide amplectitur: is liberatur ab æterno exitio. Quemadmodum enim, si quis in rapidissimum & profundum flumen incideret, natandi imperitus, suffocari, omnino necesse haberet: si tamen alius quispiam natandi peritissimus, & robustissimus, atque contra quasvis procellas & voragines invictus, hujus, qui de vita

ρίᾳ αὐτῦ εἰς τὸν ποταμὸν κατάλαιτο, ἔτος, τῦ νηκτικῦ τέτε ταῖς χερσὶν ἐπιλαβόμενος, καὶ ἀπερίζ αὐτῦ ἐξεχόμενος, ἀναμφιβόλως αὐτῷ συνεκσωθείη, τὸν αὐτὸν δὴ τρόπον, ὅσις τῦ μεσίτε καὶ σωτῆρος ἡμῶν Χριςῦ πίςει ἐπεδράξατο, καὶ ἰσχυρῶς ἐνεςερνίσατο, αὐτῷ ἐκ τῆς συρφορῆς καὶ ἀμπώσεως τῆς θείας ὀργῆς, καὶ τῆς κατάρας, καὶ τῦ ᾅδε, συναναδὺς καὶ συνεξενεχθεὶς, τῆς ἐν ἐρανοῖς μακαριότητος, καὶ χαρᾶς ἐ λήγεσης ἐπέβη. Ἡ γὰρ τὸ τῦ Χριςῦ κατόρθωμα ἐκ ἀποδέξεται ὁ ἐράνιος Πατὴρ, ὅπερ ἐκ ἂν ἐνδέχοιτο γενέθαι, ἢ τὸν τῷ τῦ Χριςῦ ἀριςεύματι, ἀληθινῇ πίςει ἐπερηρεισμένον, ἀποῤῥίπλειν ἐ δύναται. Εἰ δ' ἐξεναντίας τέτοις, τινὶ τὰ ἔργα ἡμῶν, πρὸς δικαίωσιν καὶ σωτηρίαν ἀναγκαῖα δόξει, ἔτος πάσας τὰς Θεῦ ἐπαγγελίας, τὰς ἄφεσιν ἁμαρτιῶν, καὶ ζωὴν αἰώνιον ἐπαγγελομένας, ἀβήλες καὶ ἀβεβαίες ποιήσει. Εἰ γὰρ τῶν ἡμετέρων ἀρετῶν ἐςί τις ἀναγκαία τῇ δικαιώσει χρεία, τίς ἡμᾶς περὶ τῦ, ἄρα ἐξαρκέντα εἰς αὐτὴν ἔργα ἔχομεν, ἢ ἐλλείπομέν τισι, καὶ πόσοις ἔτι πληροφορήσει; τὴν δὲ θείαν ἐπαγγελίαν, δηλοτάτην καὶ βεβαιοτάτην ἡμῖν εἶναι χρεών, ὅπως αὐτῇ παγίως ἡ πίςις ἐπιςηρίζεθαι ἔχῃ. Παρακινηθείσης γὰρ τῆς περὶ τὴν ἐπαγγελίαν βεβαιότητος καὶ ἀσφαλείας, καταπεσεῖται ἡ πίςις. Ἀνατραπείσης δὲ τῆς πίςεως, οἰχήσεται ἡ δικαίωσις ἡμῶν καὶ σωτηρία. Ὥςε Παῦλος (Ῥωμ. δ') διαβεβαῦται, διὰ τῦτο ἐκ πίςεως εἶναι τὴν δικαιοσύνην, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν. Αἱ μὲν γὰρ νομικαὶ ἐπαγγελίαι τὸ παλαιὸν, ἐκ ἀπολύτως ἐγεγένηντο, ἀλλ' ἐπὶ τέτῳ, εἰ ὁ νόμος πληρωθείη. Αἱ δ' ἐν τῷ Εὐαγγελίῳ, ὀδὲν ἡμᾶς ἄλλο ἀπαιτῦσι, πλὴν τὸ πιςεύειν. Εἰ γὰρ μὴ τὸ ἐυσα-

ta periclitaretur, miſertus, in flumen (ad hunc eripiendum) deſiliret: is certe, qui natandi peritum manibus ſuis arriperet, atque eum arctiſſime complecteretur, una cum ipſo evaderet: Ita, qui Chriſtum mediatorem & Servatorem noſtrum fide apprehenderit: una cum ipſo e gurgite maledictionis, iræ divinæ, atque inferorum, emergit, atque ad cœleſtia gaudia evadit. Aut enim Chriſti meritum non recipiet pater cœleſtis, quod eſt impoſſibile, aut eum, qui Chriſti merito vera fide nititur, abjicere non poteſt. Si quis autem opera noſtra, ad juſtificationem & ſalutem neceſſaria eſſe putaverit: is reddet omnes promiſſiones Dei, de remiſſione peccatorum, & vita æterna, incertas. Si enim opera noſtra ad juſtificationem ullo modo ſunt neceſſaria: quis nos certos reddet, an ſufficientia opera habeamus? An vero aliquid, & quantum adhuc deſit? Promiſſionem autem divinam, oportet nobis eſſe certiſſimam: ut ea promiſſione fides firmiter inniti poſſit. Labefactata enim promiſſionis certitudine, corruet fides. Everſa fide corruet juſtificatio, & ſalus noſtra. Propterea Paulus (Rom. 4.) affirmat: ideo juſtificationem eſſe ex fide, ut firma ſit promiſſio. Legis enim promiſſiones nitebantur olim ea conditione, ſi lex eſſet impleta. Evangelicæ vero promiſſiones nihil aliud requirunt: niſi ut credamus. Si enim

θὲς

θὲς καὶ βέβαιον ἔχοιεν, μὴ τελείως τῷ νόμῳ πληρωθέντος, ἐδὲν ἄρα διενέγκειεν ἂν ἡ καινὴ αὕτη, τῆς παλαιᾶς διαθήκης. Διὰ τᾶτο δὴ ὁρῶμεν, τῷ λῃσῇ ἐπὶ τῷ σαυρῷ τὰ ἡμαρτημένα ἀφεθέντα, καὶ τὴν τῆς ἐρανίε κληρονομίας κοινωνίαν δωρηθεῖσαν, καίτοι προδήλως ἀδεμίαν ἔργων ἀξίαν καυχήσαθαι δυνηθέντι. Καὶ ὅμως σήμερον, ἔπε Χριτὸς, (Λεκ. κγ΄.) μετ' ἐμᾶ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἀλλὰ καὶ αἱ τῆς Ἐκκλησίας ἱτορίαι μαρτυρᾶσιν ἐν τῇ πρωτοτύπῳ Ἐκκλησίᾳ, βαρυτάτων ἔτι διωγμῶν ἀνακινεμένων, πολλᾶς τῶν ἐξ ἐθνῶν, ἐξαίφνης (τὸ ἀνίκητον τῶν ἱερομαρτύρων ἐκπεπληγμένες) πρὸς τὴν εἰς Χριτὸν πίτιν ἐπιτραφῆναι, καὶ παραχρῆμα ὑπὸ τῶν τυράννων ἐπὶ τιμωρίαν συναρπαθῆναι, οἳ πάντως ἐδενὶ ἄλλῳ, εἰ μὴ μόνῃ τῇ εἰς τὸν Χριτὸν πίτει, πάντων τῶν πεπλημμελημένων ἄφετιν λαβόντες, τῆς αἰωνίε ζωῆς ἐπέτυχον. Οὐκᾶν ἐκ τῶν Γραφῶν μεμαθήκαμεν, καὶ πιτεύομεν, ἄνθρωπον ἐκ μόνης τῆς πίτεως, χωρὶς ἀξίας τῶν ἰδίων ἔργων κατέναντι Θεᾶ δικαιᾶσθαι, καὶ σώζεσθαι. Ἀλλὰ μὴν πρὸς τοῖς εἰρημένοις, καὶ τὸν ἅγιον Ἐπιφάνιον ἡμῖν συγκάταινον ἔχομεν, γράφοντα (Βιβ. γ΄. Τόμῳ ά. κατὰ πνευματομάχων.) ἕτω. Τοίνυν, φησὶν, ἐν ᾧ ἐγὼ ἠθέτην διὰ τῆς σαρκὸς, ἀπετάλη μοι ὁ τωτὴρ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας οἰκονομίαν τοιαύτην πληρῶν, ἵνα με δελείας ἐξαγοράτη, ἵνα με φθορᾶς, ἵνα με θανάτε. Καὶ ἐγένετό μοι δικαιοτύνη, καὶ ἁγιατμὸς, καὶ ἀπολύτρωτις. Δικαιοτύνη μὲν, διὰ πίτεως αὐτᾶ ἁμαρτίαν λύτας, ἁγιατμὸς δὲ, δι' ὕδατος, ἐλευθερώτας, ἀπολύτρωτις δὲ, τὸ αἷμα

non eſſent firmæ ac ratæ, niſi legem perfecte impleremus: nihil profecto differret novum illud fœdus, ſeu Teſtamentum, a veteri. Ideo legimus, latroni in cruce condonata peccata, & donatum jus hæreditatis cœleſtis: qui certe nulla merita jactare poterat. Hodie (inquit Chriſtus Luc. 23.) mecum eris in Paradiſo. Et teſtantur hiſtoriæ Eccleſiaſticæ: in primitiva Eccleſia, cum adhuc graviſſimæ exercerentur perſecutiones: multos ex gentibus ſubito (permotos Sanctorum Martyrum conſtantia) ad fidem Chriſti converſos: ſtatimque a Tyrannis raptos fuiſſe ad ſupplicia: qui certo ſola in Chriſtum fide, omnium præteritorum peccatorum remiſſionem, & vitam æternam, ſunt conſecuti. Quare ex ſacris literis didicimus, & credimus: hominem ſola fide, absque meritis operum ſuorum, coram Deo juſtificari, & ſalvari. Et ſentit nobiſcum Epiphanius, qui (lib. 3. Tom. 1. contra Pneumatomachos) ſic ait: proinde, quia ego debilis eram per carnem: demiſſus eſt mihi ſalvator, in ſimilitudine carnis peccati talem diſpenſationem perficiens: quo me a ſervitute redimeret, a corruptione, a morte. Et factus eſt mihi juſtitia, & ſanctificatio, ac redemptio. Juſtitia quidem, quoniam per fidem ipſius peccata diſſolvit: Sanctificatio vero, quia per aquam & ſpiritum, & verbum ſuum, me liberavit: redemptio vero eſt ſanguis ipſius: dum pretium redemptionis agni veri pro me ſeipſum tradidit: propitiationem pur-

καὶ Πνεύματος, καὶ ἐν ῥήματι αὐτᾶ, αὐτᾶ, λύτρον ἀμνᾶ ἀληθᾶς, ὑπὲρ ἐμᾶ

ἑαυτὸν

ἑαυτὸν παραδὲς, ἱλαστήριον καθάρσεως κόσμῳ, καταλλαγῆς ἁπάντων ἐρανῷ καὶ γῆς, Μυστήριον τὸ ἀπόκρυφον πρὸ τῶν αἰώνων, καὶ γενεῶν, πληρῶν καιροῖς τοῖς διωρισμένοις. Καὶ ὁ μέγας Βασίλειος. Αὕτη γὰρ δὴ, φησὶν, ἡ τελεία, καὶ ὁλόκληρος καύχησις, ἐν Θεῷ, ὅτε μήτε ἐπὶ δικαιοσύνη τὶς ἐπαίρεται τῇ ἑαυτῇ, ἀλλ' ἔγνω μὲν ἐνδεῆ ὄντα ἑαυτὸν δικαιοσύνης ἀληθοῦς, πίστει δὲ μόνῃ τῇ εἰ Χριστὸν δεδικαιωμένον. Καὶ καυχᾶται Παῦλος ἐπὶ τῷ καταφρονῆσαι τῆς ἑαυτοῦ δικαιοσύνης, ζητεῖν δὲ τὴν διὰ Χριστοῦ, τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ συμμορφιζόμενος τῷ θανάτῳ αὐτοῦ, εἴπως καταντήσει εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν. Ἐνταῦθα πέπλωκε πᾶν ὕψος ὑπερηφανίας. Καὶ ὁ θεῖος Χρυσόστομος (Εἰς τὴν πρὸς Γαλάτ. γ'.) Ἐκεῖνοι πάλιν ἔλεγον, ὅτι ὁ τῇ πίστει μόνῃ προσέχων, ἐπικατάρατος. Οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τῇ πίστει προσέχων μόνῃ, εὐλογημένος. Καὶ ἑτέρωθι (Τίτ. α'. Λόγ. γ'.) Εἰ πιστεύεις τῇ πίστει, τὶ ἕτερα ἐπεισάγεις, ὡς ἐκ ἀρκούσης τῆς πίστεως δικαιῶσαι; καταδιλοῖς ἑαυτὸν, καὶ ὑποβάλλεις τῷ νόμῳ. Καὶ δὴ καὶ ὁ Θεολόγος Γρηγόριος, τὶ τοῦτο, φησὶ, συντομώτερον τοῦ πλέτου; τὶ ταύτης τῆς δωρεᾶς εὐκολώτερον; ὁμολόγησον Ἰησοῦν Χριστὸν, καὶ πίστευσον, ὅτι ἐκ νεκρῶν ἐγήγερται, καὶ σωθήσῃ. Δικαιοσύνη μὲν γὰρ, καὶ τὸ πιστεῦσαι μόνον. Σωτηρία δὲ παντελὴς, τὸ καὶ ὁμολογῆσαι, καὶ προσθεῖναι τῇ ἐπιγνώσει τὴν παῤῥησίαν. Εἶεν. Οὐδὲν δ' ὅμως ἧττον ἐνταῦθα ἐπὶ τὸ καλὰ ἔργα, τὰ παρὰ

gationis mundi, reconciliationis omnium in cœlo & terra: mysterium ante secula & generationes occultum, implens temporibus decretis. Et Basilius M. Hæc, inquit, est perfecta omnibusque suis partibus constans, gloriatio apud Deum: quando non sua quis effert se justitia: sed agnoscit, se propria destitutum esse justitia: FIDE autem in Christum SOLA justificatum. Et gloriatur Paulus, se contempsisse suam justitiam: quæsivisse autem illam, quæ per Christum, & a Deo est, justitiam, quæ propter fidem datur: ut cognosceret efficaciam resurrectionis ejus, & communicationem passionis ejus: conformis fiens morti ejus: si qua ratione perveniret ad resuscitationem mortuorum. Hic cecidit omnis altitudo superbiæ. Et D. Chrysostomus (Gal. 3.) illi rursus dicebant, eum, qui soli fidei intentus esset: maledictum esse. Hic certe ostendit eum, qui sola fide nitatur, benedictum esse. Et alibi (& Tit. 1. Serm. 3.). Si confidis fide: quid alia introducis, tanquam ad justificationem non sufficiat fides? Servum te facis, & subjicis legi. Sed & Theologus Gregorius (de disputationis disciplina), quid hisce, inquit, divitiis magis compendiarium? Quid hoc dono facilius? Confitere Jesum Christum, & crede, e mortuis resuscitatum esse: tunc salvaberis. Justitia enim est, vel credidisse tantum. Salus autem perfectissima, & confiteri, & veritatem agnitam fidenter prædicare. Hæc illi. Nihilominus tamen nos apud nostros auditores diligenter urgemus bona opera:

quæ

παρὰ Θεῦ ἐντεταλμένα, πράττειν, ἐκ ἐν παρέργῳ τὰς ἡμῶν ἀκροατὰς προτρεπόμεθα. Δίκαιοι γὰρ τῷ Κυρίῳ ὑπακούειν οἱ εὐσεβείας τρόφιμοι, κατὰ τὰ, ἃ Παῦλος (Ῥωμ. ἡ.) γράφει· Ἄρα ἓν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν ἃ τῇ σαρκὶ, τῦ κατὰ σάρκα ζῆν. Χριστὸς γὰρ (β΄. Κορ. ἑ. ὁ αὐτὸς φησιν) ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες, μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι, καὶ ἐγερθέντι. Εἰκότως. Οὐδὲν γὰρ ἀχαρίστε ἀνθρώπε αἴσχιον, ἄλλως τε, ἢ κατὰ Θεῦ, καὶ πρὸς τηλικαῦτα εὐεργετήματα, πάσης ἀνθρωπίνης γλώσσης καὶ ἀνυμνήσεως δύναμιν ὑπερβάλλοντα. Καὶ πάνυ φυλάττεσθαι χρὴ, τῷ Θεῷ κατηλλαγμένῳ, προσκόπτειν πάλιν ἔτως, ὥστε τῆς αὐτῦ χάριτος ἐκπίπτειν. Εἰ γὰρ, κατὰ σάρκα (φησὶ Παῦλος Ῥωμ. ἡ.) ζῆτε, μέλλετε ἀποθνήσκειν. Εἰ δὲ, Πνεύματι τὰς πράξεις τῦ σώματος θανατῆτε, ζήσεσθε. Οἱ γὰρ ἁμαρτίαις καὶ κακεργίαις τὰς ἰδίας συνειδήσεις κατατρώσαντες, ἤτοι ἐξ ὑποστροφῆς ἑαυτὰς τῇ Θείᾳ ὀργῇ καὶ ἀγαναικτήσει περιβάλλεσι φέροντες, καὶ εἰς αἰώνιον κατακρημνίζεσιν ἀπώλειαν, ἐὰν μὴ δι' ἀληθῦς μετανοίας ὑπὸ τῦ Κυρίε εἰς τὴν ὁδὸν ἐπαναχθῶσιν. Ἔτι γε μὴν καὶ διὰ τῦτο τῦ ἁμαρτάνειν ἀφεκτέον, ἵνα μὴ σωματικὰς κακώσεις αὐθόρμητοι ἐπισπασώμεθα. Λέγει γῦν ὁ Κύριος ᾧ ἐτεθεραπεύκει, (Ἰωάν. ἑ.) ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον τί σοι γένηται. Πρὸς δὲ τέτοις, τῆς δόξης τῦ Θεῦ λόγος ἑκτέος, τῦ μὴ παρὰ τὰς ἡμετέρας ἁμαρτίας τὸ ὄνομα αὐτῦ κακῶς ἀκέειν. Μέμφεται γάρ πε τῷ λαῷ ὁ Κύριος, λέγων, τὸ ὄνομα τῦ Θεῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι. Τἐναντίον δὲ, διὰ τὴν ἡμετέραν εὐσεβῶς

quæ a Deo sunt præcepta. Debent enim pii obedientiam Domino, juxta illud Pauli (Rom. 8.). Ergo, fratres, debitores sumus: non carni, ut secundum carnem vivamus. Christus enim (ut idem Apostolus 2 Cor. 5. dicit) pro omnibus mortuus est: ut & qui vivunt, jam non sibi vivant sed ei, qui pro ipsis mortuus est, & resurrexit. Nihil enim homine ingrato turpius: præsertim erga Deum, & pro tantis beneficiis, quæ nulla humana lingua satis pro dignitate celebrare potest. Et cavendum est, ne Deum reconciliatum denuo ita offendamus, ut ipsius gratia excidamus. Si enim (inquit Paulus Rom. 8.) secundum carnem vixeritis, moriemini. Si autem spiritu, facta carnis mortificaveritis, vivetis. Qui enim peccata contra conscientiam perpetrant, & scelera committunt, ii de novo indignationem Dei incurrunt, & in æternam mortem sese dant præcipites: nisi per veram pœnitentiam a Domino in viam reducantur. Quin & eam ob causam a peccatis abstinendum est: ne corporales nobis afflictiones ultro accersamus. Unde Christus ait illi, quem sanaverat (Joan. 5.). Ecce, sanus factus es: jam noli peccare, ne deterius aliquid tibi contingat. Quin & ratio habenda est gloriæ Dei: ne ipsius nomen propter nostra peccata male audiat. Conqueritur enim Dominus de populo suo alicubi dicens: Nomen Dei per vos blasphematur inter gentes. Contra vero, propter piam nostram conversa-

ἔχεσαν ἀναφοράν, τὸ τῦ Κυρίε ὄνομα ἐπαινόμενον ἐξαίρεται, κατὰ τὸ ὑπὸ Χριςῦ (Ματθ. ε.) ῥηθέν· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ἔτι δὲ, ἐπάθλοις, πῆ μὲν τῆδε, πῆ δὲ ἐν τῷ μέλλοντι αἰῶνι, διδομένοις, ἐπὶ τὸ καλῶν ἔργων φροντίζειν ἐξεγείρεσθαι προσήκει. Τῷ Τιμοθέῳ γὰρ γράφων ὁ Ἀπόςολος, ἡ εὐσέβειά φησι, πρὸς πάντα ὠφέλιμός ἐςιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν, καὶ τῆς μελλούσης. Δαψιλεςάτην τε, ὧν ἂν ἀγαθῶν πεποιηκότες ὦμεν, ἀνταπόδοσιν ὁ Θεῦ Υἱὸς διὰ πολλῶν ἐπηγγείλατο, ἐν τῇ ἐνδόξῳ ἐκείνῃ παρουσίᾳ γενησομένην. Τοσαύτην γὰρ αὐτῷ φιλοφροσύνης περιουσίαν εἶναι μαρτυροῦσιν αἱ γραφαὶ, ὥςε καὶ αὐτῶν, ὧν ἂν αὐτὸς ἐν ἡμῖν ἔργων ἐνεργικὼς ᾖ, καίπερ τὸ παράπαν ἐδὲν ἡμῖν ὀφείλων, θέλειν ἀμοιβὴν ποιεῖσθαι. Τέως γε μὴν ἀεὶ τῦτο διατελεῖν ὁμολογῦντας χρὴ, τύτους, ἵν ἀγαθὰ ἐργάζονται πρότερον ἤδη Θεῦ Υἱὸς εἶναι, διὰ τῆς πίςεως προδεδικαιωμένους, εἴπερ ἐ δύναται δένδρον σαπρὸν καρπὸς καλὸς ποιεῖν.

tionem nomen Domini laudibus evehitur: ut Chriſtus (Matth. 5.) dicit: luceat lux veſtra coram hominibus: ut videant opera veſtra bona, & glorificent patrem veſtrum, qui in cœlis eſt. Sed & præmia tum hujus, tum futuræ viæ, ad bona opera nos excitare debent. Paulus enim Timotheo ſcribens, ait: Pietas ad omnia utilis eſt, promiſſionem habens vitæ, quæ nunc eſt, & futuræ. Et Filius Dei prolixe promittit bonorum operum noſtrorum liberaliſſimam compenſationem, in illo glorioſo ſuo adventu. Tanta enim ipſius eſt bonitas, ut quamvis nobis omnino nihil debeat: tamen ea ipſa opera, quæ ipſe per nos eſt operatus, remunerari velit. Et tamen ſemper fateri oportet: eos, qui bona opera faciunt, jam antea eſſe Filios Dei, & per fidem juſtificatos. Non poteſt enim arbor mala bonos fructus facere.

Ταῦτα μὲν, περὶ τῆς κατὰ πίςιν δικαιοσύνης ἐπὶ τοσῦτον εἰρήθω. Νῦν δ' ἐπὶ τῶν Θείων Μυςηρίων θεωρίαν, τραπέμεθα.

Et hæc quidem de juſtificatione fidei dicta ſint: nunc ad Sacramentorum divinorum conſiderationem nos convertemus.

ΠΕΡΙ ΜΥΣΤΗΡΙΩΝ.

Μυςήρια καὶ τελετὰς, αἱ μὲν ἑλληνικὴ Ἐκκλησία ἑπτὰ ἀριθμῦσιν, ἡμεῖς δὲ, δύο μόνον κυριολεκτῦμεν. Εἰ γὰρ πάντα τὰ Θεῖα Μυςήρια, ὅσα ὑπὲρ τὸν νῦν ὑμῶν, ἐγκρίνειν οἷς νῦν λέγομεν Μυςηρίοις καὶ τελεταῖς ἐθελήσαιμεν, ἐ μόνον ἂν ἑπτὰ Μυςήρια, ἀλλὰ πολλῷ πλείῳ

DE SACRAMENTIS.

Sacramenta ſeptem numerant Græcæ Eccleſiæ. Nos vero duo tantum proprie dici Sacramenta aſſerimus. Si enim omnia myſteria divina (quæ humanum captum excedunt) numerare velimus: non ſeptem tantum, ſed multo plura erunt Sacramenta. Si etiam eas

res

πλείῳ εἶεν. Καὶ εἰ τῷ τȣ̃ Μυςηρίȣ ὀνόματι καὶ ταῦτα καλεῖν βȣληθῶμεν, οἷς τὰ ȣ̓ράνια καὶ Πνευματικὰ σκιαγραφεῖν ὁ Κύριος ἠθέλησε, μόνῃ ἑπτάδι ȣ̓δαμῶς περικλεισθήσονται. Ἡμεῖς δὲ Μυςήρια ὁριζόμεθα τελετȣργίας Θεόθεν διαταχθείσας, αἵτινες τῷ ῥήματι τῆς θείας (τῆς περὶ ἁμαρτιῶν ἀφέσεως, καὶ Θεȣ̃ πρὸς ἡμᾶς ἐυμενείας) ἐπαγγελίας, ἔχȣσι συνεζευγμένον τι καὶ αἰσθητὸν σύμβολον, ὅλης τῆς πράξεως, τὴν ἡμετέραν περὶ τῆς τῶν ἡμαρτημένων ἀφέσεως, πίςιν βεβαιȣ́σης, καὶ ȣ̓ρανίων εἰς ἡμᾶς ἐυεργεσιῶν κατατιθεμένων. Οὕτω δὴ τὸ Ἅγιον Βάπτισμα, διαταχθὲν οἴδαμεν, ἵνα τὰς ἁμαρτίας ἀπολȣσώμεθα, καὶ ἀναγεννηθῶμεν ἐξ ὕδατος καὶ Πνεύματος. Ὅθεν εἴρητο πρὸς Παῦλον, (Πράξ. κβ΄.) Ἀναςὰς, βάπτισαι, καὶ ἀπόλȣσαι τὰς ἁμαρτίας σȣ. Καὶ Πέτρος, (Πράξ. β΄.) μετανοήσατε, φησί· καὶ Βαπτιζέσθω ἕκαςος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησȣ̃ Χριςȣ̃, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τȣ̃ Ἁγίȣ Πνεύματος. Καὶ αὖθις Παῦλος. (Τίτ. γ΄.) Κατὰ τὸν αὐτȣ̃ ἔλεον, φησὶν, ἔσωσεν ἡμᾶς, διὰ λȣτρȣ̃ παλιγγενεσίας. Καὶ ὁ Σωτὴρ, (Ἰωάν. γ΄.) Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, ȣ̓ δύναται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τȣ̃ Θεȣ̃. Οὕτω δ' αὖ τὸ Κυριακὸν Δεῖπνον, ὑπὸ τȣ̃ Χριςȣ̃ θεσμοθετηθὲν οἴδαμεν, ἵνα ἐσθίοντες καὶ πίνοντες τὸ σῶμα, καὶ τὸ αἷμα αὐτȣ̃, ὑπομνησθῶμεν καὶ πληροφορηθῶμεν, ὅτι διὰ τȣ̃ Χριςȣ̃ ἐλυτρώθημεν, καὶ ὅτι

res Sacramenta appellare libuerit: quibus Dominus res cœlestes & Spirituales adumbrare voluit: nequaquam septenario numero eas complecti poterimus. Nos autem Sacramenta vocamus, cæremonias divinitus institutas: quæ una cum verbo promissionis divinæ de remissione peccatorum, & clementia Dei erga nos, habent annexam aliquam rem externam: qua tota actione confirmamur in fide de remissione peccatorum: & conferuntur in nos cœlestia beneficia. Ita Baptismum institutum scimus: ut abluamur a peccatis, & regeneremur ex Aqua & Spiritu. Unde dictum est Paulo (Act. 22.): Exsurge, & Baptizare, & ablue peccata tua. Et Petrus ait (Act. 2.): Baptizetur unusquisque vestrum in nomine Jesu Christi, in remissionem peccatorum vestrorum, &c. Et Paulus (Tit. 3.) ait: Salvos nos fecit per lavacrum Regenerationis. Et Christus (Joan. 3.) inquit: Nisi quis renatus fuerit ex Aqua & Spiritu: non potest introire in regnum Dei. Sic cœnam Domini a Christo institutam novimus ut edendo & bibendo corpus & sanguinem Christi, admoneamur & certificemur, quod simus per Christum redempti: quod habeamus (beneficio passionis & mortis ejus) peccatorum nostrorum remissionem, & jus Regni cœlestis. Et cibamur atque potamur tam pretiosis saluberrimisque alimentis: ut in novi-

ἔχομεν (περιποιήσαντος ἡμῖν τȣ̃ πάθȣς, καὶ τȣ̃ θανάτȣ, αὐτȣ̃) ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ τῆς ȣ̓ρανίȣ βασιλείας, κληρονομίαν. Ψωμιζόμεθα δ' ἔτι, καὶ ποτιζόμεθα, ȣ̓τω τιμίαν καὶ σωτηριώδη τροφὴν, ἵνα ἐν

 καινό-

καινότητι μὲν βίε μᾶλλον καὶ μᾶλλον προκόψωμεν, ἡ δὲ τῦ παλαιῦ Ἀδὰμ θανατηφόρος διαφθορὰ, τῷ ὑγιεινδιάτῳ τύτῳ ἀντιδότῳ ἐπιχεθῇ, καὶ κατὰ μικρὸν ἐκκαθαρθῇ.

Καὶ ταῦτα μὲν ἕτω γενικῶς, περὶ τῶν Ἁγίων Μυςηρίων φρονῦμεν. Νῦν δὲ καὶ ἰδικῶς βραχέα ἅττα περὶ αὐτῶν διαλεψόμεθα.

novitate vitæ majores facimus progressus: & veteris Adami venenata corruptio, per hoc præstantissimum Antidotum cohibeatur, & paulatim expurgetur.

Atque hæc quidem generaliter de Sacramentis sentimus. Nunc pauca etiam speciatim de iis dicemus.

ΠΕΡΙ ΒΑΠΤΙΣΜΑΤΟΣ.

Βαπλίζοντες, ὑμεῖς μὲν τρισὶ καταδύσεσι χρῆθε, καὶ ἑτωσὶ πάμπαν, ἐκ ἄλλως, ποιητέα διϊχυρίζεθε. ἡμεῖς δὲ, ἃ καταδύσεσι μὲν, ἐπιχύσει δὲ τρισσῇ, χρώμεθα, καὶ τῦτο, ἐπ' ὀνόματι Θεῦ Πατρὸς, Θεῦ Υἱῦ, καὶ Θεῦ Ἁγίε Πνεύματος, πράτλομεν. Καὶ παρὰ Χριςῦ, καὶ τῶν Ἀποςόλων, ἐδὲν ἰδικῶς, ὅσον εἰς τὰ πέριξ ταῦτα, διατεταγμένον, νόμιμον καὶ τελεσιεργὸν κρίνομεν εἶναι τὸν Βαπλισμὸν, ὅπε ὕδατος ἐπιχεομένε, εἰς τὸ ὄνομα τῦ Πατρὸς, καὶ τῦ Υἱῦ, καὶ τῦ Ἁγίε Πνεύματος, Βαπλίζεται, μὴ παραπεποιημένων περὶ τὴν τελετὴν, τῶν τῆς διατάξεως ῥημάτων. τὸ γὰρ σοιχεῖον, ἤτοι ἡ ὕλη, καὶ τὸ ῥῆμα, τὴν ἁγίαν τῦ Μυςηρίε ἀπαρτίζεσι. Τέως γε μὴν, καὶ ὡς χρήσιμον, καὶ ὅσην δύναμιν ἔχον, τὸ Βάπλισμα, πολλάκις καὶ σπεδαίως, τῖς ἡμῶν, φοιτητὰς κατηχῦμεν.

DE BAPTISMATE.

In Baptismate vos trinam immersionem usurpatis: eamque omnino sic usurpandam, & non aliter, censetis. Nos vero non immersione, sed trina aquæ superfusione utimur: idque in nomine Dei Patris, & Filii & Spiritus sancti, facimus. Et cum a Christo & Apostolis nihil in specie, quo ad illas circumstantias, sit præceptum: Judicamas, legitimum & efficacem esse Baptismum: ubi aqua adhibita, in nomine Patris, & Filii, & Spiritus Sancti, baptizatur: nec mutantur verba institutionis in hoc Sacramento. Elementum enim, & verbum, constituunt Sacramentum. Interim etiam de Baptismi virtute & utilitate nostros auditores diligenter & sæpe docemus.

ΠΕΡΙ ΧΡΙΣΜΑΤΟΣ.

Τὸ δὲ ἔξωθεν ἐκεῖνο, ἐν σώματι γενόμενον, εὐώδες μύρε Χρίσμα, ὑμεῖς μὲν ὑπὸ Χριςῦ διαταγῆναι πέπειθε, παραδόσει ἑπόμενοι τῦ Διονυσίε ἐκείνε,

DE CHRISMATE.

Chrisma illud externum fragrantis olei, a Christo institutum creditis: idque ex relatione Dionysii illius (ut existimatur) Areopagitæ: cujus scripta

τῶ (ὡς ὑπείληπται) Ἀρειοπαγίτῃ, ἔτι τὰ βιβλία, εὖ οἴδαμεν, ὅτι μεγάλως παρά τισι θαυμάζεται. Ἡμεῖς δὲ ἐχ ἕτως ὑπολαμβάνομεν. Οὔτε γὰρ ὁ Χριστὸς, ἔτε οἱ Ἀπόστολοι, μνείαν ἐκείνῃ τῶ χρίσματος ποιῆνται, ἐδὲ ἐλαχίστην. Οὐδέ γε τὰ Διονυσίε ξυγγράμματα, ἐμφέρειαν πρὸς τὸ Ἀποστολικὸν πνεῦμα κέκτηνται. Οὐδ' ἀλόγως τῶ Διονυσίε ἐκείνῃ θαυμάζομεν, αὐτὸν ἐν τῇ ἐρανίᾳ ἑαυτῶ Ἱεραρχίᾳ τοιαῦτα γράφειν ἐπιβαλέσθαι, ἃ ἐδ' αὐτὸς, ὁ ἕως τρίτε ἐρανῶ ἁρπαγεὶς, καὶ ἐν παραδείσῳ γενόμενος, Παῦλος, ἐκφέρειν, ἢ γραφῇ παραδιδόναι, ἐτόλμησε. Καὶ μὴ θαυμάζετε, εἰ ἐκ ἀξιόχρεως εἰς τὰ τοιαῦτα. ὁ δὲ ὁ Διονύσιος, τοῖς τὰ παλαιὰ ἐξιχνεύσι φαίνεται, ἔγε παράγει πε ἐκεῖνος, Κλήμεντα τὸν Ἀλεξανδρέα, καίτοι μετὰ τὸν Ἀρειοπαγίτην Διονύσιον, ἑκατὸν καὶ πλείοσιν ἔτεσιν, ὕσερον γεγονότα. Ἔτι, τετεῖ τῶ χρίσματος μὴ ἐπὶ ῥῆμα Θεῶ τεθεμελιωμένε, τετέχιν ἐπὶ ἐντολὴν, καὶ ἐπαγγελίαν, προσεθεμένην, ἃ δυνάμεθα κατιδεῖν, πῶς βεβαίως ἄν τις εἴποι, ἐκείνῳ τινὰ τῶ Ἁγίε Πνεύματος δύναμιν ἐνεῖναι. Ὥσε τὸ μὲν χρῆσθαι αὐτῷ ὡς πρᾶγμα μὴ ἀναγκαῖον, παραλείπομεν, ἀντὶ δ' αὐτῶ, εὐσεβέσι προσευχαῖς, καὶ σπεδαίᾳ τῶν παίδων πρὸς Θεοσέβειαν κατηχήσει καὶ παιδείᾳ ὡς γνησιωτέρᾳ χρίσει, προσκείμεθα. Τὸ γὰρ ἔξω χρίσμα, ἔτε προσάγματι Θεῶ, ἔτε τῷ Ἀποστολικῷ ὑποδείγματι, βεβαίωται. Ἐβάπτισε μὲν Φίλιππος αἰθίοπα εὐνοῦχον τὸν Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων γαζοφύλακα, ἐκεῖ δὲ ὅλως ἐδεμία χρίσματος μνεία. Ἐβαπτίσθησαν μὲν, μετὰ τὸ παύσασθαι τὸν Πέτρον ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοσῆς δημηγορῶντα, ὥσει τρισχίλιοι ἄνθρωποι, ἐδεμία δὲ τέως χρίσ-

pta apud aliquos sunt in magna admiratione. At nos diversum sentimus. Neque enim Christus neque Apostoli, ullam faciunt illius Chrismatis mentionem, vel minimam. Et scripta Dionysii non redolent Spiritum Apostolicum. Neque immerito miramur, quod Dionysius ille in sua cælesti Hierarchia talia scribenda sibi sumpsit: quæ ne ipse quidem Paulus (qui in tertio tamen cœlo, & in Paradiso, fuerat) eloqui, aut literis mandare, ausus fuit. Neque temere de authoritate hujus Dionysii dubitatur: cum ille citet alicubi Clementem Alexandrinum: qui tamen post Dionysium Areopagitam centum & amplius annos vixit. Cumque hoc Chrisma non habeat pro fundamento verbum Dei: hoc est, mandatum, & adjunctam promissionem: non videmus, quomodo, recte asseri possit, quod Chrismati illi insit vis aliqua Spiritus sancti. Quare Chrismatis usum, tanquam rei non necessariæ, omittimus: & ejus loco piis precibus, & diligenti institutioni puerorum ad pietatem, incumbimus. Chrisma enim externum, neque præceptum Dei, neque exemplum Apostolorum, habet. Baptizabat Philippus Aethiopem Eunuchum, Reginæ Candaces thesaurarium: Sed ibi de Chrismate omnino nulla fit mentio. Baptizata sunt post concionem Petri, in die Pentecostes habitam, circiter tria hominum millia: nulla ibi Chris-

ματος μνεία. Ἐβαπτίσθησαν μὲν ἄλλοι πολλοὶ, ὧν αἱ Ἀποστολικαὶ Πράξεις μέμνηνται, τὸ δὲ χρίσμα διηνεκῶς σεσίγηται. Ἐβάπτισε Παῦλος Κρίσπον καὶ Γάϊον, καὶ τὸν Στεφανᾶ οἶκον, ἀλλ' ἐν τῷδε περὶ χρίσματος ῥῆμα, οὐδὲ ἕν. Εἰκότως. Ὥσπερ γὰρ ὁ Χριστὸς, ἔστιν ἔξωθεν ἐπικεχρισμένε ἐλαίᾳ χρίσει, ἀλλὰ τῇ τῦ Πνεύματος τῦ Ἁγίε, (τῦ ἀγαλλιάσεως ἐλαίᾳ κεκλημένε) ἐπωνόμασε, ὡσαύτως καὶ ἡμεῖς, τῇ παρὰ τῦ Πνεύματος χρίσει (τῇ καὶ ἡμῖν μὲν, ἐκ μέτρε δὲ, δοθείσῃ) ἐπώνυμοι γενόμενοι, χριστιανοὶ χρηματίζομεν, διὰ τὸ ἡμᾶς, Χριστῦ, ἐκείνε τῦ κεχρισμένε Βασιλέως, πνευματικὰ μέλη εἶναι. Διὰ δὴ ταῦτα, οὐδεὶς ταῖς ψυχαῖς ἡμῶν κίνδυνος, κἂν μὴ τῷ ὑλικῷ ἐλαίῳ ἐπιχριωθῶμεν.

Chrismatis fit mentio. Baptizati sunt alii multi, quorum acta Apostolica mentionem faciunt: sed de Chrismate perpetuum est silentium. Baptizavit Paulus Crispum, & Gajum, & Stephanæ domum, sed ne ibi quidem de Chrismate verbum unum. Neque mirum. Vt enim Christus non ab externa aliqua Olei unctione, sed ab unctione Spiritus sancti, (qui lætitiæ oleum vocatur) nomen habet, ita & nos a Spiritus unctione, qui & nobis (sed secundum mensuram) datus est, denominamur Christiani, eo quod Christi (illius uncti Regis) spiritualia membra simus. Quare externa illa olei seu Chrismatis unctione citra salutis nostræ jacturam carere possumus.

ΠΕΡΙ ΧΕΙΡΟΤΟΝΙΑΣ ἢ Ἱερωσύνης.

Τοὺς Ἱερεῖς (οὓς ἡμῖν, Ἐκκλησίας διακόνες ὀνομάζειν ἔθος) ἃ καθίσαμεν ἡμεῖς, ὅπως ἂν ἐν λειτεργίᾳ τὸ σῶμα, καὶ τὸ αἷμα, τῷ Χριστῷ προσενέγκωσι, (περὶ ἃ εἰσαῦθις ἐν οἰκείῳ τόπῳ ἐρήσεται) ἀλλ' ἵνα τὸν Χριστὸν εὐαγγελίσωνται, καὶ ἵνα βαπτίσωσι, καὶ τὴν Ἁγίαν Κοινωνίαν, καὶ γε δημοσίᾳ, ἐν Ἱερῷ, καίγε ἰδίᾳ ἐν οἴκῳ, τοῖς βελομένοις, καὶ θανάτῳ προσεγγίζεσιν, οἰκονομήσωσιν. Αὐτοῖς δὲ τὸ, διάκονοι Ἐκκλησίας, ὄνομα τιθέμεθα, ἵνα εἰδῶσιν ἃ κύριοι ὄντες, ἀλλὰ δοῦλοι τῆς Ἐκκλησίας Θεῦ, κατὰ τὸ παρὰ Πέτρῳ τοῖς πρεσβυτέροις λέγομεν (ἀ Πετ. ε.) μὴ κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τῷ Ποιμνίῳ. Οἱ δὲ παρ' ἡμῖν τῇ Ἐκκλησίᾳ διακονήσειν μέλλοντες, πρῶ-

DE SACERDOTIO.

Sacerdotes (quos nos Ecclesiæ ministros vocamus) apud nos non eliguntur, ut in Missa corpus & sanguinem Christi offerant, (de qua re postea suo loco dicetur) sed ut Evangelium Christi doceant, baptizent, & Cœnam Domini, tum publice in templo, tum privatim in ædibus, morituris dispensent. Ministros autem Ecclesiæ eo vocamus, ut meminerint, se non esse Dominos, sed servos Ecclesiæ Dei, juxta illud Petri, qui de Presbyteris dicit (1 Pet. 5). Non dominantes in Cleris, sed forma facti gregis, ex animo. Qui autem futuri sunt apud nos Ecclesiæ ministri

πρῶ-

πρῶτον μὲν ἐκ παίδων, ὃ μόνον πρὸς τὸ εὐσεβεῖν ἀνατρέφονται, ἀλλὰ καὶ, ἐν ταῖς ἐξηρημέναις τῶν γλωσσῶν (λατινίδι φαμὲν, ἑλλάδι, καὶ ἑβραίδι) παιδεύονται, καὶ μανθάνουσι μὲν τὰς ἐλευθερίους τῶν τεχνῶν καὶ ἐπιστημῶν. ἐν πρώτοις δὲ, τὰ τῆς Ἁγίας Θεολογίας διδάσκονται, καὶ ἀκριβῶς, ὅσα τῆς Ἱερᾶς Γραφῆς, ὑπὸ τῶν Ἱεροδιδασκάλων αὐτοῖς διατρανῶται. Ἐλθόντος δὲ τοῦ καιροῦ, τοῦ ἐκ τῶν διδασκαλείων αὐτοὺς τῇ διακονίᾳ τῆς Ἐκκλησίας προσελθεῖν, καλοῦνται μὲν ὑπὸ Θεολόγων καὶ βουλευτῶν, τῶν ὑπὸ τοῦ λαμπροτάτου καὶ εὐσεβεστάτου ἡμῶν ἄρχοντος, τῷδε τῷ πράγματι ἐπιτεταγμένων, ἐπιφέρονται δὲ παρὰ τῶν ἑαυτῶν διδασκάλων μαρτυρίας βίου σεμνότητος ἐγγράφους, εἶτα δὲ ἐξετάζονται, εἰ ἄρα τὰ μὲν τῆς χριστιανικῆς πίστεως εἰλικρινῶς ἐπίστανται, τοῖς δὲ πρὸς τὸ τὰ πλήθη διδάσκειν ἀναγκαίοις χαρίσμασι κεχορήγηνται. Κριθέντες τοίνυν εὔθετοι, ἔνορκοι, ληφθέντες ὑπισχνοῦνται, ἢ μὴν διδάξειν εὐσεβῶς καὶ ὀρθοδόξως τὴν Ἐκκλησίαν, καὶ τρόπους βίου παρέξεσθαι ἀμέμπτους, τοῦ μηδενὶ σκανδάλου ἀφορμὴν ἐνδιδόναι. Μετὰ ταῦτα πρὸς τὴν Ἐκκλησίαν πέμπονται, ἧς ἐπίστατήσουσιν, ὅπου διὰ μιᾶς, ἢ δύο δημηγοριῶν, πρωτόλειον ὥσπερ τι, καὶ ἀπαρχὴν, ὧν Θεόθεν εἰλήφασι χαρισμάτων, διδόασιν. Ὅταν δὲν δεδοκιμασμένοι τῇ Ἐκκλησίᾳ ὦσι, τότε ἐν πληθούσῃ λαοῦ Συνόδῳ (φθασάντων μέντοι γενέσθαι Ἱερῶν λόγων καὶ ῥητῶν, πρὸς τὸ πρᾶγμα φερουσῶν, προσευχῶν) χειροτονοῦνται ὑπὸ τοῦ Ἐπισκόπου τοῦ τόπου, ἑνὸς, ἢ πλειόνων ἱεροδιακόνων, συμπαρόντων. καὶ ἀπεντεῦθεν, ἧς ἐμπεπίστευνται, ἐπιμελοῦνται Ἐκκλησίας. Δὶς δὲ ἑκάστου ἔτους, ἕκαστος τῶν ἐπισκοπούντων, ὡς ἐπιτέτραπται περιπορεύεται ἐπισκοπου-

nistri, primo ab incunabulis non modo ad pietatem educantur, sed etiam instituuntur in linguis, (Latina, Græca, & Hebræa) & discunt liberales artes. Inprimis vero diligenter informantur in Theologia, & sacra Scriptura ipsis a Doctoribus Theologiæ accurate explicatur. Ubi tempus fuerit, ut e scholis ad Ministerium Ecclesiæ accedant, vocantur ab iis Theologis & Consiliariis, qui ab illustrissimo & pientissimo nostro Principe huic officio sunt deputati, & adferunt a suis Præceptoribus testimonia innocentiæ morum. Postea examinantur, an doctrinam Religionis Christianæ sincere teneant, & an donis ad docendum populum necessariis sint instructi. Vbi igitur idonei judicati sunt, interposito juramento promittunt, quod velint Ecclesiam pie & sincere docere, & morum sanctitati studere, ne cui sint offendiculo. Postea mittuntur ad Ecclesiam, cui sunt præficiendi, ibique una, aut altera concione, edunt specimen suorum donorum, quibus a Domino Deo ornati sunt. Ubi Ecclesiæ ipsorum opera est grata, tum in frequenti Ecclesiæ cœtu (præmissa tamen sacra concione, & recitatis aliquot precibus, ad eam rem pertinentibus) imponit illis Superintendens manus, idque in præsentia unius, aut alterius Ecclesiæ ministri. Postea illi funguntur suo officio in Ecclesia sibi commissa. Bis autem in anno quilibet Superintendens visitat Ecclesias sibi

πούμενος Ἐκκλησίας, καὶ ἀνακρίνει τές τε τρόπες, καὶ τὴν διδασκαλίαν τῦ Ποιμένος, ἅμα δὲ καὶ περὶ τῦ λαῦ, ποίῳ ζήλῳ τῶν Ἱερῶν ὁμιλιῶν ἀκροᾶται, καὶ πῶς αὐταῖς εἴτε ἐπιτάσσοντες, καὶ οἱ ὑποτασσόμενοι, πειθαρχῶσι. Καὶ τὰ μὲν ἐπανορθώσεως δεόμενα, ἐπανορθῶται ὁ ἐπίσκοπος, τὰ δὲ μείζω τῶν πραγμάτων, πρὸς Ἐκκλησιαστικὴν Σύνοδον ἀναφέρει, ἐν ᾗ βελῆς γενομένης, ὁ ὑπηρέτης μέτρια μὲν ἁμαρτῶν σπεδαίως παραινεῖται τῆς ἑαυτῦ τάξεως περίεσθαι δεόντως, ἀτοπώτερον δέ τι ποιήσας, καθαιρεῖται, καὶ ἄλλος ἀντικαθίσταται. Αἱ δ' αὖ ἄλλαι πλημμέλειαι τῶν ἀκροατῶν θεραπεύονται, κατὰ διάταξιν τῦ φιλοχρίςε ἡμῶν ἄρχοντος, ὃς καὶ αὐτὸς ἐπιμελῶς τὴν κατάςασιν τῶν Ἐκκλησιῶν ἐποπτεύει, καὶ μετὰ τῶν ἰδίων Θεολόγων τε καὶ βελῆφόρων, τὴν ἐνδεχομένην θεραπείαν ποιεῖται.

Ἐπιτρέπομεν δὲ τοῖς τῇ Ἐκκλησίᾳ ὑπηρετῦσι, γαμεῖν βελομένοις καὶ μετὰ τὸ Ἱερωθῆναι, ἢ καὶ, τῆς προτέρας συζύγε θανέσης, ἄλλην ἄγεσθαι. Οἴδαμεν γὰρ, τὸν Ἀπόςολον, (α. Τιμ. γ'.) ὅπε μιᾶς γυναικὸς ἄνδρα τὸν Ἐπίσκοπον εἶναι θέλει, ἃ κωλύειν δευτερογαμίαν, ἀλλὰ τὴν πολυγαμίαν, ἔτι καὶ τότε τισὶ (κατὰ τὸ τῶν ἑβραίων ἔθος) ἐπιτηδευομένην. Τὸ γὰρ δύο γυναῖκας ἅμα ἔχειν, τῦτο καὶ τῇ ἐξ ἀρχῆς διατάξει τῦ γάμε ἠναντιῦτο, καὶ σημεῖον ἀκρατείας ἦν. Βελομένε δὲ τῦ Παύλε (α. Τιμ. ε.) τὰς νεωτέρας πάλιν ἐπὶ γάμον ἔρχεσθαι, ταυτὸν ποιεῖν καὶ τοῖς τῆς Ἐκκλησίας διακόνοις ἐξεῖναι, πιςεύομεν. Φησὶ γὰρ περὶ ἐγκρατείας χαρίσματος (Ματθ. ιθ'.) ὁ Κύριος, Ὅτι ἃ πάντες

sibi designatas. Et inquirit in mores & doctrinam Pastoris, & simul etiam, quo zelo populus audiat sacras conciones, & quomodo iis pareant superiores & inferiores. Si quæ corrigenda sunt, corrigit Superintendens. Si vero aliqua majoris momenti occurrunt, de iis refert ad Synodum, ubi re deliberata, Ecclesiæ minister, vel admonetur graviter, ut officium decenter faciat: Vel, si quid magni commissum est, ab officio deponitur, aliusque substituitur. Reliqua etiam errata Auditorum corriguntur, jubente piissimo nostro Principe, qui ipse etiam statum Ecclesiarum diligenter considerat, & cum suis Theologis & Consiliariis medicinam necessariam adhibet.

Concedimus autem Matrimonium ministris Ecclesiæ, etiamsi post susceptum officium velint mariti fieri, aut priore uxore mortua, aliam ducere. Scimus enim Apostolum, (1. Tim. 3.) cum vult Episcopum esse unius uxoris maritum, non damnare secundas nuptias, sed polygamiam, quæ tum adhuc apud aliquos (ex Hebræorum consuetudine) erat in usu. Duas enim simul uxores habere, & primæ institutioni matrimonii repugnabat, & incontinentiæ argumentum erat. Cum autem Paulus velit, (1. Tim. 5.) ut juniores viduæ denuo nubant, idem licere etiam Ecclesiæ Ministris, credimus. Dicit enim Christus (Matth. 19.) de continentiæ dono: Non omnes capiunt verbum istud, sed, qui-

τες χωρεῖσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. Φαμὲν ἓν μετὰ Παύλε, (α'. Κορ. ζ.) Εἰ δὲ μὴ ἐγκρατεύονται, γαμησάτωσαν. Κρεῖσσον γάρ ἐσι γαμῆσαι, ἢ πυρεῖθαι. Οὐδένα δ' ὅμως γαμεῖν ἀναγκάζομεν.

quibus datum est. Itaque cum Paulo dicimus: (1. Cor. 7). Quod si non se continent, nubant. Melius est enim nubere, quam uri. Neminem tamen ad matrimonium contrahendum cogimus.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ ΚΑΙ ἐξομολογήσεως.

Δεῖν μὲν μετανοεῖν, ἐνδοιασμὸν ἐκ ἔχει. Ἔτι δὲ, πρὸς ἀληθῆ μετάνοιαν ἐπιζητεῖθαι τὸ, ἐπιγινώσκειν ἑαυτὲς ἁμαρτωλὲς εἶναι, ἐκ ψυχῆς τε λυπεῖθαι τοῖς ἡμαρτημένοις, καὶ τὸ, πᾶσαν ἡμῶν τὴν πεποίθησιν, ἐπὶ τῷ Θεῷ Υἱῷ, τῷ ἡμᾶς λυτρωσαμένῳ τίθεθαι, καὶ τὸ, ἀληθῆ καὶ σερῤῥᾶν ἐπανορθώσεως βίε πρόθεσιν ἔχειν, τοῦτο πᾶν ἔξω ἀμφισβητήσεως τιθέμεθα.

Ἀναγκαίαν μέντοι πρὸς ἀληθινὴν καὶ σωτήριον μετάνοιαν πάντων, ὧν ἡμαρτηκόσιν ἑαυτοῖς σύνισμεν, ἀπαριθμησιν εἶναι, τοῦτο ὐ πιςεύομεν. Διδάσκεσι μὲν γὰρ αἱ γραφαὶ, ἐὰν Κυρίῳ τῷ Θεῷ ἡμῶν, τὰς ἡμετέρας ἁμαρτίας ἐξωμολογημένοι ὦμεν, αὐτῶν ἄφεσιν ἡμῖν γίνεθαι. Οὕτω γοῦν Δαβὶδ λέγει, (Ψαλ. λά.) Εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν με τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας με. Καὶ Ἰωάννης, (α. Κεφ. α.) Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πισός ἐσι, καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. τὸ δὲ ἀνθρώποις, ἤγεν τοῖς τῆς Ἐκκλησίας διακόνοις, ἡμᾶς πάσας τὰς ἁμαρτίας ἡμῶν ἀπαριθμεῖν, τοῦτο ἐδαμοῦ τῆς Ἁγίας Γραφῆς προσέτακται. Οὔκεν τοῖς

DE POENITENTIA.

Pœnitentiam agendam, nulli est dubium. Et requiri ad pœnitentiam veram, ut peccatores nos agnoscamus, & de peccatis admissis ex animo doleamus, ut fiduciam nostram in Filium Dei redemptorem collocemus, & ut verum atque serium propositum habeamns, quod vitam emendare velimus, extra controversiam ponimus.

Sed tamen ad veram & salutarem pœnitentiam, necessariam esse omnium peccatorum (quorum nobis conscii simus) enumerationem, non credimus. Hoc quidem sacræ literæ docent, si Domino Deo nostra peccata confessi fuerimus, condonationem nos obtinere. Quemadmodum loquitur David (Psal. 31): Dixi, confitebor adversum me injustitiam meam Domino, & tu remisisti impietatem peccati mei. Et Joannes (1 Joan. 1.) ait, si confiteamur peccata nostra, fidelis est & justus, ut remittat nobis peccata nostra, & emundet nos ab omni iniquitate. Quod autem hominibus, ministris Ecclesiæ, omnia peccata nostra recensere teneamur, id scriptura nusquam præcipit. Quare oviculis nobis commissis non imponimus talia onera,

τοῖς προβάτοις, τοῖς ἡμῶν τῇ ἐπιμελείᾳ παραδοθεῖσι, τοιαῦτα ἐπιτίθεμεν φορτία, ἃ δῆτα, ἅπερ ὁ Κύριος ἐκ ἐπέθηκεν αὐτοῖς. Ὁ τελώνης ἐκεῖνος, (Λεκ. ιή.) ἐν τῷ Ἱερῷ τὰς ἁμαρτίας ἐξομολογούμενος, ἃ κατὰ μέρος, ἀλλὰ συλλήβδην ἐποίησε τοῦτο, εἰπών, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. καὶ ἐδέν ἧττον κατέβη δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ. Ὁ συνεσταυρωμένος λῃστὴς ἐκ ἐξηρίθμει, ὅσους ἔδρασε φόνους, ὁσάκις ἄλλους ἐλωποδύτησεν, ἀλλ' εἶπεν, ἡμεῖς μὲν δικαίως. ἄξια γὰρ, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν. (Λεκ. κγ'.) Καὶ, μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. Καὶ ἀκούει παρὰ Χριστοῦ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. Ἀρκετὴ ἦν ἡ γενικῶς γενομένη τῶν ἁμαρτιῶν ἐξομολόγησις. καὶ ἄλλως, ὅτι ἡ κατὰ μέρος ἐξαγόρευσις, ἐκ ἀκίνδυνος, καὶ τοῦτο πολλαχῶς, ταῖς ἐκπεπληγμέναις τῶν συνειδήσεων. Οἱ γάρ τινα μὲν δὴ αἰδοῦ παρασιωπῶντες, πεπεισμένοι δὲ, τὸ ἀπαριθμεῖσθαι ἀναγκαῖον εἶναι, δισταγμῷ περιπίπτουσιν, ἢ καὶ ἀπογνώσει, ἃ πιστεύοντες ἑαυτοῖς τὰς ἁμαρτίας ἀφεθῆναι, διὰ τὸ μὴ ἐξομολογημένων αὐτῶν πασῶν. Πρὸς δὲ, καὶ ἡ πάντων τῶν παραπτωμάτων ἀπαρίθμησις, ἀδύνατος, φάντος καὶ τοῦ Δαβὶδ (Ψαλ. λζ',) ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Καὶ ἄλλοθι. (Ψαλ. ιή.) Παραπτώματα τίς συνήσει, Ἐκ τῶν κρυφίων μου καθάρισόν με. Ὁμολογεῖ τοίνυν ὁ Προφήτης, πλείω εἶναι τὰ ἑαυτοῦ ἁμαρτήματα, ἢ ὥστε αὐτὰ ἐπιγνῶναι ἂν πάντα, ἢ μνήμῃ περιλαβεῖν. Ἔτι δὲ, ἐκ ἀγνοεῖτε τὴν αἰτίαν, δι' ἣν Νεκτάριος ἐκεῖνος, ὁ τῆς Κωνσταντινοπόλεως, παιδείᾳ καὶ ἁγιοσύνῃ περιφανὴς, Ἐπίσκοπος, πάλαι ποτὲ ἐν τῇ Κωνσταντίνου τὴν τοιαύτην τῶν ἁμαρτι-

quæ illis Dominus non imposuit. Publicanus ille (Luc. 18.) in templo confitebatur, non specifice, sed in genere, peccata sua, dicens: Deus, propitius esto mihi peccatori. Et nihilominus descendit justificatus in domum suam. Latro in cruce, non enumerabat, quot cædes perpetrasset, quoties alios suis facultatibus exuisset, sed dicebat: Nos quidem juste, factis digna recipimus (Lucæ 23). Et Domine, Memento mei, cum veneris in Regnum tuum, & audit a Christo: Amen dico tibi, hodie eris mecum in Paradiso. Quare generalis peccatorum confessio sufficit, præsertim cum specifica confessio non careat multiplici trepidarum conscientiarum periculo. Qui enim verecundia impediti, quædam reticent, nihilominus persuasi, quod enumeratio necessaria sit, dubitant vel desperant etiam, dum peccata, sibi remissa non credunt, quippe quæ non sint confessi. Sed & omnium peccatorum enumeratio est impossibilis. Dicit enim David (Psal. 37), quoniam iniquitates meæ supergressæ sunt caput meum, & sicut onus grave, gravatæ sunt super me. Et alibi dicit (Psal. 18), delicta quis intelligit? ab occultis meis munda me. Fatetur igitur Propheta, plura esse sua peccata, quam ut ea omnia agnoscere, aut memoria amplecti possit. Neque ignoratis, qua de causa Nectarius ille Constantinopolitanus Episcopus (eru-

τιῶν ἐξομολόγησιν, περὶ ἧς νῦν λέγομεν, ἠκύρωσεν, ὡς ὑπὸ Σωκράτες ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ γέγραπται. Καὶ μέντοι καὶ αὐτὸς ὁ Θεῖος Χρυσόστομος, τοιαύτην, περὶ οἵας συλλαλῶμεν, οὐκ ἐπείγει, ἀλλὰ τῇ τῶ Θεῷ γενομένῃ ἐξαγορεύσει ἐφησυχάζει. Οὕτω γὰρ πῶς (κατὰ τὴν λατινίδα ἔκδοσιν) γράφει, τὰς ἁμαρτίας σε ἔξειπον, ἵνα ἀπαλείψῃς αὐτάς. (ὁμιλ. Β. Ψαλ. γ'.) Εἰ αἰσχύνῃ τῶ λέγειν, ἃ ἥμαρτες, λέγε καθημέραν αὐτὰ ἐν τῇ ψυχῇ σε. Οὐ κελεύω σε ἐξομολογεῖθαι συνδέλῳ σε, ὃς ἂν ὀνειδίσῃ, λέγε τῷ Θεῷ, ὃς θεραπεύει αὐτά. Καὶ ἀλλαχῆ, (λογ. περὶ μετανοίας). Διανοίᾳ σε, φησὶ, γενέθω τῶν πλημμελημάτων ἀνάκρισις, ἀμάρτυρος ἔστω ἡ κρίσις, μόνος ὁ Θεός σε ἐξομολογέμενον βλεπέτω. Καὶ αὖθις ἀλλαχόθι, Ἄγε εἰς τὸ τῶν συνδέλων τῶν σῶν θέατρον ἄγω, ἀδὲ τοῖς ἀνθρώποις τὰ ἁμαρτήματά σε ἐκκαλύπειν ἀναγκάζω, ἀνάπτυξον ἔμπροσθεν τῦ Θεῦ τὸ συνειδός σε, καὶ ἀνάπλωσον. Δεῖξον τῷ κυρίῳ τῷ βελτίστῳ Ἰατρῷ τὰ σὰ τραύματα, καὶ παρ' αὐτῷ τὰ φάρμακα. δεῖξον τῷ ἀδὲν ὀνειδίζοντι, ἀλλὰ φιλανθρωπότατα θεραπεύοντι. Καὶ πάλιν ἀλλαχόθι, Πρόσεχε, μὴ ἀνθρώπῳ ἔπῃς, ἵνα μή σοι ὀνειδίσῃ. Οὐδὲ γὰρ συνδέλῳ ἐξομολογητέον, ὃς ἂν δημοσιεύσῃ, ἀλλὰ τῷ Κυρίῳ, ὃς φροντίδα σε ποιεῖται, καὶ τὰ ἐξῆς.

Τοιγαρῦν καὶ ἡμεῖς γενικῇ τῶν ἁμαρτημάτων ἐξομολογήσει στέργομεν, ἵνα μὴ τὰς συνειδήσεις εἰς δισταγμὸν περὶ τῦ, εἰ ἀφέϊνται τῶν ἁμαρτιῶν, ἢ μή, ἐμβάλωμεν. Κἂν γὰρ τὸ παρηγόρημα ἐκεῖνο προστεθῇ, τὸν Θεὸν, ἐλεήμονα ὄντα, χαρίεσθαι τὰς ἁμαρτίας, τὰς ἢ τῆς

Utra vero sententia sacræ scripturæ sit magis consentanea, perspicuum erit, si gradus illos diligenter observaverimus, per quos Dominus conversionem nostram aggreditur, & absolvit. Proponamus autem nobis hominem impium, qui dissolutissimam vitam ducat, rursum ad Christum convertendum. Huic ostendendum erit, ipsius mentem esse depravatam, ut mala velit, bona nolit, & inculcanda erit ei Lex divina, qua non modo ipsius hominis pravitas innata, verum etiam improbi ipsius mores, arguantur, & corporalia atque æterna supplicia ipsi denuncientur. Hic, nisi Dominus Spiritu S. simul cor ipsius tetigerit, contemnet atque ridebit istas admo-

nitio-

ὁ Κύριος τῷ Ἁγίῳ Πνεύματι καθίκηται, καταφρονήσει, πλατέα γελῶν, τῶν παραινέσεων καὶ ἀπειλῶν ἐκείνων, ἢ, τῷ σατανᾷ τὸ ἡμαρτημένον (τέως γε καθεύδειν δόξαν, κατὰ τὸ Γενέσ. δ'.) διεγείραντος, καὶ ἐπὶ μεῖζον αὐξήσαντος, καὶ τὴν παρὰ Θεῷ κατ' αὐτῷ ὀργὴν συνελαχύναντος, εἰς ἀπόγνωσιν ἐκπεσείται ὁ δείλαιος μετὰ τῦ Κάϊν λέγων, ὅτι μείζων ἡ παρανομία μου, τῦ ἀφεθῆναι αὐτήν. Ἰδε ἡ δύναμις ἀνθρώπε, ἴδε οἱ τόνοι, τῷ θεόθεν μὲν ἐγκαλαλειφθέντος, καθ' ἑαυτὸν δὲ γενομένε. Θάτερον τοίνυν τέτοιν, ἄνθρωπος ἐξ ἰδίας δυνάμεως, τῷ Πνεύματος τῦ Ἁγίε χωρισθείς, δύναται. Ἐμπαλιν δὲ, ἐπειδὰν ὑπὸ τῆς τῦ Ἁγίε Πνεύματος ῥοπῆς (μέσε γενομένε τῦ θείε ῥήματος) ἀληθῶς αὐτῷ ἡ καρδία κεκινημένη, καὶ πρὸς τὸ πείθεσθαι αὐτῷ ἀναπεπλασμένη κεκαινεργημένη τε, τύχη, τότε ἐκ τῦ θείε νόμε ἐπιγνώσεται τὰς ἁμαρτίας ἑαυτῦ, ἑαυτῷ σφοδρῶς ἐγκαλέσει, σφόδρα ἑαυτῷ δυσαρεστήσει, καὶ τρόπον, ᾧ τὸ μὲν αἰωνίως κατακρίνεσθαι ἐκφεύξαιτ' ἄν, τῷ δὲ Θεῷ πάλιν ἀποκαταλλαγείη ἄν, περισκοπήσεται. Οὗτοι οἱ λογισμοὶ, ἐκ ἀνθρωπίνης ἰσχύος ἀποτέλεσμά εἰσιν, ἀλλ' ἀπὸ τῆς τῦ Θείε Πνεύματος ἐνεργείας ἐγγίνονται, ὃ διακονίᾳ τῦ νόμε χρώμενον, τὰς ἁμαρτίας ἐλέγχει, ὥσπερ Χριστὸς μαρτυρῶν, (Ἰωάν. ιϛ'.) ἐλέγξει ὁ Παράκλητος, φησὶ, τὸν κόσμον περὶ ἁμαρτίας. Εἰς τῦτο γὰρ ὁ νόμος, κατὰ Παῦλον, ἐδόθη, (Ρωμ. γ'.) ἵνα δι' αὐτῦ ἐπίγνωσις ἁμαρτίας γένηται. Οὗτος μὲν, ὁ πρῶτος ἐπὶ σωτηρίαν βαθμός.

nitiones & minas, aut, ubi Sathan ipsi peccatum in conscientia excitabit, (ubi dormire videbatur, ut est in Genesi cap. 4.) & illud amplificabit, quantum sit, & quantam iram Dei in se concitarit, homo ille in desperationem ruet, atque cum Caino dicet: Major est iniquitas mea, quam ut veniam mereat. Hæ sunt vires hominis, sibi relicti, horum alterutrum extremum homo ex viribus suis, sine Spiritu sancto potest. At si Spiritu S. (per ministerium verbi Dei) cor illius vere motum, atque ad ipsius obsequium reformatum & renovatum fuerit, tum ex Lege Dei agnoscet sua peccata, seipsum accusabit, sibi ipsi vehementer displicebit, & de ratione, qua æternam damnationem effugere, atque cum Deo in gratiam redire possit, circumspiciet. Hæ cogitationes non sunt ex humanis viribus, sed ex operatione Spiritus sancti, qui per ministerium Legis peccata arguit, ut Christus testatur: Arguet (inquit Ioan. 16.) mundum de peccato. Lex enim in eum finem (teste Paulo Rom. 3.) data est, ut ex ea peccata agnoscantur. Hic est primus ad salutem gradus.

Οὐ μὴν ἀρκεῖ τὸ, τὰς ἁμαρτίας ἐπιγνῶναι, τῷ τάλανι ἁμαρτωλῷ, ἐὰν μὴ καὶ τὸν Χριστὸν σωτῆρα ἐπιγνῷ. Μὴ γὰρ ἐπιγνωσθέντος, τελευτῶσα ἡ τοιάδε τῶν ἁμαρτιῶν ἐπίγνωσις, εἰς ἀπόγνοιαν μεταβά-

At non satis est, peccata agnoscere, nisi etiam Christum Redemptorem cognoscat miser ille peccator. Tandem enim talis peccatorum agnitio (absque Christi cognitione) in desperationem dege-

ταβάλοι ἄν. Ὅθεν ὁ Ἀπόστολος, τὸν βαρέως προσπλάσαντα Κορίνθιον, ἀξιοῖ θαι χάριτος καὶ συγχωρήσεως κελεύει, (β΄ Κορ. β΄.) μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ. Τῷ δὴ τὰς ἁμαρτίας ἐπιγνόντι ἁμαρτωλῷ, καὶ τὸς λόγους τοῦ Θεοῦ τρέμοντι, (Ἡσα. ξς.) τὸ περὶ Χριστοῦ εὐαγγέλιον παραθετέον, ἵνα ἡ συντετριμμένη αὐτοῦ καρδία ἰαθῇ. (Ἡσα. ξά.) Διδακτέος ὄγε τὸν Πατέρα ἐπιθεῖναι τοῖς ὁμοίοις τοῦ Υἱοῦ, πάντων ἡμῶν τὰς ἀνομίας, (Ἡσα. νγ΄.) αὐτὸν τραυματισθῆναι διὰ τὰς ἁμαρτίας ἡμῶν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν.

Δεικτέος αὐτῷ, ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου. (Ἰωάν. ά.) Ἐμφανιστέος ὁ ὑψωθεὶς ὄφις, τύπος Χριστοῦ σταυρωθέντος γενόμενος, (Ἰωάν. γ΄.) καὶ παραινετέον τῷ μετανοοῦντι, τοῖς ὀφθαλμοῖς τῆς πίστεως εἰς τὸν λυτρωτὴν Χριστὸν ἐνατενίζειν, ὅπως μὴ αἰωνίῳ θανάτῳ ἀποθάνῃ. Παραβλητέον αὐτῷ τὴν τοῦ Ἀποστόλου Ἰωάννου παραμυθίαν, τὴν. (ά Ἰωάν. ά.) Τὸ αἷμα Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ Θεοῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Παρακλέον τὴν Πέτρου περὶ Χριστοῦ μαρτυρίαν, εἰπόντος, (Πραξ. ί.) τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ, πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Εἰ δὲ καὶ τάδε πάντα, ἀνθρώπῳ παραπεσόντι, καὶ αἰσθήσει τῆς ἀπὸ Θεοῦ ὀργῆς ἐκτεταραγμένῳ, συνεχῶς εἰς τὰ ὦτα λαλητέον, ὅμως, μὴ τοῦ Ἁγίου Πνεύματος τὴν αὐτοῦ καρδίαν πλήττοντος, καὶ φωτίζοντος, ἐφ' ὅτῳ μὴ μόνον ἀληθῆ ταῦτα εἶναι πιστεύσει, ἀλλὰ καὶ εἰς τὴν ἑαυτοῦ χρῆσιν μεταίξει, ἑαυτῷ προσάψει, καὶ ἐξ αὐτῶν ἀληθῶς παραμυθηθήσεται, πάντως αὐτῷ μάτην ἐκεῖνα, καὶ εἰκῇ, λαληθήσεται. Πιστεύσει

degeneraret. Ideo Paulus jubet illum Corinthium, qui graviter lapsus fuerat, in gratiam recipi (2 Cor. 2.): ne fortasse abundantiori tristitia absorberetur. Proponendum est igitur peccatori (qui peccata sua agnoscit, & ad sermones Dei tremit Isa. 66.) Evangelion de Christo, ut cor ipsius contritum sanetur (Isa. 61.). Docendum est, quod Pater Filio suo imposuerit omnium nostrûm peccata, (Isa. 53.) percussum esse ipsum propter delicta nostra, ut nos livore ejus sanemur.

Monstrandus est illi agnus Dei, qui tollit peccata mundi (Ioan. 1.). Ostendendus serpens exaltatus, typus Christi crucifixi (Ioan. 3.); ac monendus, in Redemptorem Christum oculos fidei intendat, ne æterna morte moriatur. Proponenda illi consolatio Apostoli Ioannis, dicentis (1 Ioan. 1.): Sanguis Jesu Christi, Filii Dei, emundat nos ab omni peccato. Adducendum testimonium Petri de Christo, ubi inquit (Actor. 10.): Huic omnes Prophetæ testimonium perhibent, remissionem peccatorum accipere per nomen ejus omnes, qui credunt in eum. Etsi autem hæc omnia homini lapso & sensu iræ Dei perturbato, sedulo sunt inculcanda, tamen nisi Spiritus S. cor ipsius moveat, illuminet, atque excitet, ut hæc non modo vera esse credat, verum etiam ad usum suum transferat, sibi applicet, atque ex iis veram consolationem capiat, frustra profecto

ζεύσει γὰρ ὁ τοιοῦτος, αὐτὰ μὲν ἀληθεύειν πάντα, μὴ μέντοι ἑαυτῷ μετεῖναι αὐτῶν, ὡς μείζονα τῷ Θεῷ προσκεκρεκότι, ἢ ὥστε συγγνώμην ἐλπίζειν τολμᾶν. Ἐὰν δέ γε τὸ Πνεῦμα τὸ Ἅγιον, αὐτῷ τὴν καρδίαν, εἰς ἀνάληψιν πεποιθήσεως ἐπὶ τὸν λυτρωτὴν Χριστὸν ἐξορμήσῃ, ἐν τε τῇ καρδίᾳ αὐτοῦ, τὸ περὶ ἀφέσεως ἁμαρτιῶν εὐαγγέλιον ἠχεῖν ποιήσῃ, τότε δὴ τότε ἕτος, ὡσανεὶ ἐκ θανάτου ἀναβιώσεται, Χριστῷ τῷ θρόνῳ τῆς χάριτος προσελεύσεται, ἀφέσεώς τε, ὧν ἡμαρτήκει, πάντων τεύξεται. Τί ἐν τούτοις πᾶσιν, ἀπὸ τοῦ ἀνθρώπου ὑπάρχει, καὶ ὃ μᾶλλον ὑπὸ τοῦ Παναγίου Πνεύματος κατώρθωται; ἄνθρωπος γὰρ ἑαυτῷ καὶ τῇ οἰκείᾳ ἰσχύι παραχωρηθείς, ἀνεξόρμητος ὑπὸ τοῦ Πνεύματος ὤν, Θεὸν μὲν φεύγειν δύναται, Χριστῷ δὲ προσέρχεσθαι οὐ δύναται. Φησὶ γὰρ διαῤῥήδην ὁ Κύριος, (Ἰωάν. ς΄.) ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν. Ἐνθένδε Δαβὶδ προσεύχεται. (Ψαλ. ν΄.) Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Ὁ Ἀπόστολος Παῦλος δηλοῖ, (Ἐφεσ. β΄.) τὸν ἄνθρωπον, τῇ ἰδίᾳ φύσει νεκρὸν εἶναι τοῖς παραπτώμασι. Τοιγαροῦν, ὥσπερ τεθνεὼς ἄνθρωπος, οὐδὲν δύναται πρὸς τὸ ἑαυτὸν ἀνιστάνειν συνεισφέρειν, οὕτως οὐδὲ ὁ ἁμαρτωλὸς, ἀφ' ἑαυτοῦ ἐπὶ Θεὸν ἐπιστρέφειν δυνατὸς, ἀλλὰ Θείᾳ δυνάμει ἀπὸ θανάτου ἁμαρτίας ἀναστάθῆναι χρείαν ἔχει, πρὶν ἂν αὐθόρμητος ἀγαθόν τι ἐνθυμεῖσθαι, ἢ βέλεσθαι, δύναται. Χωρὶς ἐμοῦ (φησὶ Χριστὸς Ἰωάν. ιέ.) οὐ δύνασθε ποιεῖν οὐδέν. Μὴ γὰρ αὐτῷ διὰ πίστεως ἐμπεφυτευμένοι, ἐχ' οἷοι τέ ἐσμεν καρποφορεῖν ἀφ' ἑαυτῶν, ἀλλὰ κλήματα τυγχάνομεν ὄντες ξηρὰ καὶ ἄκαρπα. Τὸ γὰρ ἐκ

fecto hæc illi inculcabuntur. Et credet ille quidem, vera esse omnia: sed ad se nihil pertinere, ut qui Deum gravius offenderit, quam ut veniam sperare audeat. At si Spiritus S. cor ejus (ad capiendam fiduciam in Redemptorem Christum) excitaverit, atque etiam in corde illi Evangelion de remissione peccatorum prædicaverit, tum vero homo ille, tanquam ex morte reviviscet, ad Christum, thronum gratiæ accedet, & veniam omnium peccatorum suorum consequetur. Quid in his omnibus hominis est, & non potius Spiritus sancti? Homo enim suis viribus, & sibi relictus, Deum fugere potest, ad Christum accedere non potest. Sic enim Christus inquit (Ioan. 6.): nemo venit ad me, nisi Pater traxerit eum. Ideo David orat (Psal. 51.): cor mundum crea in me Deus, & Spiritum rectum innova in visceribus meis. Paulus Apostolus docet (Ephes. 2.): hominem sua natura mortuum esse in delictis. Quare, ut homo mortuus nihil potest ad suam resuscitationem facere, ita neque peccator ex suis viribus sese ad Deum convertere potest, sed divinitus eum a morte peccati excitari prius oportet, quam ille aliquid boni cogitare aut velle possit. Sine me (inquit Christus Ioan. 15.) nihil potestis facere. Nisi enim Christo per fidem insiti simus, non possumus ferre fructum a nobis ipsis, sed sumus palmites aridi & steriles. Quod enim ex carne natum est, caro est, inquit

τῆς σαρκὸς γεγεννημένον, σάρξ ἐστιν, ὡς φησι Χριστός. (Ιωάν. γ'.) Ἄνθρωπος ἐν σαρκικὸς, ἀφώτιστος ὑπὸ τῦ Πνεύματος ὢν, ἁμαρτάνειν μὲν, καὶ τὰς σαρκικὰς ἐπιθυμίας ἀποδέχεσθαι ἐξεργάζεσθαί τε, δύναται, καλὸν δὲ, (ἔν γε τοῖς Πνευματικοῖς) αἱρεῖσθαι, καὶ βέλεσθαι, ἐ δύναται, διότι τὸ φρόνημα τῆς σαρκὸς, (Ρωμ. η'.) τῷ βελήματι καὶ νόμῳ τῦ Θεῦ μάχεται. Καὶ φύσει ἐσμὲν πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν, (Ρωμ. ζ'.) καὶ δῦλοι αὐτῆς, ἀλ' ἐλεύθεροι εἶναι δυνάμεθα, ἐὰν μὴ ὁ Υἱὸς ἡμᾶς ἐλευθερώσῃ. (Ιωάν. η'.) Τότε δὲ μόνον τῆς ἐλευθερίας μέτοχοι γίνεσθαι δυνάμεθα, ὅταν εἰς τὸν Χριστὸν πιστεύσωμεν. Τὸ δὲ πιστεύειν εἰς αὐτὸν, ἐφ' ἡμέτερόν ἐστιν ἔργον, ἀλλὰ Θεῦ χάρισμα καὶ ἔργον ἐν ἡμῖν, κατὰ τὸ Παύλε, (Φιλ. α'.) ὅτι ὑμῖν ΕΧΑΡΙΣΘΗ τὸ ὑπὲρ Χριστῦ, ἐ μόνον ΤΟ ΕΙΣ ΑΥΤΟΝ ΠΙΣΤΕΥΕΙΝ, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτῦ πάσχειν. Διὰ δὴ ταῦτα, τιμιώτατε Κύριε Πατριάρχα, ἠγαπημένοι ἐν Χριστῷ θεοσεβείας σπεδασταὶ, δῶμεν τῷ Θεῷ τὴν δόξαν, ὡς μόνῳ ἀρχηγῷ τῆς ἡμῶν ἐπιστροφῆς τε καὶ σωτηρίας ὄντι, μὴ δ' ἐνταυθοῖ τι, κἂν ὁτιῦν, τῷ ἡμετέρῳ θελήματι ἐπιγράφωμεν. Οὐχὶ αὐτὸ, πρὸς τὸ ἐπιστρέφειν ἄνθρωπον, τάξιν ἔχει ποιητικῦ αἰτίε, ἔμενεν ἂν φαῖεν αἱ γραφαὶ, ἀλλ' ὑποκείμενον καὶ ὕλη τυγχάνει ὄν, εἰς ὃ, διὰ μέσης τῆς τῦ Θείε ῥήματος διακονίας, ἐνεργεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. Ταῦτα μὲν, ἐν τῇ ἀνθρώπε ἐπιστροφῇ, καὶ βαθμὸς σωτηρίας δεύτερος.

quit Chriſtus (Ioan. 3.). Homo igitur carnalis non illuminatus a Spiritu S. peccare, & carnis concupiſcentias approbare & perficere poteſt, bonum (in rebus ſpiritualibus) eligere & velle non poteſt. Carnalis enim affectus voluntati & Legi Dei repugnat, ut Paulus teſtatur (Rom. 8.). Et natura ſumus ſervi peccati, (Rom. 7.) nec liberi eſſe poſſumus, donec Filius nos liberaverit. Tum autem demum illius liberationis participes fieri poſſumus, cum in Chriſtum credimus. Credere autem in Chriſtum, non noſtrum eſt opus, ſed Dei donum & opus in nobis, juxta illud Pauli: Vobis (inquit Phil. 1.) donatum eſt, pro Chriſto, non ſolum, ut in eum credatis, ſed etiam ut pro illo patiamini. Quare (dilecti in Domino) tribuamus Deo gloriam, quod ille ſolus ſit autor noſtræ converſionis & ſalutis, neque noſtræ voluntati ea in re aliquid, quantulumcunque, adſcribamus. Ea enim non habet in converſione hominis rationem cauſæ efficientis, ſed eſt materia ſubjecta, in quam Spiritus S. per miniſterium verbi Dei agit.

Θεωρῶμεν δὲ νῦν, πῶς τὰ ἀνθρώπε καὶ μετὰ τὸ ἐπιστρέψαι ἔχει, ὅπε φανερὸν γενήσεται, καὶ ἐν τοῖς ἀναγεγεννημένοις ἐπεγραμμένοις τε, πάντα τὰ κατορθώματα τῷ Θεῷ ἐπιγραπτέον εἶναι, ἀλλ' ἐκ εἰς ἄνθρωπον (ἐὰν γ' ὀρθῶς τις σκοπήσῃ) ἀνοιστέον. Οὐ μὲν ἂν ἀρνη-

Videamus, chariſſimi, quomodo ſe res hominis etiam poſt converſionem habeant, & manifeſtum fiet, quod etiam in renatis & converſis, tota laus Deo, non autem homini (ſi exacte negotium expendatur) debeatur. Negari quidem non poteſt, hominem jam converſum habere

ἀρνησαίμεθ' ἂν, μὴ ἐκ ἔχειν τὸν ἤδη ἐπεσραμμένον δύναμιν, ὥσε θέλειν τὸ καλόν, λέγοντός γε τῦ Παύλε, (Ρωμ. ζ'.) ὅτι τὸ θέλειν παράκειταί μοι. Ἀκέωμεν μέντοι πάλιν τῦ αὐτῦ, τὶ ἐπιφέρει, περαίνων ὃ λέγειν ἤρξατο. Τὸ δὲ κατεργάζεσθαι φησὶ, τὸ καλὸν, ἐχ' ἑυρίσκω. Οὐ γὰρ, ὃ θέλω, ποιῶ ἀγαθὸν, ἀλλ', ὃ ἐ θέλω κακὸν, τῦτο πράσσω. Ὦ τῆς ἀσθενείας τῦ αὐτεξσίε, καὶν τοῖς ἐπισροφῆς κατηξιωμένοις. Θέλειν μὲν τὸ ἀγαθὸν δύναται ὁπωσδήποτε, κατεργάζεθαι δ' αὐτὸ ἐ δύναται. Ἄγε δ' ἀκέωμεν περαιτέρω λέγοντος τῦ Ἀποσόλε περὶ τῆς δυνάμεως, ὁπόση εἰς τὸ ἀγαθὰ πράτλειν, καὶ ἐν τοῖς παλιγγενεσίᾳ ἀνακαινωθεῖσι. Συνήδομαι, φησὶ, (Αὐτόθι.) τῷ νόμῳ τῦ Θεῦ κατὰ τὸν ἔσω ἄνθρωπον. Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί με, ἀντισρατευόμενον τῷ νόμῳ τῦ νοός με, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί με. Τὸ μὲν δὴ θέλειν τὸ καλὸν, ἔχει ὁ ἐπεσραμμένος ἄνθρωπος, ἔτω μέντοι, ὥσε τῶν καλῶν πολλὰ, ἃ θέλοι ἄν, μὴ δύναθαι κατεργάζεθαι. Πόθεν δ' αὐτῷ, ἐπισροφῆς ἤδη τετυχηκότι, ὑπάρχει, τὸ δύνασθαί τε θέλειν τὸ ἀγαθὸν, καὶ δὴ καὶ δυνατῷ εἶναι κατεργάζεσθαί τι ἀγαθόν; Τῦτο δὴ πάλιν τοῖς τῦ αὐτῦ ἁγίε ῥήμασι, μᾶλλον ἢ τοῖς ἡμῶν, διατρανώσομεν. Ὁ Θεός ἐσι, φησὶν, ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ ΘΕΛΕΙΝ, καὶ τὸ ΕΝΕΡΓΕΙΝ. Τί ἓν ἐν τύτοις πᾶσιν, ἡμέτερόν ἐσιν; Οὐδέν. Ὃ γὰρ θέλομεν ἀγαθὸν, τῦτο ὁ Θεὸς ἐν ἡμῖν ἐνεργεῖ, τὸ, ὅτι ἀγαθόν τι

habere facultatem, ut possit velle bonum. Dicit enim D. Paulus (Rom. 7.). Velle adjacet mihi. Sed audiamus rursus Paulum, absolventem, quod dicere cœperat. Perficere autem (inquit) bonum, non invenio. Non enim, quod volo bonum, hoc facio: sed quod nolo, malum, hoc ago. Quam tenuis est hæc libertas voluntatis, etiam in conversis, quæ velle quidem bonum utcunque potest, perficere autem id non potest? Audiamus ulterius Paulum docentem, quantæ sint vires ad bene agendum, etiam in renatis. Condelector (inquit ibidem) Legi Dei secundum interiorem hominem, video autem aliam Legem in membris meis, repugnantem Legi mentis meæ, & captivantem me in Lege peccati, quæ est in membris meis. Velle igitur habet homo conversus, ita tamen, ut multa bona, quæ velit, non possit perficere. Unde autem jam conversus habet, ut possit velle bonum, & ut aliquid etiam boni perficere valeat? Id rursus D. Pauli verbis, potius quam nostris, exprimemus. Deus est (inquit Apostolus Phil. 2.) qui operatur in vobis & VELLE & PERFICERE. Quid igitur in his omnibus nostrum est? nihil. Quod enim bonum volumus, hoc Deus in nobis operatur, quod aliquid boni efficimus, hoc ipsum est non tam nostrum, quam Dei opus in nobis. Et sane rem ita se habere, experientia ipsa nimium testatur. Quam primum enim Dominus, Spiritus sancti sui gubernationem

κατεργαζόμεθα, ἐχ' ἔτως ἡμέτερόν ἐσιν ἔργον, ὡς τῦ Θεῦ, ἐν ἡμῖν. Ὅτι δὲ ἔτω τὸ πρᾶγμα ἔχει, λίαν αὐτὴ μαρτυρεῖ ἡ πεῖρα. Οὐ γὰρ ἔφθη ὁ Κύριος τὴν ἐκ τῦ

Ἁγίε

Ἁγίᾳ ἑαυτῷ Πνεύματος χειραγωγίαν ἀνταναλῶν ἀφ' ἡμῶν, καὶ εἰς παντοῖα (τίνα γὰρ ἐ;) πονηρεύματα ἐξοκέλλομεν. Δαβὶδ μὲν, μοιχείᾳ τε καὶ μιαφονίᾳ μεμόλυνται. Πέτρος δὲ, ἠρνήσατο καὶ ἀπωμόσατο τὸν ἑαυτῷ σωτῆρα Χριστόν. Καίτοι, τίνες ἄνδρες; ἔμενον τῶν τυχόντων, ἀλλὰ τῶν ἐπιφανεστάτων, ὧν ἑκάτερος, ἀναγεννηθεὶς, καὶπὶ τὸν Μεσσίαν καὶ Χριστὸν ἐπιστραφείς. Οὐκοῦν, ὁ χριστιανὸς ἄνθρωπος παιδίῳ μικρῷ ἔοικε, λίαν ἀσθενέσι ποδαρίοις περιπατοῦντι, χειραγωγίᾳ μὲν τῷ Πατρὸς βαδίζοντι ὁπωσοῦν, εὐθέως δὲ, τῷ Πατρὸς ἀπ' αὐτῷ τὴν χεῖρα ἐξελόντος, χαμαὶ καταπίπτοντι. Εἰ δ' ἄνθρωπος, ἤδη τῷ θανάτῳ τῆς ἁμαρτίας ἀναστὰς, καὶπὶ Θεὸν ἐπιστραφείς, ἃ δύναται αὐτὸς ἀφ' ἑαυτῷ τὸ καλὸν θέλειν, εἶτα δὲ, καίπερ τῷ Θεῷ τὴν καρδίαν αὐτῷ εἰς τὸ θέλειν κινοῦντος, ὅμως, μὴ ἐνεργοῦντος τῷ Θεῷ κατεργάζεσθαι αὐτὸ ἀδυνατεῖ, τί ποιήσειεν ἂν ὁ μήπω ἐπιστραφείς, καὶ ἔτι ὑπὸ τὸν τῆς ἁμαρτίας θάνατον ὤν; ἰδὲ, ὁ τρίτος βαθμός. Τὸ τοίνυν τὰς ἡμῶν καρδίας κινεῖσθαι, ἐπὶ τὸ μὴ καταφρονεῖν τῶν θείων ἀπειλήσεων, τοῦτο ἐκ Θεοῦ ἐστι, τὸ ἡμᾶς ἤδη πρὸς Κύριον ἐπιστρέψαντας τῷ Θεοῦ νόμῳ τέρπεσθαι, ἐκ τοῦ Θεοῦ ἐστι, τὸ κατεργάζεσθαί τι τῶν καλῶν, ἐκ Θεοῦ ἐστιν, ἡμῶν, ἐχ ὅτι ἱκανῶν ὄντων, ἀφ' ἑαυτῶν λογίσασθαί τι, (Β' Κορ. γ'.) ὡς ἐξ ἑαυτῶν, ἀλλὰ τῆς ἱκανότητος ἡμῶν ἐκ τοῦ Θεοῦ ἔσης. Ταῦτα δὲ, ἐκ εἶναι τῆς ἡμετέρας διανοίας πλάσματα, ὑμῖν, ἐξ ὧν γραφικῶν προχειρισάμεθα μαρτυριῶν, φανερὸν δήπε. Οὐ μὲν λανθάνει ἡμᾶς, τῶν Ἁγίων τινὰς Πατέρων, καὶ θαυμασίως γε τῆς Ἐκκλησίας φωστῆρας, Χρυσόστομον καὶ Βασίλειον, τοσοῦτόν πε νέμειν τῷ ἐφ' ἡμῖν ἐκβ-

nem nobis subtraxerit, in quæ scelera non præcipitamur? David ruit in adulterium & homicidium. Petrus abnegat, & abjurat, servatorem suum Christum. At qui viri? Præstantissimi certe; quorum uterque renatus, & ad Christum Messiam conversus fuerat. Itaque homo Christianus, quasi puer parvulus, admodum imbecillis pedibus ambulat, quem pater manu ducit; ambulantem quidem utcunque, sed ita tamen, ut quam primum Pater manum suam retraxerit, mox puer in terram corruat. Quod si homo jam a morte peccati resuscitatus, & ad Deum conversus, non potest ex seipso bonum velle, deinde, si etiam Deo ipsius cor movente, ut velit, non tamen (nisi agente Deo) valet illud perficere, quid posset præstare nondum conversus, & adhuc morte peccati oppressus? Quod igitur verbo Dei corda nostra moventur, ne divinas comminationes contemnant, id ex Deo est, quod Evangelio credimus, ex Deo est, quod jam ad Dominum conversi Lege Dei delectamur, ex Deo est, quod aliquid boni perficimus, ex Deo est: Cum ne quidem idonei simus, cogitare aliquid boni ex nobis ipsis, tanquam ex nobis ipsis, sed idoneitas nostra ex Deo est (2 Cor. 3.). Hæc non esse de nostro ingenio conficta, ex Scripturæ testimoniis, quæ produximus, haud dubie intelligitis. Non ignoramus, sanctos quosdam Patres (præclara sane Ecclesiæ lumina, Chrysostomum & Basilium) in quibus-

ἑκασίῳ, ὅσον καὶ ὑμεῖς νεμητέον νομίζετε. Ἰσέον δὲ, τὰς ἀρίστας ἐκείνας (καὶ μηδεμία διὰ τοῦτο, παρακαλῶμεν, ὀργὴ γένοιτο) βεληθέντας δεῖξαι, τὸν ἄνθρωπον, μὴ ἀναγκασθέντα ἁμαρτάνειν, καὶ τῷ Θεῷ ὑπεραπολογεῖσθαι πειραθέντας, ὅπως μὴ δόξειεν ἀδίκως τῷ ἀνθρώπῳ κατακρίνειν, περαιτέρω πως τοῦ δέοντος προβῆναι. Οἱ δ' ἐκ αἰτοῦσιν ἡμᾶς, πλεῖον, ἢ δεῖ, τοῦ ἀξιώματος αὐτῶν ἀπαρτᾶσθαι. Τοιγαροῦν, ταυτηνὶ περὶ τοῦ ἐφ' ἡμῖν διδαχὴν ἀσπασώμεθα, Ἁγιώτατε αἰδεσιμώτατε Κύριε, προφητικὴν καὶ ἀποστολικὴν οὖσαν, καὶ σεβρῶς αὐτῆς ἀντεχώμεθα, ἥτις, τῷ Θεῷ μὲν τελείαν δόξαν καὶ τιμὴν ἀπονέμει, ἡμῖν δὲ, τοῖς δυσήνοις ἀνθρωπαρίοις, ἀφαιρεῖ. Μὴ γὰρ φοβηθῶμεν, μὴ ὥτωσὶ φρονοῦντες, πέρα τοῦ μετρίου ἑαυτοὺς ἐναντι τοῦ Παντοκράτορος ταπεινώσωμεν, πλείονα δήθεν αὐτῷ, ἢ προσήκει, τιμὴν προσάπτοντες.

busdam locis, tantum tribuere viribus humanis, quantum vos etiam tribuendum putatis. Sed optimi illi viri (quod pace illorum dictum volumus) dum ostendere studuerunt, hominem non coactum peccare, dumque Deum excusare conati sunt, ne videretur hominem injuste damnare, longius aliquanto profecti sunt, quam oportuit. At illi non a nobis postulant, ut nimium ipsorum autoritati tribuamus. Quare hanc de viribus hominis doctrinam, Propheticam & Apostolicam, amplectamur, & firmiter retineamus, charissimi, quæ Deo perfectam laudem tribuit, eandem vero nobis miseris homunciónibus adimit. Neque enim metuamus, hac ratione futurum, ut nos nimium coram Deo humiliemus, & Deo plus honoris, quam oportet tribuamus.

ΠΕΡΙ ΤΗΣ ΕΚ ΠΙΣΤΕΩΣ δικαιοσύνης, καὶ ἀγαθῶν ἔργων.

Σφόδρα ἀναγκαῖόν ἐστιν, εἰπέρτι πώποτε ἄλλο, ἡμᾶς ἐπιμελῶς ζητεῖν, καὶ πληροφορεῖσθαι ἐκ παντὸς τρόπου, περὶ τοῦ, πῶς ἐνώπιον τοῦ Θεοῦ δικαιώμεθα, ἵνα τὴν ἀληθινὴν ἐκείνην δικαιοσύνην λάβωμεν, ἢ ὡπλισμένοι, ἔμπροσθεν τῆς ἐπὶ Θεοῦ κρίσεως ἀμετακινήτως ἂν ἱσαίμεθα. Τὸς γὰρ ὑπὸ Θεοῦ δικαιωθέντας, ἐδεὶς κατακρίνειν δυνήσεται, ὡς ἐν τῷ τῆς πρὸς ῥωμ. κεφαλ. ἡ. ὁ Ἀπόστολος μαρτυρεῖ. Καὶ δικαιωθέντες ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν, ῥωμ. ε.

DE IVSTITIA FIDEI, & bonis operibus.

Valde necessarium est, ut diligenter inquiramus, & certi simus, quomodo coram Deo justificemur, ut veram illam justitiam apprehendamus, qua coram Dei judicio subsistere valeamus. Qui enim a Deo justificati sunt, eos nemo condemnare poterit, ut Apostolus testatur Rom. cap. 8. Et justificati fide, pacem habemus erga Deum Rom. 5.

Ἐν τῷδε δὴ τῷ περὶ τῆς δικαιώσεως ἄρθρῳ, πολλὰ τέθειται παρ' ὑμῶν, ἃ καὶ παρ' ἡμῖν ἔξω πάσης ἀμφισβητήσεως κεῖται, ὧν βραχεῖαν νῦν ἀνάμνησιν ποιησάμενοι, ἔπειτα, πᾶ διαφωνῶμεν, θεωρήσομεν.

In hoc autem articulo de Justificatione, multa a vobis recitantur, quæ apud nos etiam extra omnem controversiam sunt posita, quæ breviter recitabimus, deinde, ubi sit dissensio, videbimus.

Οὐδεὶς δισταγμὸς, μὴ ἐ πᾶσαν ἡμᾶς σπουδὴν ποιεῖσθαι ὀφείλειν, ὅπως μὴ μόνον ἔξωθεν σεμνῶς, πρὸς τὰς Θεοῦ ἐντολὰς ζήσομεν, ἀλλ' ἄρα καὶ, ὅπως ἔσωθεν εὐπειθῶς πρὸς αὐτὴν πολιτευσόμεθα, τῷ Θείῳ Νόμῳ καὶ πνευματικῶς τὸ ἱκανὸν ἀποτίσαι σπουδάζοντες, τῷ ἐχ' ὅπως τὰς πράξεις καὶ λόγους ἡμῶν, ἀλλ' ἐδὲ τὰ τῆς καρδίας κινήματα, τῷ Νόμῳ τοῦ Θεοῦ (πνευματικῷ γε ὄντι, καὶ πνευματικῶς νοεῖσθαι ὀφείλοντι) ἀντιβαίνειν. Εἰς τοῦτο γὰρ ἀνακτέον τὰς πολλὰς ἐκείνας, ἡμᾶς ἐπὶ τὸ ἀγαθοεργεῖν διεγειρούσας, τῶν θείων Ἀποστόλων παραινέσεις. Ἀσμένως τε ὁμολογοῦμεν, ἐκείνους ἐκ εἶναι Υἱοὺς Θεοῦ, τοὺς καλὰ ἔργα μὴ ποιοῦντας. Προσομολογοῦμεν δ' ἔτι, ἐκ ἀπὸ κενοδοξίας, ἢ ἄλλης τοιαύτης αἰτίας, ἀγαθὰ ἔργα παρεκτέα εἶναι, ἀλλὰ δόξῃ Θεοῦ, καὶ ὠφελείᾳ τοῦ πλησίον, τὰς ἀρετὰς ὑπηρετοῦσαι δεῖν. Ἔτι, ἀναντίῤῥητον, καθημέραν ἀληθινῇ θεοσεβείᾳ προκοπὰς, οἵαι μὴ εὐκαταφρόνητοι, φιλοπόνως ποιητέον εἶναι. Πρὸς τούτοις διδάσκομεν, τὸν ἀνθρώπινόν τι παθόντα, κἄν τινι παραπτώματι προληφθέντα, μετάνοιαν, ἵνα τῷ Θεῷ διαλλαγῇ, ποιεῖσθαι χρῆναι, κ) φυλάττεσθαι μετὰ ταῦτα σπουδαιότερον, ὅπως μὴ ὑπὸ τῆς ἁμαρτίας βασιλευθῶμεν. Ἀλλὰ καὶ πολλάκις τοις ἀκροαταῖς ἡμῶν ἐπιβοῶμεν, τὴν μὴ ἑπόμενα ἔχουσαν καλὰς πράξεις καὶ ἔργα, ἐκ εἶναι ἀληθῆ πίστιν. Πῶς γὰρ ἂν ἀγαθὸν εἴη δένδρον, τὸ μὴ ποιοῦν καλὸν καρπόν;

Non dubium est, quin summo studio in id incumbere debeamus, ut non modo externam honestam vitam, juxta mandata Dei, ducamus, verum etiam, ut internam Deo obedientiam præstemus, & spiritualiter etiam legi divinæ satisfacere studeamus, ut non modo opera & sermo, verum etiam cordis cogitationes legi divinæ (quæ spiritualis est, & spiritualiter intelligi debet) non repugnent. Huc enim referendæ sunt tot Apostolorum cohortationes, quibus ad bona opera facienda nos excitant. Et libenter fatemur, eos non esse Filios Dei, qui bona opera non faciant. Fatemur etiam, bona opera non ex ambitione, aut alia tali de causa, facienda, sed ad gloriam Dei, & utilitatem proximi, dirigenda esse. Præterea, certum est, in eo elaborandum, ut indies in vera pietate progressus non pœnitendos faciamus. Docemus etiam, si quis humani aliquid passus atque peccato præoccupatus fuerit, pœnitentiam esse agendam, ut Deo reconcilietur, & cavendum in posterum diligentius, ne peccatum nobis dominetur. Et sæpe nostris auditoribus inculcamus, Fidem, quam non sequuntur bona opera, non esse veram fidem. Non enim est bona arbor, quæ non

Καὶ

Καὶ τὴν ἔτως ἄκαρπον ἀρετῶν μένεσαν πίσιν, ἣ φαμὲν ἀρέσκειν τῷ Θεῷ, καθάπερ δὴ καὶ τὰ χωρὶς πίσεως ἔργα, ἀπαρέσκειν αὐτῷ, μεθ' ὑμῶν ἰχυριζόμεθα. Ναὶ μὴν, καὶ πίσιν, καὶ ἐλπίδα, καὶ ἀγάπην, ἀλύτῳ τινὶ δεσμῷ συνάπτομεν, ἐδὲ χρισιανὸν εἶναι πισεύομεν, τὸν ἑνὸς τέτων ἀμοιρῆντα. Χωρὶς δ' ἐλπίδος ἐδεὶς σώζεθαι, ἢ τὸ τῆς ἀπογνώσεως κακὸν ἐκφεύγειν, δυνατός. Καὶ, εἴτις γλώσσαις, ἐ μόνον ταῖς τῶν ἀνθρώπων, ἀλλὰ καὶ ταῖς τῶν Ἀγγέλων, λαλήσειν, ἀγάπην δὲ μὴ χοίη, τὶ ὁ τοιῦτος ἂν εἴη, ἀλλ' ἢ χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον, ὡς (ά. Κορ. ιγ'.) γέγραπται.

non gignit bonos fructus. Et talem fidem, unde non prodeunt bona opera, Deo placere negamus, quemadmodum etiam opera, ſine fide Deo diſplicere, una vobiſcum aſſerimus. Sed & Fidem, & Spem, & charitatem, indiſſolubili vinculo conjungimus. Et Chriſtianum eum eſſe non credimus, qui horum uno careat. Sine fide enim Deo placere, impoſſibile eſt, ut Apoſtolus teſtatur Hebr. 11. Sine ſpe nemo ſalvus eſſe, aut deſperationis malum effugere poteſt. Et, ſi quis non modo hominum, verum etiam Angelorum, linguis loqueretur, charitatem autem non haberet, quid is eſſet, niſi vel æs ſonans, vel cymbalum tinniens, ut Apoſtolus docet 1 Cor. 13.

Ἀλλὰ καὶ πισὴ ἡ δόξα, ἣ λέγεσα, ἐκ τῶν ἔργων καταληπτὸν εἶναι, (ἐφ' ὅσον μέντοιγε, ἀεθρωπίνῃ κρίσει περὶ ἀνθρώπε γινώσκειν, ἐφικτὸν) τίνες εἰσὶν οἱ πίσει ἐνώπιον τῦ Θεῦ δεδικαιωμένοι, καθάπερ δὴ καλοῖς καρποῖς, δένδρον ἀγαθὸν τεκμαιρόμεθα. Ἠβελήθη τῦτο καὶ ὁ θεῖος Ἰάκωβος, διατεινόμενος, ἄνθρωπον ἔργοις δικαιῦθαι. Εἰ μὲν γὰρ κατὰ τὸ ῥητὸν, τὰ ῥήματα αὐτῦ νοηθῆναι δέοι, ἐκ διαμέτρε τοῖς ὑπὸ Παύλε γεγραμμένοις μάχοιντ' ἄν. Οὔτε γὰρ τῷ, πίσις, ἔτε τῷ, δικαιοσύνη, ὀνόματι, κατὰ τὴν αὐτὴν τῷ Παύλῳ σημασίαν ἐχρήσατο. Ἐπεὶ δὲ τοῖς θείοις, ἐδαμῦ τοιαύτης τῶν ἐννοιῶν διαφωνία καὶ μάχη ἐνορᾶται, ἐδὲ τῦ ἀδελφοθέε κατηγορῆθαι, ὡς τὴν Παύλε ἔννοιαν διαφθείραντος, εὔπρεπές ἐσιν, ἀναμφίβολον ὑπάρχει, αὐτὸν ἀνασκευάσαι θελῆσαι τὴν κακοδοξίαν τῶν ὑποκριτῶν, οἱ ἐνόμιζον, τὴν οἱανδηποτῦν τῆς τῶν Χριστῦ ἱστορίας εἴδησιν, πίσιν εἶναι, καὶ

Certum eſt etiam, ex operibus deprehendi poſſe, (quouſque tamen hominis judicium de homine protenditur) quinam ſint illi, qui fide coram Deo ſunt juſtificati, quemadmodum ex bonis fructibus arborem bonam eſſe colligimus. Voluit etiam hoc D. Jacobus contendens hominem operibus juſtificari. Nam ſi ejus verba, κατὰ τὸ ῥητὸν intelligi deberent, e diametro cum Paulinis ſcriptis pugnarent. Nam nec fidei, nec Juſtificationis vocabulo, ea ſignificatione eſt uſus, qua Apoſtolus iis utitur. Cum autem in divinis, talis ſententiarum diſcrepantia nunquam conſpiciatur, nec D. Jacobus, depravatæ ſententiæ Paulinæ inſimulari debeat, dubium non eſt, eum refellere voluiſſe hypocritas, quibus qualiscunque notitia hiſtoriæ Chriſti, fides videbatur. Et præterea fidem absque operibus

καὶ προσέτι, ἀεργόν τινα πίστιν ἐκαυχῶντο. Τούτων οὖν τὴν πλάνην διορθούμενος ὁ ἅγιος, δείκνυσιν, αὐτοὺς, ἐὰν τῇ τῆς ἱστορίας μόνῃ πίστει ἐγκαυχήσωνται, οὐδὲν πλέον προκόψαι τῶν δαιμονίων, εἰδότων καὶ αὐτῶν τὰς τοῦ Χριστοῦ πράξεις καὶ παθήματα.

Εἶτα δὲ, μάταιον εἶναι καύχημα, τὸ πίστει ἔργων λειπομένη ἐνσεμνύνεσθαι. Μᾶλλον μὲν οὖν τοῦτο πράττειν δεῖν, ὅπως ἐκ τῶν καρπῶν τὸ δένδρον γνωσθήσεται, ἥτε δικαιοῦσα πίστις, ἡ τῇ καρδίᾳ ἐγκεκρυμμένη, προδήλως καλῆς συνειδήσεως δικαιοσύνη μετρηθήσεται, ὥστερ οὖν καὶ τὸ ζῆν ἄνθρωπον, ἐκ τῆς ἀναπνοῆς αὐτοῦ γινώσκεται. Ἃ δὴ καὶ περιφανῶς ἐκ τῶν τοῦ Ἀποστόλου ῥημάτων ἔρρηται, ΔΕΙΞΟΝ μοι, φησὶ, τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Προβάλλει καὶ τὸν θεῖον Ἀβραὰμ εἰς ὑπόδειγμα, ὃν ὅτως ἑτοίμως τῷ Κυρίῳ ὑπηρετεῖν ἐσχηκέναι, ὥσε μηδὲ τοῦ μονογενοῦς ἂν φείσασθαι, ἐξ οὗ τὴν πίστιν αὐτοῦ δοκιμασθῆναι, καὶ φανερὰν καταστῆναι.

Ἔμπαλιν δ' αὖ, ὅτε περὶ δικαιοσύνης ὁ μακάριος Παῦλος λέγει, ἄλλο πρᾶγμα μεταχειρίζεται. Ζητεῖ γὰρ οὔγε, ἐχὶ, ᾧ ἂν τρόπῳ ἔμπροσθεν τῶν ἀνθρώπων δίκαιοι φανῶμεν, ἀλλὰ, πῶς ἂν τῷ Θεῷ καταλλαγῶμεν, ἵνα τὰς ἁμαρτίας ἡμῖν ἀφῇ, ἡμᾶς ἑαυτῷ Υἱοὺς ποιήσηται, καὶ τῆς Οὐρανίου Βασιλείας κληρονόμους γράψῃ. Τοῦτο γὰρ σημαίνει παρὰ τῷ Θείῳ ἀνδρὶ τὸ δικαιοῦσθαι, ὅταν δηλονότι ὡς λογίσηται ἡμῖν, ἅπερ ἂν ἡμαρτηκότες ὦμεν ὁ Θεὸς, ἀλλὰ δικαίως ἐναντίον ἑαυτοῦ ἡγήσηται. Εἰς τοῦτο γοῦν φέρει τὰ (Ρωμ. δ΄.) κείμενα. Δαβὶδ, φησὶ, λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώ-

ribus jactabant. Horum ergo errorem correcturus D. Jacobus, ostendit: Si ea fides jactetur, quæ in sola historiæ notitia consistat, non eos plus profeciſſe, quam Diabolos, qui & ipsi ista noverint.

Deinde, vanam esse gloriationem, quæ fidem absque operibus commendet. Itaque hoc agendum esse, ut ex fructibus arbor agnoscatur, & fidem justificantem, quæ in corde lateat, ex justitia bonæ conscientiæ æstimandam esse, sicut & vita hominis, ex respiratione ejus agnoscatur. Quæ sane luculenter ex verbis Apostoli cernuntur. OSTENDE mihi, inquit, fidem tuam ex operibus tuis, & ego ostendam tibi fidem meam ex operibus meis. Affert etiam exemplum obedientiæ Abrahami, qui ita paratus ad obsequium Domini fuit, ut ne filio quidem esset parsurus, qua ex re fides ejus probata, & declarata fuerit.

Sed quando Paulus de Justificatione docet, alia res agitur. Quæritur enim, non, quomodo coram hominibus justi appareamus, sed, qua ratione Deo reconciliemur, ut nobis peccata condonet, nos pro filiis suis agnoscat, & hæredes regni cœlestis scribat. Hoc enim significat D. Paulo Justificari: quando videlicet peccata nostra non imputantur nobis, sed justi coram Deo censemur. Itaque ad Romanos in hanc sententiam scribit: David dicit beatitudinem hominis,

ἀνθρώ-

ἀνθρώπῳ, ᾧ ὁ Θεὸς λογίζεται δικαιοσύνην, χωρὶς ἔργων. (Ψαλμ. λά.) Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, καὶ τὰ ἑξῆς. Γινώσκομεν ὃν μετὰ τῦ Παύλυ, ἄνθρωπον, δίκαιον κρίνεσθαι καὶ λογίζεσθαι ἐναντίον τῦ Θεῦ, ἐφικνεῖσθαι ἁμαρτιῶν ἀφέσεως, καὶ ζωῆς αἰωνίυ, διὰ πίστεως, ἣ πιστεύομεν πεποίθαμέν τε, τὸν χριστὸν ὑπὲρ ἡμῶν ἐκπληρῶσαι τὸν νόμον, καὶ τῷ ἰδίῳ πάθει τὰς ἁμαρτίας ἡμῶν ἀπαλεῖψαι, καὶ δὴ διὰ πίστεως μόνης, δίχα ἔργων τῦ νόμυ, εἴτε ἔσωθεν καὶ πνευματικῶς ἐνεργυμένων, εἴτε ἔξωθεν ἀποδεικνυμένων. Ἥτις ἡμῶν γνῶμη, περιφανεστάταις καὶ βεβαιοτάταις ἐκ τῶν γραφῶν μαρτυρίαις ἐπερήρεισαι. Οὕτωσὶ γὰρ τοῖς ἐν Πισιδίᾳ Ἀντιοχεῦσι, περὶ Χριστῦ ἐδημηγόρησεν ὁ μακάριος Παῦλος, Πράξ. ιγ'. Γνωστὸν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοὶ, ὅτι διὰ τύτυ (Ἰησῦ) ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται, καὶ ἀπὸ πάντων, ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωσέως δικαιωθῆναι. Ἐν τύτῳ (τῷ Χριστῷ) πᾶς ὁ πιστεύων δικαιῦται. Καὶ (πράξ. ι.) περὶ Χριστῦ Πέτρος, τύτῳ, φησὶ, πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τῦ ὀνόματος αὐτῦ, πάντα τὸν πιστεύοντα εἰς αὐτόν. Ὁμοιοτρόπως περὶ αὐτῦ Χριστὸς (Ἰωάν. γ'.) Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἀλλὰ δὴ καὶ Παῦλος, τὰ τῦ νόμυ ἔργα, ὁποιαδὴν ἂν ὄντα τύχῃ, τῆς διὰ τῦ πιστεύειν δικαιοσύνης ἀποκλείει, λέγων (Ῥωμ. γ'.) Λογιζόμεθα,

nis, cui Deus imputat Justitiam sine operibus (Psal. 32.). Beati, quorum remissæ sunt iniquitates, quorum tecta sunt peccata. Beatus vir, cui non imputavit Dominus peccatum, &c. Sentimus igitur una cum Paulo, Hominem, justum censeri & reputari coram Deo, consequi remissionem peccatorum & vitam æternam, per fidem, qua credimus atque confidimus, Christum pro nobis legem perfecte impleviſſe, & peccata nostra, sua passione expiasse, & quidem sola fide, sine operibus legis, sive ea interna sint, & spiritualia, sive externa. Et hæc sententia nostra, clarissimis & firmissimis sacræ scripturæ testimoniis nititur. Sic enim D. Paulus Antiochenis in Pisidia est concionatus de Christo. Notum sit vobis, viri fratres, quod per hunc (Jesum) vobis remissio peccatorum annunciatur, & ab omnibus, quibus non potuistis in lege Mosis justificari. In hoc (Christo) omnis, qui credit, justificatur, Actor. 13. De Christo Petrus sic ait: Huic omnes Prophetæ testimonium perhibent, remissionem peccatorum accipere per nomen ejus, omnes, qui credunt in eum, Actor. 10. Christus de se ipso ad hunc modum loquitur: Sic Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis, qui credit in eum, non pereat, sed habeat vitam æternam, Ioan. 3. Quin etiam Paulus opera legis (qualiacunque illa sint) a Justificatione fidei excludit, dicens: Arbitramur, justificari hominem per fidem, sine

πίστει δικαιοῦθαι ἄνθρωπον, ΧΩΡΙΣ ΕΡΓΩΝ ΝΟΜΟΥ. Τί σαφέστερον ἢ λαμπρότερον ἂν τούτων λέγοιτο; Ὁράτω, τιμιώτατε Κύριε, ἡ ἁγιότης σε, ἀπονέμοντα Παῦλον τῇ πίστει τὸ, ὅτι δικαιοῖ. Ὁράτω, Πέτρον τῇ πίστει ἀπονέμοντα τὸ, ὅτι ἁμαρτιῶν ἄφεσιν ἀνθρώπῳ δίδωσιν. Ὁράτω, Χριστὸν ἀπονέμοντα τῇ πίστει τὸ, ὅτι ζωῆς αἰωνίου ἡμᾶς μετόχους ποιεῖ. Ὁράτω, Παῦλον τὰ νομικὰ ἔργα, εἴτε πνευματικὰ, εἴτε σαρκικὰ, ἀδιαφόρως, τοῦ τῆς δικαιώσεως χρήματος ἀπείργοντα. Καὶ ἐπειδὴ παρὰ Παύλῳ ταὐτόν ἐστι, τό, τε σώζεσθαι, καὶ τὸ δικαιοῦσθαι, (καθάπερ ὁ προειρημένος περὶ μακαρισμοῦ ἀνθρώπου τόπος δείκνυσι) βλέπωμεν τὸν τρισμέγιστον Ἀπόστολον τοῦτον, μεθ' ὅσης σαφηνείας, τὸ δικαιοῦσθαι, πάντων μὲν τῶν ἔργων ἀποκρίνει, μόνῃ δὲ τῇ πίστει ἐπικρίνει. Τῇ χάριτι Θεοῦ, φησὶν, (Ἐφεσ. Β'.) ἐστὲ σεσωσμένοι, διὰ τῆς πίστεως, καὶ τοῦτο, οὐκ ἐξ ὑμῶν, (Θεοῦ, τὸ δῶρον) οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. Ταῦτα μὲν ἡμεῖς, περὶ τοῦ δικαιοῦσθαι κατέναντι τοῦ Θεοῦ ἁμαρτωλὸν ἄνθρωπον, ἔτως ἁπλούστατα γινώσκομεν καὶ ἀποφαινόμεθα.

operibus legis, Rom. 3. Quid potest clarius dici? Videtis, charissimi, Paulum tribuere fidei, quod hominem justificet. Videtis, Petrum tribuere fidei, quod homini remissionem peccatorum conferat. Videtis, Christum tribuere fidei, quod vitæ æternæ nos participes faciat. Videtis, D. Paulum opera Legis (absque ullo discrimine spiritualium & carnalium operum) a Justificationis negotio excludere. Et, cum Paulo salvari, & justificari, idem sint, (quemadmodum ex loco supra de hominis beatitudine allato manifestum est) videamus, quam perspicue ter maximus ille Apostolus salutem omnibus operibus deroget, soli vero fidei adscribat. Gratia Dei salvati estis (inquit Paulus) per Fidem, & hoc non ex vobis, Dei enim donum est, non ex operibus, ne quis glorietur. Hæc est nostra simplicissima sententia de Justificatione hominis peccatoris coram Deo.

„Παραβάλλωμεν δὲ νῦν αὐτοῖς τὴν „ὑμετέραν γνώμην, ἔτως ἔχουσαν, τε„λειοῦντες, ὡς δυνατὸν, τὸν κατὰ πνεῦ„μα νόμον, δικαιωθησόμεθα. Οἱ δὲ κα„τὰ τὸ φαινόμενον τοῦ νόμου, σωματι„κῶς λατρεύοντες, τῆς θείας πάντως „ἐκπίπτουσι χάριτος, ἀγνοοῦντες τὴν „τὸν νοῦν πάσης καθαίρουσαν κηλίδος, ἐν „χάριτι τοῦ πνευματικοῦ νόμου, τελείω„σιν. Καὶ ἐν ἄλλῃ σελίδι· Ὁ τοῦ Θεοῦ λό„γος, φιλανθρωπίᾳ ἠλευθέρωσεν ἡμᾶς, „ἄνθρωπος γενόμενος, καὶ ἐντολὰς δέ„δωκε, τὸ παρὰ φύσιν ἢ φαντάζεσθαι, ἢ δὲ

„Conferamus cum hac vestram sen„tentiam, quæ sic habet, perficiendo, „quatenus fieri potest, legem, quæ secun„dum Spiritum est, justi fiemus. Qui „vero externa tantum specie, & corpo„raliter legi serviunt, divinam, sine con„troversia, amittunt gratiam, nescientes „illam, quæ mentem ab omni expurgat „macula, per gratiam spiritualis legis, „perfectionem. Et alio quodam folio: „Dei Logos, amore generis nostri ho„mo natus, nos in libertatem vindicavit, „ac leges dedit, ne fingamus & specule-

mur

„ἐδὲ ἐργάζεθαι ἁμαρτίας, ἀλλ' ἀπέ-
„χεθαι, ὡς δυνατὸν, μόνων δὲ ἀρετῶν
„καὶ ἐντολῶν ἀντέχεθαι. ἂν δέ τι ἀν-
„θρώπινον ἔλθῃ τυχὸν, ἀπεκδύεθαι, καὶ
„σπεύδειν, τὸ χεῖρον καθυποτάξαι τῷ
„κρείττονι, καὶ τὴν σάρκα δελῶσαι τῷ
„Πνεύματι, διὰ ἀρετῆς καὶ ἐργασίας τῶν
„ἀγαθῶν. Πάλιν, μετά τινα φύλλα·
„Οὐδὲ γὰρ οἷόντε, λοιπὸν εὑρεῖν τινα
„παραμυθίαν ἐκεῖ, τὸν μὴ ἐν τῷ πα-
„ρόντι βίῳ ἀπονιψάμενον τὰ ἡμαρτημέ-
„να. Ταῦτα μὲν, Παναγιώτατε, ἕ-
τως ἐπὶ λέξεως, τῷ ὑμῶν συντάγματι
ἐμφέρεται.

Πῶς δ' αὐτὰ, αἷς ἄνω γραφικαῖς
μαρτυρίαις ἐξεθέμεθα, συνάδει, ἡμεῖς
γε ἰδεῖν ἐχ' οἷοί τέ ἐσμεν. Πῶς γὰρ δυ-
νατὸν ἡμᾶς, τελειοῦντας τὸν νόμον, τε-
τέσιν ἀγαθεργοῦντας, δικαίους γίνεθαι,
εἰ δὴ τὰ ὡς ἀληθῶς ἀγαθὰ ἔργα, ἐκ ἔνι
πράττεθαι, εἰ μὴ ὑπὸ τῶν ἤδη πεοδεδι-
καιωμένων; Οὐδὲ γὰρ δύναται σαπρὸν
δένδρον ἀγαθὸς ποιεῖν καρπὸς, μαρτυ-
ρεῖντός γ' αὐτῷ τῷ Χριςῷ. Ὁ γὰρ μήπω
δίκαιος ὢν, μηδὲ ἀναγεννηθεὶς, ἢ ἀπὸ
θανάτε ἁμαρτίας μήπω ἀναςαθεὶς,
ποίῳ ἂν τρόπῳ δικαίως πράξειε; Καὶ
τὰ μὴ δικαιωθέντός πω, εἴτεν μὴ κα-
ταλλαγέντος ἔργα, πῶς ἂν τῷ Θεῷ ἀ-
ρέσκειν, ἀνάγκη, πρὶν ἂν αὐτῷ ἀρέσειε
τὰ ἔργα. Οὐκ ἄρα δυνάμεθα, κατενώ-
πιον τῷ Θεῷ δίκαιοι γίνεθαι, ἢ δικαιῶ-
σθαι, διὰ τελειώσεως τῷ νόμε, ἀλλ'
ἀνάγκη, δικαίους ἡμᾶς εἶναι ἢ δικαιωθῆ-
ναι, διὰ πίςεως, πρὸ τῷ τὸν κατὰ πνεῦ-
μα νόμον τελειῶσαι.

Ἀλλὰ μὴν ἐδὲ τὸ, τὸν Θεῷ νόμον,
κατὰ πνεῦμα, ἢ πνευματικῶς πληρῶ-
σαι τελείως, δυνατὸν ἡμῖν. Ὁ γὰρ νό-
μος

„mur id, quod contra naturam eſt, nec
„perpetremus peccata, ſed pro virili par-
„te abſtineamus, ſolis virtutibus & man-
„datis adhæreſcamus. Si vero quid for-
„te humani nobis accidat, exuamus, &
„id, quod vitioſum eſt, ſub dominatum
„melioris ſubjugemus, carnem denique
„per virtutem & benefacta ſpiritui ſer-
„vam reddamus. Et poſt aliqua rurſus
„folia: Nequaquam fieri poteſt, ut poſt-
„hac aliquod ſolatium inveniat illic, qui
„non in hac vita expiaverit peccata.
Hæc, dilectiſſimi, ſic ad verbum in ſcri-
pto veſtro habentur.

Quomodo autem ea cum Scripturæ teſtimoniis ſupra recitatis conveniant, videre nos non poſſumus. Qui enim fieri poteſt, ut perficiendo legem (hoc eſt, bene operando) juſtificemur, cum vere bona opera, non niſi ab iis fiant, qui jam ſunt juſtificati? Non enim arbor mala fructus bonos facere poteſt, ut Chriſtus ipſe teſtatur. Etiam homo nondum juſtus, & non renatus, aut a morte peccati nondum reſuſcitatus, quomodo juſte ageret? Et hominis nondum juſtificati, hoc eſt, non reconciliati, opera, quomodo Deo placerent? Perſonam enim prius Deo placere oportet, quam ipſius opera placeant. Quare non poſſumus coram Deo juſti fieri, ſeu juſtificari, perficiendo legem, ſed oportet nos juſtos, ſeu juſtificatos eſſe per fidem, priusquam legem, quæ ſecundum Spiritum eſt, perficiamus.

Quin etiam Legem Dei ſecundum Spiritum, ſeu ſpiritualiter, implere perfecte non poſſumus. Lex enim Spiri-

tualis

μος πνευματικός ἐστι κατὰ Παῦλον, (Ρωμ. ζ'.) ἀπαιτῶν ἡμᾶς, ἃ φαινομένην ἐξω μόνον ὑπακοὴν, καὶ τρόπων σεμνότητα, οἵαν καὶ τοῖς ἐθνικοῖς παρέχεσθαι, δυνατὸν, ἀλλὰ καὶ ὅλε τῆ ἐντὸς ἡμῶν νοὸς, πρὸς τὸν θεῖον νόμον ἐφαρμογὴν καὶ συμμορφίαν, ἐπὶ τοσῆτον, ὥστε μηδὲ τὰς ἐννοίας καὶ λογισμὲς ἡμῶν, ἐφ' ἃ μὴ θέμις, ἐκφέρεσθαι. Ἐξαιρέτως γὰρ εἰς τὴν καρδίαν ὁ Θεὸς ἀποβλέπει, ἐδὲ γε τά τῶν ἡμετέρων καρδιῶν ἐνδόμυχα αὐτὸν λέληθεν. Οὐ τοίνυν τελειωθῆναι τὴν νόμον ἡγεῖται παρὰ τῆ, κατὰ τὸ μὲν φαινόμενον ἀμέμπτως ζῶντος, μεταξὺ δὲ τὴν ψυχὴν κρυφίως ἀθεμίτοις πάθεσι καυματιζομένε, κᾆν ἀναγεννηθεὶς καὶ ἄκων τῆτο πάθη.

Ἐὰν τοιγαρῆν διὰ τελειώσεως νόμε δικαιῆσθαι θέλωμεν, ἢ μὴν οἰχήσεται τὰ τῆς σωτηρίας ἡμῶν. Ζωὴν γὰρ ὁ νόμος ἐπαγγέλλεται, ἃ μὲν τοῖς ἔστιν ἃ μόρια αὐτῆ φυλάξασι, τοῖς δὲ ὅλον αὐτῆ τὸ σῶμα πληρώσασιν. Ἀνάπαλιν δ' αἰώνιον ἀπειλεῖ κατάραν πᾶσιν, ὅσοι μὴ ἂν ὑπακοὴν ὁλοτελῆ αὐτῶ παραχόντες ὦσιν. Ἐπικατάρατος πᾶς, φησὶν (Γαλ. γ'.) ὅς ἐκ ἐμμένει ΕΝ ΠΑΣΙ τοῖς γεγραμμένοις ἐν τῶ βιβλίω τῆ νόμε, (Δευτερ. κζ'.) ΤΟΥ ΠΟΙΗΣΑΙ αὐτά. Καὶ Ἰακωβος (κεφ. β'.) Ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε ΠΑΝΤΩΝ ἔνοχος. Οὐκῆν, οἱ διὰ πληρώσεως τῆ νόμε ζητῆντες δικαιῆσθαι παρὰ Θεῶ, ἃ δικαίωσιν ἐκ τῆ νόμε, κατάραν δὲ, ἀποίσονται. Ὅθεν ἕπεται, ἐπὶ τὴν χάριν καὶ ἔλεος τῆ Θεῆ καταφευκτέον εἶναι, ἵνα δωρεὰν, διὰ τῆς εἰς Χριςὸν πίςεως, ἀλλ' ἐκ ἐξ ἔργων νόμε, δικαιωθῶμεν. Οἷον, παραδείγματος χάριν,

tualis est, ut Paulus ait (Rom. 7.): & requirit a nobis non externam tantum obedientiam, & morum honestatem, quam etiam Ethnici præstare possunt, sed postulat, ut tota mens nostra sit Legi Dei conformis, usque adeo, ut ne quidem cogitationes nostræ ad illicita evagentur. Deus enim cor præcipue intuetur, neque illi intimi nostrorum cordium recessus sunt absconditi. Quare non judicat Deus, eum perfecisse Legem, qui externam obedientiam præstat, cum interim mens intus illicitis affectibus æstuet, etiam contra hominis renati voluntatem.

Si igitur perficiendo legem justificari voluerimus, profecto actum fuerit de salute nostra. Lex enim vitam promittit, non iis, qui particulas aliquas legis observarint, sed illis, qui totam legem impleverint. Maledictionem vero æternam comminatur omnibus, qui non obedientiam omnibus numeris absolutam Legi præstiterint. Maledictus omnis (inquit Scriptura Deut. 27.) qui non permanserit in omnibus, quæ scripta sunt in libro Legis, ut faciat ea. Et Jacobus cap. 2. Quisquis totam legem servaverit, offenderit autem in uno, factus est omnium reus. Quapropter, qui perficiendo legem justificari volent coram Deo, ex lege non justificationem, sed maledictionem, auferent. Itaque ad gratiam & clementiam Dei confugiendum est, ut gratis per fidem in Christum, & non ex operibus Legis, justificemur. Verbi gratia, Lex dicit (Deut. 6.): Diliges

ριν, φησὶν ὁ Νόμος (Δευτερ. ϛ΄.) Ἀγαπήσεις κύριον τὸν θεόν σε ἐν ὅλῃ τῇ καρδίᾳ σε, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σε, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σε. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Τίς δὲ τῶν ἀνθρώπων πώποτε (τοῦ Χριϛοῦ ὑποζαιρεθέντος) εὑρέθη δυνάμενος (εἰ μὴ τάχα ἔπω ἑαυτὸν ἐγνώκει) εἰπεῖν, ἑαυτὸν κατὰ τοῦτο παντελῶς τὸν τρόπον ἀγαπῆσαι τὸν Θεόν; μὴ δυνάμενοι δὲ τὴν πρώτην καὶ μεγάλην ἐντολὴν κατορθῶσαι, πῶς ἂν τελειῶντες τὸν νόμον δικαιωθείημεν; Πῶς τὸν Θεὸν ἐν ὅλῃ τῇ καρδίᾳ ἑαυτοῦ, καὶ ἐν ὅλῃ τῇ ψυχῇ ἑαυτοῦ, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ ἑαυτοῦ, ἀγαπήσειεν ἄν, ὁ μήπω τῷ Θεῷ καταλλαγείς, ὁ μήπω δικαιωθεὶς, ὁ μήπω πρὸς τὸ πνεύματος Θεοῦ καινεργηθείς, ὅπερ γε τὴν τοιαύτην ἀγάπης τελειότητα, ἐδὲ οἱ ἀναγεννηθέντες καὶ δικαιωθέντες, ἐν τῷ νῦν αἰῶνι ἔχουσιν; Εἰ δὲ τὸ σαρκικὰ φρονεῖν, ἔχθρα εἰς Θεόν ἐστι (Ρωμ. η΄.) τὶς μηχανὴ, ἄνθρωπον σαρκόφρονα, μήπω ἐπισραφέντα, μήπω δικαιωθέντα, ὃν μισεῖ Θεὸν, τοῦτον ἀγαπᾶν; Εἰ δὲ τὸν Θεὸν ἐκ ἀγαπᾷ, ἀλλὰ μισεῖ, ποίῳ τρόπῳ τὸν νόμον πληρώσει; Εἰ δὲ τὸν νόμον ἐ πληρώσει, εἰπέτω τις τὸν τρόπον, καθ' ὃν ἐκ τοῦ νόμου δικαιωθήσεται. Οὐ γὰρ ἡ ἡμετέρα ἀγάπη, πηγὴ ἐστι τῆς πίϛεως, ἀλλὰ μᾶλλον ἡ πίϛις (ἣ πιϛεύομεν, τὸν Θεὸν ἡμῖν διὰ Χριϛὸν ἐξιλασθῆναι) πηγὴ ἐστὶ τῆς ἀγάπης, ὥϛε παρ' ἡμῶν διὰ τοῦτο ἀγαπᾶσθαι τὸν Θεὸν, ὅτι αὐτὸς ἡμᾶς ἀγαπήσας ἔφθη. Οὕτω γὰρ Ἰωάννης, (ά. κεφ. δ΄.) Ἡμεῖς ἀγαπῶμεν, φησὶν, αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Συνάγεται τοίνυν ἐκ τῶν εἰρημένων, ἀδύνατον εἶναι, ἄνθρωπον, διὰ κατορθώσεως τοῦ νόμου, δίκαιον ἀποδείκνυσθαι ἐπὶ τοῦ Θεοῦ, εἰ δὴ ἐδὲ τὴν πρώ-

ges Dominum Deum tuum, ex toto corde tuo, & in tota anima tua, & in tota mente tua. Et quidem hoc est maximum & primum mandatum. Quis vero unquam hominum (Christo excepto) repertus est, qui (nisi forte seipsum nondum noverit) dicere potuerit, se ad eum prorsus modum dilexisse Deum. Quod si primum & maximum mandatum perfecte observare non possumus, quomodo perficiendo Legem justificabimur? Et quomodo is Deum ex toto corde suo, & in tota anima sua, & in tota mente sua, diliget: qui cum Deo nondum est reconciliatus, qui nondum est justificatus, qui nondum est Spiritu Dei renovatus? cum eam perfectionem dilectionis, etiam justificati & renati, in hac vita non habeant. Si autem carnaliter affectum esse, inimicitia est adversus Deum (Rom. 8.): quo pacto homo carnalis, nondum conversus, nondum justificatus, Deum, quem odit, diliget? quod si Deum non diligit, sed odio habet, quomodo Legem perficiet? si Legem non perficiet, quomodo ex Lege justificabitur? Non enim charitas nostra fons est Fidei, sed potius Fides (qua credimus, Deum nobis propter Christum placatum) est fons charitatis, ut nos ea de causa Deum diligamus, quia ipse nos dilexit. Sic enim inquit Ioannes (1 Ioan. 4.): Nos ergo diligamus Deum, quoniam Deus prior dilexit nos. Quare impossibile est, hominem perficiendo Legem justificari coram Deo, quia non potest

πρώτην ἐντολὴν, μήτι γὲ δὴ τὰς ἄλλας πάσας, τελειῶσαι δύναται.

Εἰ δ' ὁ Κύριος ἐνιαχῦ ἀνθρώπους (ἐρωτῶντας, τί ποιοῦντες, ζωὴν αἰώνιον κληρονομήσουσι) πρὸς τὸν νόμον ἀποπέμπει, ἐ τοῦτο βελόμενος, ἐποίησεν, ὥσπερ ἡμῶν ἂν τῷ ποιεῖν τελείως τὰ τοῦ νόμε δικαιεμένων, ἀλλὰ ἐκεῖνο μηχανώμενος, τὸ αὐτοὺς ἐκ τοῦ νόμε τὰς ἑαυτῶν ἁμαρτίας καὶ ἀτονίαν ἐπιγινώσκειν, κἄ λοιπὸν πολλὰ ἐῤῥῶσθαι φράσαντας τῷ ἐπὶ τῇ ἰδίᾳ δικαιοσύνῃ πεποιθέναι, ἐπὶ τὸν μεσίτην Χριστὸν καταφεύγειν. Διὰ τοῦτο, ἐχὶ πρὸς τὸν νόμον αὐτοὺς ἀπέπεμψεν, ἀλλὰ πλειςάκις περὶ ἑαυτοῦ λόγους ἐποιήσατο, εἰπὼν (Ιωάν. γ'. ἐ. ς'. ιά.) Ὁ ΠΙΣΤΕΥΩΝ ΕΙΣ ΕΜΕ ΕΧΕΙ ΖΩΗΝ ΑΙΩΝΙΟΝ οἷς ῥήμασιν, ἐ διὰ τοῦ τελειῦν τὸν νόμον, ἀλλὰ διὰ τοῦ πιςεύειν εἰς αὐτὸν, τὴν σωτηρίαν ζητεῖσθαι προσάτλει.

potest primo mandato, ne dum reliquis omnibus, satisfacere.

Quod autem Christus aliquoties homines (interrogantes, qua ratione vitam æternam consequi possent) ad Legem remittit, non ideo factum est, quasi Legem perficiendo justificemur, sed eam ob causam, ut illi ex lege peccata sua, & imbecillitatem, agnoscerent, quo deinceps abjecta fiducia propriæ justitiæ, ad Mediatorem Christum confugerent. Ideo non remisit eos tantum ad Legem, sed sæpissime palam de se concionatus est dicens (Ioan. 3. 5. 6. 11.): *Qui credit in me, habet vitam æternam:* quibus verbis non salutem, perficiendo legem, sed in ipsum credendo, quærere jubet.

Πρὸς δὲ τοῦτοις, ἀνάξιον πρᾶγμα, τὸ ἀναμέσον ἡμῶν καὶ Χριςοῦ μερίσασθαι τὴν ἡμῶν σωτηρίαν, ὡς δῆθεν καὶ ἡμῶν τὰς ἡμετέρας ἁμαρτίας μετὰ τοῦ Θεοῦ ἀπολύσασθαι δυναμένων, καθ' ὃν τρόπον, καὶ ἡμῖν μέρος τι ἐκ τοῦ κατορθώματος τοῦ μεσιτεύσαντος Χριςοῦ προσνεμηθείη, λέγεσθαί τε γένοιτ' ἂν κἄ ἡμᾶς, ἐκ μέρους τινὸς λυτρωτὰς, ὅπερ ὑπερβολὴ ἂν ἀτοπίας εἴη. Τῷ γὰρ μεσίτῃ Χριςῷ ΜΟΝΩι, καὶ πάμπαν ἑδενὶ ἄλλῳ, ἡ τιμὴ ὀφείλεται ἥδε. Φησὶ γὰρ αὐτὸς ἅτω διὰ τοῦ προφήτε Ἡσαΐε (κεφαλ. μγ'.) ἐγὼ εἰμι, ὁ ἐξαλείφων τὰς ἀνομίας σε ἕνεκεν ἐμοῦ, κἄ τὰς ἁμαρτίας σε ἐ μὴ μνησθήσομαι ἔτι. Οὐδεὶς ἡμῶν ἐςι δῆπε ἐκεῖνος ὁ ΕΓΩ, ὁ παρὰ τῷ προφήτῃ λαλῶν. Μόνος ὁ Χριςὸς, ἐκεῖνος ὁ μεσίτης ἐςὶ, καὶ τῶν ἁμαρτιῶν ἐξαλείπτης. Τὸ αὐτὸ διδα-

Indignum est etiam, nostram salutem partiri inter nos & Christum, quasi nos etiam peccata nostra coram Deo expiare possimus, qua ratione nobis etiam pars aliqua de Mediatoris Christi officio tribueretur, & nos ex parte aliqua etiam Redemptores dici possemus, quod summa cum absurditate conjunctum est. Hic enim honor, SOLI Mediatori Christo, & prorsus nulli alii, debetur. Sic enim Filius Dei per Prophetam Isaiam loquitur (cap. 43.): Ego, ego sum, qui deleo iniquitates tuas, propter me, & peccatorum tuorum non recordabor amplius. Nemo nostrum est, ille ego, qui in Propheta Isaia loquitur. Solus Christus est ille Mediator, & peccatorum

σκόμεθα, καὶ παρὰ τῦ Ἀποστόλυ Ἰωάννυ, (ά. κεφ. ά.) φαμένυ, ὅτι ΤΟ ΑΙΜΑ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, τῦ Υἱῦ Θεῦ, καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Καὶ, ἵνα μὴ τάχα τις μόνον περὶ τῆς ἀρχεγόνυ παραβάσεως αὐτὸ, μὴ περὶ τῶν πρακτικῶν δὲ ἁμαρτιῶν, ἐξακέσειν ἂν, μικρῷ ὕστερον ὁ αὐτὸς ταῦτα ὑποβάλλει, (ά. Ἰωάν. β΄.) Τεκνία μυ, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάντις ἁμάρτη, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησῦν Χριστὸν, δίκαιον, καὶ ΑΥΤΟΣ ΙΛΑΣΜΟΣ ΕΣΤΙ περὶ τῶν ἁμαρτιῶν ἡμῶν, ὲ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ ΠΕΡΙ ΟΛΟΥ ΤΟΥ ΚΟΣΜΟΥ. Μὴ γένοιτο τοιγαρῦν, Ἁγιώτατε Κύριε Πατριάρχα, ἡμᾶς ὡτινιῦν ἀνθρώπῳ δύναμιν τῦ ἱλάσασθαι περὶ τῶν ἁμαρτιῶν, εἰ μὴ μόνῳ τῷ Θεανθρώπῳ Χριστῷ, ἐπιγράφειν, μηδ' ὁντινανῦν ἄλλον, ἡλίκῃ δήποτε βίᾳ καθαρότητι λάμποντα, εἰς τὸν χριστῦ θρόνον παράγοντες ἐγκαθίσωμεν, ἀλλ' αὐτὸν ἕνα καὶ μόνον ΙΛΑΣΤΗΝ ἐπιγνῶμεν, ὃν προέθετο ἡμῖν ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως, ἐν τῷ αὐτῦ αἵματι, ἵνα πάντες οἱ πιστεύοντες εἰς αὐτὸν, μὴ ἀπόλωνται, ἀλλ' ἔχωσι ζωὴν αἰώνιον.

Αὕτη ἡμῶν ἐστι, παναγιώτατε Κύριε, περὶ τῆς ἐκ τῦ πιστεύειν δικαιώσεως, καὶ τῶν καλῶν ἔργων, γνώμη, ἐν ᾗ, ὲ τοῖς ἐκ τῶν λογισμῶν φαινομένοις, ἢ ἀποδείξεσι λόγων, καὶ περιέργοις συλλογισμοῖς, παρακολυθῦμεν, ἀλλὰ τῷ λύχνῳ τῦ ῥήματος Θεῦ συμπαρομαρτῦμεν. Οὐδ' ἀποβαλλόμεθα τὰς παραινέσεις τῶν Ἁγίων Πατέρων Πνευματοφορούντων, ἀλλ' ὡς ἀληθῶς πολλῦ τιμῶμεθα, καθόσον ταῖς Θεοπνεύστοις Γραφαῖς παρέπονται, πρὸ

rum expiator. Idem docet nos etiam Apostolus Ioannes, (1 Ep. c. 1.) inquiens: Sanguis Jesu Christi, Filii Dei, emundat nos ab omni peccato. Et, ne id fortasse quispiam de originali tantum labe, & non etiam de actualibus peccatis, intelligendum putaret, paulo post Apostolus hæc subjicit (1 Ioan. 2.): Filioli mei, hæc scribo vobis, ut non peccetis. Sed & si quis peccaverit, advocatum habemus apud Patrem, Jesum Christum, justum, & ipse est Propitiatio pro peccatis nostris, non pro nostris autem tantum, sed etiam pro totius mundi. Absit igitur charissimi, a nobis, ut cuiquam hominum, facultatem expiandi peccata, nisi soli Christo, Deo & homini tribuamus, neque quenquam alium, quantacunque sit vitæ innocentia præditus, in solium Mediatoris Christi collocemus, sed ipsum solum & unicum, Propitiatorem agnoscamus (Rom. 3.): quem proposuit nobis Deus in sanguine ipsius, per fidem amplectendum, ut, quotquot in ipsum crediderint, (Ioan. 3.) non pereant, sed habeant vitam æternam.

Hæc, dilectissimi, nostra est de Justificatione fidei, & bonis operibus, sententia, in qua non sequimur rationis Judicium, aut ratiocinationem, & exquisite excogitatos Syllogismos, sed sequimur lucernam verbi Dei. Nec contemnimus monita sanctorum Patrum, quos utique magnifacimus, dum sacras literas sequuntur: sed audimus in primis illum Præceptorem nostrum, de quo Pater dixit (Matth. 17.): Hic est Filius meus

ὡσαύτως ἀπολεῖσθε. Ἀληθῆ δὲ μετάνοιαν εἶναι, τὸ ἐπιστρέφειν πρὸς Θεὸν, τῶν πάνυ ἀναμφιλόγων ἡμῖν. Οἱ γὰρ στρέφοντες ἐπὶ τὸν Κύριον τὰ νῶτα, (κατὰ τὴν τῆς γραφῆς φράσιν Ιερεμ. β'. καὶ λβ'.) καὶ τὰς ἰδίας ἐφευρέσεις διώκοντες, καὶ σαρκὸς ἐπιθυμίας (ἀμελήσαντες ἐν τοσούτῳ, τοῦ ῥήματος, καὶ τῶν ἐντολῶν Θεοῦ) ἕτοι διὰ τῆς εὐρυχώρου ἐκείνης ὁδοῦ εἰσέρχονται, τῆς εἰς ἀπώλειαν ἀπαγούσης. Ὅσοι καὶ μετὰ τοῦ Ἀσώτου Υἱοῦ, πρὸς τὸν ἐράνιον πατέρα ἐπανέρχονται, ἄφεσιν τῶν πλημμεληθέντων, ταπεινοφρόνως ἐκ ψυχῆς αἰτούμενοι, ἕτοι σωτηρίας ἐπιτυγχάνουσιν. Ἡμεῖς δὲ τοιαύτην πρὸς Θεὸν ἐπιστροφὴν (ὡς καὶ ὑμῶν ἡ Ἁγιότης δήπου) ζητοῦμεν, μεθ' οἵας ἀληθῆ ἐπὶ σῷ Θεῷ ἐλέει πεποίθησιν συνῆφθαι, τὸν ἐν ἐρανοῖς Πατέρα, ἕνεκα τοῦ μεσίτου Χριστοῦ, τὰς ἁμαρτίας ἡμῖν δωρεὰν ἀφήσειν, καὶ πάλιν ἡμᾶς εἰς χάριν ἀναλήψεσθαι. Τοῖς γὰρ λυπουμένοις μὲν ἐπὶ τῷ ἁμαρτεῖν, θάρσος καὶ τοῦ ἄφεσιν λήψεσθαι ἀμοιρῆσιν, ἀπογνώσεως ἐπικρέμαται κίνδυνος. Καὶ οἱ, τοῦ μὲν πονηρὰ πράττειν εἰς τὸ ἔπειτα ἀπεχόμενοι, περὶ δὲ συγγνώμης διστάζοντες, ἕτοι τὸν Θεὸν ἐκ ἀγαπῶσιν, ἀλλ' ἐκ μέσης τῆς καρδίας μισοῦσιν. Ὅθεν ἐκ ἀληθῶς ἀγαθὰ ἔργα ποιοῦσιν, οἷα τῷ Θεῷ ἀρέσκειν, ἀλλ' ὑποκρίσει κεχρωσμένα. Πῶς γὰρ τὰ παρὰ προφῖσι μισυθέσ ἀνθρώπου πραττόμενα, τῷ Θεῷ ἂν ἀρέσκοι; Οἵτινες δ' οἴδασι τῶν ἁμαρτιῶν ἄφεσιν ἔχοντες, τὸν Θεὸν ἐκ πίστεως ἀγαπῶσι, καθὼς περὶ τῆς ἁμαρτωλοῦ ἐκείνης ἀποφαίνεται Χριστὸς: (Λεκ. ζ'.) τῇ αὐτῆς πολλῇ ἀγάπῃ τεκμαρτέον εἶναι, ὅτι ἀφέων-

similiter peribitis. Veram autem pœnitentiam esse conversionem ad Deum, nequaquam dubitamus. Qui enim Domino tergum vertunt, (ut scriptura loqui solet) & sectantur suas adinventiones, atque carnis desideria (neglecto interim verbo & mandato Dei) hi in lata illa via ambulant, quæ ad exitium ducit. Qui vero cum filio illo prodigo revertuntur ad Patrem cœlestem, & veniam delictorum ex animo humiliter petunt, hi salutem consequuntur. Nos autem talem conversionem (quemadmodum & vos haud dubie) requirimus, cum qua sit conjuncta vera fiducia de misericordia Dei: quod Pater cœlestis propter Mediatorem Christum sit peccata nobis condonaturus, nosque in gratiam recepturus. Qui enim dolent quidem se peccasse, sed non habent veniæ consequendæ fiduciam: illis periculum desperationis imminet. Et ii, qui a sceleribus quidem sibi posthac temperant, sed tamen de venia dubitant: Deum non diligunt, sed in cordium suorum intimis recessibus Deum oderunt. Itaque non vere bona, & Deo placentia, sed hypocritica opera, faciunt. Quomodo enim ea opera Deo probarentur, quæ ab homine, qui Deum occulte odit, proficiscuntur? Qui autem sciunt, sibi peccata remissa esse, hi Deum ex fide diligunt: sicut Christus de illa muliere peccatrice docet (Luc. 7.), ex illius multa dilectione colligendum esse, quod multa ei peccata fuerint dimissa. Quare in descriptione pœnitentiæ seu conversionis, fides (de remissione pec-

ωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί. Ἐν τῇ διαγραφῇ τοιγαρῶν τῆς μετανοίας, ἤτοι ἐπιστροφῆς, τὴν περὶ ἁμαρτιῶν διὰ Χριστὸν ἀφέσεως πίστιν, σιγῇ ἃ μὴ παραπεμπτέον.

Περὶ δὲ τῶ ἐξαγορεύειν τὰ ἁμαρτήματα, ὁμολογοῦμεν καὶ ἡμεῖς ἑτοίμως, ἀναγκαῖον εἶναι, τὸ ἄνθρωπον αὐτὰ ἐξομολογεῖσθαι. Τίνι δέ; τῷ Θεῷ τῷ τὰ τραύματα ἰᾶσθαι δυναμένῳ καθάπερ ὁ μέγας τῆς Ἐκκλησίας φωστὴρ Χρύσοστομος διδάσκει. Ὥσπερ δὲ ἐδένα κωλύομεν, τὰ ἑαυτῶ πλημμελήματα, ἢ ἐκ μέρους, ἢ καὶ πάντα (ὅσων γε ἀνάμνησιν ἔχειν δύναται, ἢ ὅσα μάλιστα τῷ αὐτῷ συνειδότι) τῷ ἱεροδιακόνῳ ἐξαγορεύειν, ἔτως ἐδένα πρὸς τοιαύτην τῶν ἁμαρτιῶν ἀπαρίθμησιν ἐδενὶ νόμῳ, ἀναγκάζομεν. διὰ τί; διότι νόμον, ἢ ἐντολὴν Θεῦ τῶδέ γε πέρι, ἐδεμίαν ἔχομεν. Ὥστε ἐδὲ τὴν τοιάνδε ἐξομολόγησιν ἐπισπέρχομεν, ὡσανεὶ εἰς σωτηρίαν, ἢ τῶν ἁμαρτιῶν ἀφέσεως ἐπίτευξιν, ἀναγκαίαν. Στέργομέν τε, εἴ τις γενικῶς μὲν, ἐκ ψυχῆς δὲ, Ἐκκλησίας διακόνῳ ἐξομολογήσηται ἁμαρτωλὸς εἶναι, ἐνδιαθέτως ἐπὶ τοῖς ἁμαρτήμασι λυπεῖσθαι, πιστεύειν ἐπὶ Χριστῷ μεσίτῃ, καὶ τῶν ἁμαρτιῶν ἐξαλείπτῃ, βέλεσθαι τὸν βίον ἐπὶ τὸ βέλτιον διορθοῦσθαι, καὶ τῶν σφαλμάτων ἄφεσιν αἰτεῖν. Ἀλλὰ καὶ ὅλη ἄρα ἡ τῦ λαῦ σύναξις, πρὶν τῦ Κυριακῦ μεταλαβεῖν δεῖπνυ φθάνειν εἴωθε τοιαύτην γενικὴν τῶν ἐσφαλμένων ἐξαγόρευσιν ποιεμένη, τῦ διακόνυ τῇ συναγωγῇ προηγεμένυ τῶν ῥημάτων, οἷς αὐτὴ ἑαυτὴν ἔμπροσθεν τῦ Θεῦ, πολλῶν ἁμαρτημάτων ἔνοχον παρισάνουσα, μετὰ ταπεινώσεως δεῖται συγγνώμης, ἢ ἐξα-

catorum propter Christum) non est silentio prætereunda.

Jam, quod ad Confessionem peccatorum attinet: fatemur etiam nos libenter, necessarium esse, ut homo peccata sua confiteatur, sed Deo, qui ea vulnera sanare potest, quemadmodum lumen illud Ecclesiæ præclarum, Chrysostomus docet. Vt autem nemini prohibemus, quo minus ipsi liceat, vel aliqua, vel omnia sua peccata (quæ quidem in memoriam revocare potest, aut quæ præcipue ejus conscientiam torquent) Ecclesiæ Ministro confiteri: ita neminem ad ejusmodi peccatorum enumerationem lege aliqua cogimus. Quia legem, aut præceptum Dei, de ea re, nullum habemus. Quare etiam talem confessionem non urgemus, tanquam esset necessaria ad salutem, seu ad consequendam peccatorum remissionem. Ac sumus contenti, si quis generaliter, serio tamen, coram Ecclesiæ ministro confiteatur, se peccatorem esse, dolere ex animo de peccatis admissis, credere in Christum Mediatorem, & peccatorum expiatorem: velle vitam suam in melius emendare, & petere absolutionem a peccatis. Sed & tota Ecclesia, ante sumptionem Cœnæ Dominicæ solet præmittere talem generalem peccatorum confessionem, præeunte videlicet Ministro Ecclesiæ, verbis, quibus se Ecclesia coram Deo multorum peccatorum ream fatetur, & humiliter veniam petit: quam Confessionem (tam pu-

ἐξαγορεύσει (τῇ τε ἰδίᾳ, καὶ τῇ δημοσίᾳ) ἐπεται λοιπὸν ἀπὸ τῶν ἁμαρτιῶν ἀπόλυσις. Κατὰ τοῦτον τὸν τρόπον, οἱ Ἰσραηλῖται παρὰ τῷ Ἰορδάνῃ τὰς ἑαυτῶν ἁμαρτίας ἐξομολογήσαντο, (Ματθ. γ'.) λέγοντες, δεινῶς καὶ πολυμερῶς τῷ Θεῷ προσκόψαι, καὶ συγχώρησιν λιπαροῦντες αἰτεῖν. Εἰ γὰρ Ιωάννης (ὡς καὶ οἱ ἀπόστολοι, ἐπὶ τῆς Πεντηκοστῆς) ἑνὸς ἑκάστου τὰ ἁμαρτήματα καθ' ἕκαστον (τοσούτων χιλιάδων, πρὸς αὐτὸν συνερρυηκυιῶν) ἀκροᾶσθαι καὶ ἐξετάζειν ἀνάγκην ἔχε, τί ἂν ἐκείνων τῶν ἐξομολογήσεων ἐγένετο πέρας, ἢ μέτρον, Οὐδὲ γε ἑκατὸν ἱερομύσαι, (μήτι γε, δὴ εἷς ὁ Ἅγιος Πρόδρομος), εἰς τοσοῦτον πλῆθος ἐξαγορεύσεων ἤρκησαν ἄν. Οὐδαμῶ τοίνυν, ἢ τοῦ Χριστοῦ, ἢ τῶν Ἀποστόλων, ἐπιταξάντων, τὰ πλημμελήματα καθ' ἓν τῷ πνευματικῷ ἀπαριθμεῖσθαι, ἐκ ἀξιοῦμεν ἡμεῖς, τὸν βρόχον τοῦτον ταῖς συνειδήσεσιν ἐπιβάλλειν, ὥστε νομίζειν, τὰς ἁμαρτίας μὴ ἀφίεσθαι, ἐὰν μὴ τῷ Ἱερεῖ κατὰ μίαν ἐξομολογημέναι τύχωσι. Τοιαῦτα γὰρ ἐνίοτε παρὰ ἐνίων ἁμαρτάνεται, οἷα μὴ χωρὶς κινδύνου ζωῆς, πνευματικῷ (ἄλλως τε, καὶ μὴ ἐχεμυθεῖν δυναμένῳ) πιστεύεσθαι, καὶ ἐυρεθεῖεν ἂν τινες, καὶ τὸ ἀποθνήσκειν, τοῦ φανεραὰν ὡτινιοῦν ἄλλῳ καθιστᾶν τὴν ἑαυτῶν αἰσχύνην, προαιρέμενοι. Οὗτοι δ' ὑπ' ἀπογνώσεως ἂν καταποθεῖεν, εἰ ἀκούσειαν, τὰς ἁμαρτίας ἑαυτοῖς μὴ ἀφίεσθαι, μὴ ἐξεπῆσιν Ἱερεῖ. Ἀρκετὴν δὲ πιστεύομεν ἐπὶ σωτηρίαν, τὴν πρὸς Θεὸν ἐξομολόγησιν· ὃς καὶ βέλτιστα τὰ σφάλματα ἡμῶν οἶδε, καὶ τοῖς μετανοοῦσιν ἀφίησι. Περὶ ταυτησὶ τῆς ἐξαγορεύσεως, ἔχομεν παντὸς ἀξίαν καὶ γλυκυτάτην ἐπαγγελίαν, τὴν (ἁ. Ιωάν. ά.)

publicam, quam privatam) ſequitur deinde abſolutio. Ad hunc modum Iſraelitæ ad Jordanem confeſſi ſunt peccata ſua (Matth. 3.): fatentes, ſe Deum graviter & multum offendiſſe, & ſuppliciter veniam petere. Si enim Joannes (ut & Apoſtoli, die Pentecoſtes) ſingulorum ſingula peccata (quando tot hominum millia ad ipſum confluxerunt) audire & exquirere debuiſſet: quis fuiſſet tandem iſtarum Confeſſionum finis, aut modus? Neque ſane centum concionatores (nedum unus Joannes Baptiſta) tot Confeſſionibus audiendis ſufficiſſent. Quare, cum nuſquam Chriſtus, aut Apoſtoli, præceperint ſingula peccata Sacerdoti recitanda: nolumus nos laqueum illum conſcientiis injicere, ut exiſtiment, peccata non condonari, niſi coram Sacerdote commemorentur. Talia enim interdum ab hominibus peccata committuntur, quæ non ſine vitæ periculo homini (præſertim non taciturno) committi poſſunt: & invenire eſt peccatores, qui mori malint, quam ſuam turpitudinem cuiquam hominum revelare. Hi deſperationi involverentur, ſi audirent: peccata ſibi non remitti, niſi ea Sacerdoti confiterentur. Sufficere igitur credimus ad ſalutem, eam confeſſionem peccatorum, quæ Deo fit: qui & peccata noſtra optime novit, & ea pœnitentibus condonat. De hac Confeſſione præclara & dulciſſima extat promiſſio (1 Joan. 1.): Si confiteamur peccata noſtra: fidelis eſt & juſtus, ut remittat nobis

Ἐὰν

Ἐὰν ὁμολογῶμεν τας ἁμαρτίας ἡμῶν, πιστός ἐστι, καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Καὶ Δαβὶδ. (Ψαλ. λά.) φησὶν, Εἶπα, ἐξαγορεύσω κατ' ἐμὲ τὸν ἀνομίαν μὲ τῷ ΚΥΡΙΩι, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μὲ. Τοσούτων τε παραδειγμάτων ἀληθῶς μετανοίας, ἐν τῇ τῶν Ἀποστολικῶν πράξεων βίβλῳ ἱστορηθέντων, ἁθαμῶ ἁδεὶς πάσας τὰς ἑαυτῦ ἁμαρτίας ἀπαριθμησάμενος ἐυρίσκεται. Διὰ ταῦτα, ᾧ ἡμεῖς ἔθει περὶ τὸ πρᾶγμα τῦτο χρώμεθα, τῦτο, μάλιστα πάντων τῇ τῆς πρωτοθέτε Ἐκκλησίας πράξει συμβαῖνον φανερόν ἐστιν, ἄλλως τε, καὶ ἐπειτῦτο (ἅπερ τῷ ἱεροψάλτῃ πιστεύομεν, ὥσπερ ἓν ὀφείλομεν) καὶ γενέθαι ἀνένδεκτόν ἐστιν, εἰπόντος, Παραπτώματα τὶς συνήσει, καὶ ἐυθὺς πάλιν, Ἐκ τῶν κρυφίων μὲ καθάρισόν με, κύριε.

nobis peccata noſtra, & emundet nos ab omni iniquitate. Et Davíd (Pſ. 31.) ait: Dixi, confitebor adverſum me injuſtitiam meam Domino, & tu remiſiſti iniquitatem peccati mei. Et cum tot exempla veræ pœnitentiæ in libro Actuum Apoſtolicorum recitentur: nusquam tamen commemoratur, quod quisquam omnia ſua peccata enumeraverit. Quare eum morem, quem nos in hac re obſervamus, omnium maxime cum primitivæ Eccleſiæ praxi convenire certum eſt: præſertim cum hoc (ſi Davidi credimus, ſicut certe debemus) ne fieri quidem poſſit, cum ille dicat: Delicta quis intelligit: Et. rurſus, Ab occultis libera me, Domine.

Επειτα, πρὸς ἀληθινὴν μετάνοιαν, καὶ τὸ ἀποσῆναι τῶν κακῶν ἐπιζητῦντες, καλῶς λέγετε, εἴπερ ἐπὶ καρπῶν τῆς μετανοίας αὐτὸ ἐκδέχεθε. Καλεῖ γαρ τὴν ἀπὸ τῦ κακῦ ἀπόστασιν, καρπὸς μετανοίας, ὁ Βαπτιστὴς Ἰωάννης, λέγων. (Ματθ. γ'.) Ποιήσατε καρπὸς ἀξιος τῆς μετανοίας. Τὸ γὰρ ἀπέχεθαι τῶν ἁμαρτιῶν, καὶ τὸ περι τὰ ὄντως καλὰ ἔργα σπεδάζειν, ἡμᾶς ἐκ ψυχῆς μαρτυρεῖ μετανοῆσαι, ὥσπερ δὴ ἀγαθῦ δένδρε μαρτύριόν εἰσι καλοὶ καρποί. Οἱ γὰρ, ἁδεῶς μὲν ταῖς ἑαυτῶν πονηρίαις προβαίνοντες, τέως δὲ μετανοεῖν κομπάζοντες, ἔτοι ἐχ ὅπως μετάνοιαν ποιῦντα, ἀλλὰ καὶ καταγελῶσι τῦ Θεῦ. Οὐχὶ δ' ἡμῖν ἐνταῦθα λόγος περὶ τῶν, καλὴν μὲν ἐχόντων τὴν πρόθεσιν, δι' ἀθένειαν δὲ τῆς σαρκὸς, ἔσιν ὅτε εἰς ἁμαρτίας αὖθις ὑπτιαζόντων. Τὲς τοιῦτες γὰρ ὁ τοῖς ἀπηλπισμένοις ἐγκατατάξαι δεῖν,

Quod ad veram pœnitentiam, etiam diſceſſum a malo requiritis: recte dicitur, ſi id de fructibus pœnitentiæ accipiatur. Joannes Baptiſta enim, iſtum a malo diſceſſum, vocat fructus pœnitentiæ, cum dicit (Matth. 3.): Facite fructus, qui deceant pœnitentiam. Abſtinentia enim a peccatis, & ſtudium vere bonorum operum, teſtantur, nos ex animo reſipuiſſe: quemadmodum boni fructus ſunt teſtes bonæ arboris. Etenim qui in ſceleribus ſuis ſecure pergunt, & interim de pœnitentia gloriantur, hi non pœnitentiam agunt, ſed Deum irrident. Non eſt autem nobis nunc ſermo de iis, qui bonum habent propoſitum, & tamen quandoque ex infirmitate carnis in peccata relabuntur. Hos non pro deplo-

δεῖν, ἀλλ' ἐν πνεύματι πραότητος καταρτίσαι, ἔγνωτε.

Τὸ δ' ὑμᾶς, ἐν τῷ τῆς μετανοίας μυστηρίῳ, καὶ τὸ Μοναστικὸν σχῆμα εἶναι λέγειν, τοῦτο ἡμῖν ἄλλως δοκεῖ. Μίαν γὰρ, καὶ τὴν αὐτὴν, τὸ ἀληθῶς μετανοεῖν ὁδὸν καὶ τρόπον, πᾶσι τοῖς χριστιανοῖς ἡ θεόπνευστος γραφὴ εἰσηγεῖται, οὐδὲ διάφορα μετανοίας εἴδη παραδίδωσιν. Εἰ τοίνυν ἡ τῶν Μοναχῶν πολιτεία, μέρος τι τῆς μετανοίας ἦν, πᾶσιν ἂν τοῖς χριστωνύμοις ἀνάγκη γένοιτο, μοναδικὴν κατάστασιν ἀναιρεῖσθαι, ὅπερ οὐδὲ ὑμεῖς λέγοιτ' ἄν. Εἰ δὲ γνησίαν μετάνοιαν, καὶ χωρὶς τοῦ μονάζειν πράττεσθαι ἔνι, τοῦτ' κινδυνεύει τῆς ζωῆς τὸ εἶδος, ἀλλοῖόν τι τῆς μετανοίας εἶναι, οὐδὲ μετανοεῖν ἧττον, τὸν καὶ μὴ μοναχὸν ὄντα, τοῦ τὴν πολιτείαν ταύτην ἐπανελομένου. Ἀλλὰ περὶ τῆς Μοναστικῆς, εἰσαῦθις ἐν ἰδίῳ τόπῳ εὐθετώτερον καὶ πλατύτερον λεξομεν.

ratis habendos, sed spiritu mansuetudinis instaurandos esse, nostis.

Quod autem in mysterio pœnitentiæ, etiam vitæ Monasticæ ordinem contineri putatis: ea in re nos diversum sentimus. Unam enim & eandem rationem agendi veram pœnitentiam, sacra Scriptura omnibus Christianis præscribit, neque diversas (ut sic loquamur) pœnitentias docet. Quare si ordo Monasticæ vitæ, pars aliqua pœnitentiæ esset: tum omnes Christiani necesse haberent ordinem Monasticum suscipere: quod etiam vos non dicitis. Sin vera pœnitentia, sine vita Monastica agi potest: sequetur, id vitæ genus diversum quiddam a pœnitentia esse: neque eum minus pœnitentiam agere, qui non sit Monachus, quam eum, qui Monasticam vitam est amplexus. Sed de Monastica infra suo loco copiosius & commodius dicetur.

ΠΕΡΙ ΑΓΙΟΥ ΕΛΑΙΟΥ, ΚΑΙ ΧΡΙΣΕΩΣ ΤΕΛΕΥΤΑΙΑΣ.

„Τὸ δ' ἅγιον ἔλαιον, πιστεύετε παρα„δοθῆναι καὶ αὐτὸ ὡς ἱερὰν τελε„τὴν, καὶ θείᾳ τύπον ἐλέᾳς, ὅπερ εἰς „ἀπολύτρωσιν καὶ ἁγιασμὸν, τοῖς ἀπὸ „ἁμαρτίας ἐπιστρέφουσι χορηγεῖσθαι. Διὸ καὶ λύσιν παρέχειν ἁμαρτιῶν, καὶ ἐξ „ἀῤῥωστημάτων ἐγείρειν.

Ἡμῖν δὲ, ἁγιώτατε Κύριε, διὰ μεγάλας αἰτίας ἑτέρας ταύτας, ἔγνωσται, τὸ ἔλαιον τοῦτ' ἐν τοῖς μυστηρίοις παραδοθῆναι, ἑαυτοὺς οὐ πείθειν δυναμένους. Οὐδαμοῦ

DE SACRO OLEO, SEV unctione extrema.

„Sacrum oleum inter Sacramenta tra„ditum esse, ut divinæ misericordiæ „signum, creditis, quod Redemptio„nis & sanctificationis causa homini, se „a delictis & peccatis convertenti, im„pertiatur: ideoque etiam remissionem „peccatorum afferre, & ex infirmitati„bus corporis erigere, existimatis.

Nos vero, Charissimi, gravibus de causis diversum sentimus. Atque oleum illud inter Sacramenta traditum esse, persuadere nobis non possumus. Nus-

μᾶ γὰρ ὁ Κύριος τὴν τελευταίαν ἐκείνην χρίσιν διατάξάμενος ἀνέγνωσαν, ὥσπερ τὰ τᾶ βαπτισμᾶ, καὶ τᾶ Ἱερᾶ δείπνᾳ, μυςήρια διέθετο. Γνωςὸν μὲν ἡμῖν, τὰς Ἀποςόλας, τὸ πρῶτον (πρὸ τᾶ Κυριακᾶ πάθας Μάρκ. ς'.) ἐκπεμφθέντας, τινὰς ἀῤῥωςήσαντας ἐλαίῳ ἀλεῖψαι, καὶ θεραπεῦσαι, τᾶτο δὲ, τοῖς ἐκείνα τᾷ καιρᾷ θαυματεργήμασι προσῆκεν, ὧν παυσαμένων, εἰκότως καὶ ἡ τοιάδε ἄλειψις πάυεται. Καὶ, καθάπερ ὁ ἐκ τᾶ πτύσματος πηλὸς, ὁ παρὰ τᾶ Κυρίᾳ ἐπὶ τὰς τᾶ τυφλᾶ ὀφθαλμὰς ἐπιχριθεὶς, ἐκ ἔςι μυςήριον, ὁμοίως, οὐδὲ τὸ ἔλαιον, ᾧ οἱ ἄῤῥωςοι ἠλείφοντο, ἵνα διὰ θαύματος, τὴν ὑγίειαν τᾶ σώματος (ὥσπερ ὁ τυφλὸς ἐκεῖνος, τὴν ἀνάβλεψιν) ἀπολάβοιεν. Οὐδὲ τύπος θείᾳ ἐλέᾳς, τἔλαιον ἐκεῖνό ἐςι, διότι τοῖς τοιᾶτοις τᾶ θείᾳ ἐλέᾳς ἐξωτερικοῖς σημείοις, δεῖ ῥητῆς καὶ φανερᾶς ἐπαγγελίας θείας, οἵα ἐςὶν ἐκείνη (ἵνα διὰ παραδείγματος δηλώσωμεν) ἡ περὶ τᾶ βαπτίσματος, Ὁ πιςεύσας καὶ βαπτισθεὶς, σωθήσεται. Τοιᾶτον δ' οὐδὲν περὶ τᾶ ἐλαίᾳ τῆς ἐπιχρίσεως, ἐν τοῖς θείοις γράμμασι φέρεται. Οὐ δύναται δ' ἡ πίςις πρᾶγμά τι ἐξωτερικὸν λαμβάνειν καὶ ἀσπάζεθαι ὡς θείᾳ ἐλέᾳς τύπον, μὴ ἔχουσα θᾶον ῥῆμα, ᾧ ἂν ἐπερεισθῇ. Οὐδ' αὖ χρεία ἐςὶ, τὸ ἔλαιον ἐκεῖνο, ἀπολυτρώσεως καὶ ἁγιασμᾶ ἕνεκεν ἀνθρώπῳ, ἀπὸ τῶν πταισμάτων ἐπιςρέφοντι, χορηγεῖθαι.

Ἰδὲ γὰρ, οἱ πρὸς τὸν Κύριον ἀληθεῖ προθέσει ἐπιςρέφοντες, ἤδη ἀπολελύτρωνται, ὑπό τε τᾶ Ἁγίᾳ Πνεύματος ἡγιασμένοι τυγχάνουσιν, ἅτε αὐτοῖς, ὡς ναοῖς θεᾶ, ἐνοικοῦντος. Ὅσον γὰρ

quam enim legimus, quod Chriſtus inſtituerit illam extremam unctionem: ſicut inſtituit Sacramentum Baptiſmi, & Sacramentum Cœnæ Dominicæ. Novimus quidem, quod Apoſtoli, cum primo (ante paſſionem Chriſti Marc. 6.) emitterentur, quoſdam ægrotos oleo unxerint, eosque ſanaverint: ſed illa ceremonia, ad miracula ejus temporis pertinebat: quibus ceſſantibus, merito etiam ceremonia illa ceſſat. Et ut ſputum cum pulvere mixtum (quo Chriſtus cæci oculos illinere voluit) non eſt Sacramentum: ita nec oleum, quo ægri ungebantur, ut miraculo ſanitatem corporis (ſicut cœcus ille viſum) reciperent. Neque oleum illud eſt divinæ miſericordiæ ſignum: quia talia externa, miſericordiæ divinæ ſigna, debent habere expreſſam promiſſionem divinam, qualis eſt illa (verbi gratia) de Baptiſmo: Qui crediderit & baptizatus fuerit, ſalvus erit. Tale nihil in ſacris literis de oleo illo legitur. Fides autem non poteſt rem aliquam externam apprehendere, & amplecti pro ſigno divinæ miſericordiæ: niſi habeat verbum Dei, cui inniti poſſit. Neque opus eſt, ut illud oleum, Redemptionis & ſanctificationis cauſa homini a peccatis & delictis ſe convertenti, impertiatur.

Qui enim vere ad Dominum convertuntur, jam ſunt redempti, & Spiritu ſancto ſanctificati: quippe qui in ipſis, tanquam in templis Dei, habitat. Quod enim ad remiſſionem peccatorum atti-

γὰρ ἐπὶ ἄφεσιν ἁμαρτιῶν, μαρτυρεῖ Πέτρος, αὐτὴν γίνεσθαι πᾶσι βεβαίως, τοῖς εἰς Χριστὸν πιστεύουσι. Καὶ περὶ τῶν ἐπεστραμμένων Κορινθίων (α. Κεφ. ε'.), Ταῦτά τινες ἦτε, φησὶν, ἀλλὰ ἀπελέσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν. Τούτων οὐδὲν φησιν ἡ γραφὴ διὰ τοῦ ἐλαίου χορηγεῖσθαι, οὐδέ γε Παῦλος, ἐν οὐδεμιᾷ τῶν ἑαυτοῦ ἐπιστολῶν, οὐδεμίαν τοῦ ἐλαίου μνείαν ἐποιήσατο, καίτοι γε καὶ περὶ μικρῶν, εἰς ἀληθινὴν εὐσέβειαν φερόντων τι, διαλαβών. Οὐδ' αὖ Ἰάκωβος ἄφεσιν ἁμαρτιῶν, τοῖς ἀλειφθεῖσι χορηγεῖσθαι παρὰ τοῦ ἐλαίου τοῦτο λέγει (Κεφ. ε.) ἀλλὰ τοῦτό ἐστι τὸ φθέγμα αὐτοῦ. Ἀσθενεῖ, φησι, τὶς ἐν ὑμῖν, προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ ΠΡΟΣΕΥΞΑΣΘΩΣΑΝ ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου, καὶ Η ΕΥΧΗ ΤΗΣ ΠΙΣΤΕΩΣ σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος, κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσονται αὐτῷ. Ἐνθάδε τὴ τῆς πίστεως εὐχὴ προσῆπται, διαπράττεσθαι αὐτὴν, τῶν ἁμαρτιῶν ἄφεσιν, ἐκ πίστεως ὅμως καὶ τοῦ κάμνοντος προσευχομένου. Ἡ δὲ δι' ἐλαίου ἀλειψις, θαυμαστῆς ἦν τοῦ νοσοῦντος σώματος εἰς τὴν πάλαι ὑγίειαν ἀποκαταστάσεως, ἥτις ἐν τῇ πρώτῃ τότε Ἐκκλησίᾳ, ἐπὶ βεβαιώσει τοῦ Εὐαγγελικοῦ κηρύγματος, πολλοῖς ἐγίνετο. Ἐφ' ἡμῶν δὲ ἰσήμερον, διαβεβαιωθέντος ἤδη τοῦ Εὐαγγελίου διὰ θαυμάτων, οὐδένα τῶν πάντων ὁρῶμεν ἀπὸ τῆς τελευταίας ἐκείνης χρίσεως δεόμενον, ἢ ὑγιαίνοντα. Λωφησάντων ἓν τῶν θαυματουργημάτων, εὔλογον πάνυ κρίνομεν, λωφᾶν καὶ τὴν χρῆσιν τοῦ μέσου, δι' οὗ πάλαι ἐθαυματουργεῖτο. Μη-

attinet: teſtatur Petrus, eam contingere certo omnibus, qui in Chriſtum credunt. Et de converſis Corinthiis dicit Paulus (1 ep. Cap. 6.): Hæc eratis quidam, ſed abluti eſtis, ſed ſanctificati eſtis, ſed juſtificati eſtis, per nomen Domini Jeſu, & per Spiritum Dei noſtri. Horum nihil dicit Scriptura per oleum conferri: neque Paulus in omnibus Epiſtolis ſuis olei mentionem facit: cum tamen de rebus minutis etiam, ad veram pietatem aliquid facientibus, differat. Neque oleum illud, remiſſionem peccatorum unctis conferre dicit Jacobus (Cap. 5.) ſed ſic loquitur: Infirmatur quis inter vos? Accerſat Presbyteros Eccleſiæ, & orent ſuper eum, ungentes eum oleo in nomine Domini: & obſecratio fidei ſalvum reddet laborantem, & eriget eum Dominus, &, ſi peccata commiſerit, remittentur ei. Hic obſecrationi fidei tribuitur, quod impetret remiſſionem peccatorum: ſi tamen æger ipſe etiam ex fide oret. Olei vero unctio pertinebat ad miraculoſam reſtitutionem ſanitatis corporalis: quæ in primitiva Eccleſia (pro confirmanda doctrina Evangelii) multis contingebat. Hodie (confirmato jam Evangelio Chriſti, per miracula) non videmus quenquam ex unctione illa extrema melius habere, aut convaleſcere. Quare ceſſantibus miraculis, judicamus etiam ceſſare debere uſum ejus medii, per quod olim miracula edebantur. Cum igitur olei uſus non amplius ſit neceſſarius

κέτι τοίνυν ἀναγκαίας ἔσης ἐν τῇ Ἐκκλησίᾳ. τῆς τὲ ἐλαίε χρήσεως, τῶν δὲ μυςηρίων, ἀεὶ τῇ Ἐκκλησίᾳ ἀναγκαίων ὄντων, διὰ ταῦτα, τὴν τελευταίαν χρίσιν τοῖς Μυςηρίοις ἡμεῖς ἐκ ἐντάττομεν.

Κἂν δὲ τὸ χρίσμα τὲτο παραλείπωμεν, ὅμως ἐδὲν τῶν εἰς σωτηρίαν τὲ ἀῤῥώςε Φερόντων παραλείπομεν. Ἐπικινδύνως γάῤ τινος παῤ ἡμῖν ἀΘενῦντος, καλεῖται Ἐκκλησίας διάκονος, ὃς, ἐπὶ ἄλλων ἐυσεβῶν αὐτόσε συνελΘόντων, παραινεῖ τῷ κατακειμένῳ, τὰ ἑαυτὲ ἁμαρτήματα ἐπιγινώσκειν, καὶ ὀλοφύρεΘαι, πᾶσαν ἑαυτὲ τὴν πεποίΘησιν ἐπὶ Χριςῷ τίΘεΘαι, ἀληΘινὴν τὲ βίε διόρΘωσιν, ἐὰν ὁ Θεὸς ἐπιπλέον ἐν τῇ νῦν ζωῇ μένειν αὐτὸν Θελήσῃ, ἀναιρεῖΘαι. Εἶτα δὲ, προηγησαμένης γενικῆς τῶν ἐπταισμένων ἐξαγορεύσεως, καὶ ἀκολΘησάσης αὐτῶν ἀπολύσεως, τῆς ἱεροαγίας κοινωνίας, ἐπὶ τῆς ἰδίας πίςεως τερεώσει, ἀξιῶται. ΠροτίΘενται αὐτῷ παραμυΘίαι τὲ Θείε ῥήματος γλυκύταται, περὶ ἀΦέσεως ἁμαρτιῶν, περὶ ἧς ἡμῖν περιεποιήσατο Χριςὸς αἰωνίε σωτηρίας, περὶ νεκρῶν ἀναςάσεως, περὶ ἃ ποτε ληξάσης μετὰ τὰς ἐν τῷ παρόντι τι ΘλίΨεις προσδοκίμε μακαριότητος. ἘπιτίΘενται Θεοσεβεῖς, ὑπὲρ τὲ ἀΘενῦς, τῆς τε ψυχῆς, καὶ τὲ σώματος, σωτηρίας, προσευχάί. Εἰσὶ δὲ, οἳ αὐτῷ παραμένσι (μάλισα, τὲ Θανάτε μᾶλλόν τι προσεγγίσαι δοκῦντος) τὴν μὲν πίσιν αὐτὲ, Θείαις παρακλήσεσιν ἐπιῤῥωννύντες, μετὰ δε αὐτὲ καὶ ὑπὲρ αὐτὲ ἕως τῆς ἐσχάτης ἀναπνοῆς προσευχόμενοι. Ταυτηνὶ, μακρῷ πασᾶν σωτηριωδεςάτην, ἐπίχρισιν ἡμεῖς γε πισέυομεν, ἄνΘρωπόν γε εἰς αἰώνιον ζωὴν παραπέμπεσαν.

rius in Eccleſia; Sacramenta vero ſemper ſint neceſſaria in Eccleſia: ideo unctionem illam extremam, inter Sacramenta non numeramus.

Etſi autem extremam illam unctionem omittimus: tamen idcirco nihil eorum, quæ ad ſalutem ægri promovendam faciant, negligimus. Si quis enim ex periculoſo morbo apud nos decumbat: vocatur Eccleſiæ miniſter. Is convenientibus & præſentibus aliis piis hominibus, admonet ægrum, ut peccata ſua agnoſcat & deploret, ut omnem fiduciam ſuam in Chriſtum collocet, ut veram vitæ emendationem ſibi proponat, ſi Dominus eum diutius in hoc mundo vivere velit. Exhibetur illi (poſt generalem factam & recitatam abſolutionem) ſacra Cœna Domini, ad fidei ſuæ confirmationem. Proponuntur illi ſuaviſſimæ conſolationes e verbo Dei: de remiſſione peccatorum, de æterna ſalute per Chriſtum nobis parta, de mortuorum reſurrectione: de æterna felicitate, quam poſt hujus vitæ ærumnas expectamus. Adduntur piæ preces, pro ſalute ægroti, tam animæ, quam corporis. Neque deſunt, qui cum ægro maneant, (præſertim, ubi mors accedere propius videtur) & ex ſacris literis fidem ejus confirment: atque cum illo, & pro illo orent, donec extremum Spiritum emittat. Hanc nos longe omnium ſaluberrimam unctionem eſſe credimus, quæ hominem in vitam æternam dimittat.

Mu-

Μυστήρια τοίνυν ἐκεῖνα τὰ δύο, ὧν αὐτὸς νομοθέτης ὁ Χριστὸς, τό, τε βάπτισμα, καὶ τὸ τῦ Κυρίε δεῖπνον, ἡμῖν ἀρκεῖ. Ταῦτα γὰρ ἐπαγγελίαν ἔχεσι θείαν, ἡμᾶς, ἐυσεβῶς αὐτοῖς χρωμένες, ἄφεσιν ἁμαρτιῶν λαμβάνειν, καὶ ἁγιάζεθαι. Ταῦτα εἰς τῦτο παρὰ Χριστῦ νενομοθέτηνται, ὅπως τῇ Ἐκκλησίᾳ διὰ διηνεκῦς μεταχειρίσεως ἐμμείνωσιν, ἕως τῆς ἐσχάτης ἡμέρας, μέχρις ἂν, κρινῶν τὲς ζῶντας καὶ νεκρὲς, ὁ Κύριος ἐπανέλθῃ. Τέτοις τοῖς δυσὶ μυστηρίοις, ἐ μόνον αἱ ψυχαὶ, ἀλλὰ καὶ τὰ σώματα ἡμῶν, καθαγιάζονται, εἰς τὸ γενέθαι ἱερὸι ναοὶ τῦ Θεῦ. Τέτοις ἡ πίστις ἡμῶν βεβαιῦται, ἡ ἐλπὶς τρέφεται, ἡ ἀγάπη ἀνάπτεται, ὁ Σατανᾶς ἀπελαύνεται, ὁ κόσμος μετὰ τῆς σαρκὸς καταπολεμεῖται. Περὶ τέτων τῶν δύο, τῷ Σωτῆρι καὶ Κυρίῳ ἡμῶν Ἰησῦ Χριστῷ ἐξ ὅλης τῆς ψυχῆς ἐυχαριστῦμεν, ἀνθ' ὧν φιλανθρωποτάτη συγκαταβάσει χρησάμενος, τοῖς τοιέτοις ὀφθαλμοφανέσι μυστηρίοις, ἡμῶν τῇ ἀθενείᾳ βοηθεῖν ἠξίωσε.

Sacramentis igitur illis duobus, ab ipso Christo institutis Baptismo & Cœna Domini, contenti sumus. Hæc enim habent promissionem divinam: quod per eorum pium usum remissionem peccatorum accipiamus, & sanctificemur. Hæc ideo a Christo instituta sunt, ut eorum usus in Ecclesia maneat, usque ad diem novissimum: donec redeat Christus, judicaturus vivos & mortuos. Hæc duo Sacramenta non modo animas, verum etiam corpora nostra, sanctificant, ut fiant sacra Dei templa. His duobus Sacramentis fides nostra confirmatur, spes alitur, Charitas accenditur, Satanas profligatur, Mundus & caro devincuntur. Pro his Domino, & Servatori nostro Jesu Christo, ex animo gratias agimus, quod se ad captum nostrum quasi demittens, Sacramentis illis, in oculos incurrentibus, nostræ infirmitati succurrere sit dignatus.

ΠΕΡΙ ΕΠΙΚΛΗΣΕΩΣ τῶν ἁγίων.

Τοὺς ἁγίες ἐκ ἐπικαλέμεθα, διότι ἐδεμίαν τέτε πέρι θείαν πρόσαξιν, ἐδὲ παράδειγμα, ἐκ τῶν θεοπνεύσων γραφῶν ἐυρίσκομεν. Μᾶλλον μὲν ἓν Ἡσαΐας λέγει, (Κεφ. ξγ'. Ἀβραὰμ καὶ Ἰσραὴλ) τὲς ἀγιωσύνη πρέχοντας Πατριάρχας) ἀγνοεῖν τὰ παρ' ἡμῖν ἐπὶ τῆς γῆς πραττόμενα. Ὅθεν καὶ παραχρῆμα τὴν ἐυθεῖαν ὁ προφήτης, αὐτόθι ἐπὶ τὴν παρὰ τῷ ἐρανίῳ Πατρὸς βοήθειαν καταφεύγει.

DE INVOCATIONE Sanctorum.

Sanctos non invocamus, propterea quod nullum ea de re mandatum divinum, aut exemplum, in sacris literis reperiamus: quin potius Isaias dicat (Cap. 63.): Abrahamum & Israelem (sanctissimos certe Patriarchas) ignorare, quid apud nos in terris agatur. Unde & Propheta, eo ipso loco recta ad Patris cœlestis opem confugit.

Ἰσέον ἔν, αἰδεσιμώτατε Κύριε, τὰς λόγους, οἷς κατασκευάζειν τὴν ἐπίκλησιν τῶν Ἁγίων πειρᾶσθε. (καὶ πρᾴως δέχοισθε, παρακαλοῦμεν) ἃ πληροῖν τὴν ἡμετέραν συνείδησιν, οὐχ ἱκάνας τὴν διάνοιαν ἡμῶν.

Rationes igitur, Chariſſimi quas pro ſtabilienda Invocatione Sanctorum adducitis, (quod pace veſtra dictum volumus) conſcientiis noſtris non ſatisfaciunt.

Πιστεύετε, τοῖς Ἁγίοις προτκυνητέον εἶναι, διότι βοηθεῖν τοῖς θνητοῖς δυσυχοῦσι δύνανται, αὐτό τε λόγοις καὶ παραδείγμασιν ἀποδεικτὸν οἴεσθε. Πρὸς αὐτὰ δή, καθ' ἕκαστον μὲν, βραχέως δὲ καὶ σπουδῆς. ξὺν θεῷ φάναι, ἀποκρινόμεθα. Ἰώβ, ἐντεύξει μὲν πρὸς Θεὸν, συγγνώμην τοῖς προσδιαλεξαμένοις κατεπράξατο, ἔτι δὲ ζῶν ἐπὶ γῆς, αὐτὸ ἐποίησεν. Ἡμεῖς δ' ἃ τοῦτο ζητοῦμεν, ἆρα ζῶντας, ὑπὲρ ζώντων προσεύχεσθαι δεῖ, καὶ, ἆρα καταπράττεσθαί τι δύνανται. Καὶ ἡμεῖς γὰρ ὑπὲρ ἀλλήλων προσευχόμεθα, καὶ πεποίθαμεν, μᾶλλον δὲ ἔργῳ καταλαμβανόμεθα, τὰς ἡμῶν εὐχὰς εἰσακεσθῆναι. Οὐκ ἄρα τοῖς ἀποθανοῦσι τῶν ἁγίων, ὀρθῶς τὸ παράδειγμα προσάπτεται τοῦτο. Κἂν γὰρ οἱ ἅγιοι, καὶ τελευτήσαντός γε, ἐνώπιον τοῦ Θεοῦ ζῶσι, κατὰ τὴν Χριστοῦ μαρτυρίαν, (Ματθ. κβ'.) ὅμως οὐχ ἕπεται ἐντεῦθεν, αὐτοὺς εἰδικῶς εἰδέναι, ἢ καθ' ἕκαστον, τὰ παρ' ἡμῖν ἐπὶ τῆς γῆς πραττόμενα, ὅπερ ἐκ τῆς ἄνωτεθειμένης ἐξ Ἡσαΐου μαρτυρίας φανερώτερόν ἐστιν, ἢ ὥστε ἂν ἀρνηθῆναι.

Creditis, Sanctos invocandos eſſe, qui auxilium miſeris mortalibus ferre poſſint, idque exemplis & argumentis quibusdam demonſtrari poſſe exiſtimatis. Ad ea ſingula: ſed paucis, & ſolide, Domino nos bene juvante, reſpondebimus. Job veniam a Deo precibus ſuis impetravit. Sed Job id fecit, cum adhuc in vivis eſſet. Nobis autem non eſt quæſtio, an vivi pro vivis intercedere debeant, &, an aliquid impetrare poſſint. Nam & nos pro nobis invicem oramus: & confidimus, imo experimur, preces noſtras exaudiri. Itaque hoc exemplum ad defunctos Sanctos non recte applicatur. Etſi enim Sancti, etiam mortui, coram Deo vivunt, ut Chriſtus teſtatur: tamen inde non conſequitur, quod in ſpecie norint, quid apud nos in his terris geratur: quod ex teſtimonio Iſaiæ, ſupra allato, manifeſtius eſt, quam ut negari poſſit.

Τὸ, νεκρὸν ἄνθρωπον, ἁψάμενον τῶν ὀστέων τοῦ προφήτου Ἐλισσαίου, ἀναζῆσαι, οὐκ ἄγνωστον ἡμῖν. Ἀλλὰ τῷ σημείῳ τούτῳ, καὶ ἀποθανόντος τοῦ Προφήτου τὴν διακονίαν ὁ Κύριος πιστοῦσθαι ἠβουλήθη, ἵνα μὴ διαξοιεν οἱ Ἰσραηλῖται, μὴ ἅπαντα ἀδιαπτώτως γενήσεσθαι, τὰ πρὸς

Quod cadaver hominis, ad contactum oſſium Prophetæ Eliſæi revixit, non ignoramus. Et miraculo Dominus etiam mortui Prophetæ miniſterium confirmare voluit, ne Iſraelitæ dubitarent, omnia ea certiſſime eventura, quæ Eliſæus vivus prædixerat. Sed nuſ-

πρὸς Ἐλισσαίε ζήσαντος προλεχθέντα. Ἀλλ' ἑδαμοῦ ἐυρίσκομεν, ὑπὸ τῶν ὀςέων αὐτοῦ πλείες νεκρὲς ἀνεγερθῆναι. Οὐδ' αὖ ἐκεῖνοι, οἱ τὸν νεκρὸν εἰς τὸν τάφον Ἐλισσαίε (φόβῳ καὶ ἀγωνίᾳ, διὰ τὲς ἐν ὄψει πολεμίες) ἀποῤῥίψαντες, ἐπικεκλημένοι τὸν Προφήτην ἦσαν, ἐφ' ᾧ τὸν θανόντα ἀναζήσει, ἔμενεν αὐτοῖς τοιῶτον ἀδὲν ἐπὶ νῶν ἐληλύθει. Ὥςε ἐ βλέπομεν, πῶς ἡ τῶν Ἁγίων ἐπίκλησις, ὑπὸ τοῦ θαύματος τοῦδε ἂν συςαθείη.

nuſquam legitur, quod illius oſſa plures mortuos excitarint. Neque illi, qui cadaver in ſepulchrum Eliſæi (ex metu & trepidatione, propter conſpectos hoſtes) abjiciebant, invocaverant Prophetam, ut mortuum illum excitaret: nihil illis tale in mentem venerat. Quare non videmus, quomodo hoc miraculum probet, ſanctos eſſe invocandos.

Τὸ δὲ τιμᾶσθαι δεῖν τὲς Ἁγίες, διὰ τὸν Θεὸν ἐν τοῖς σώμασιν αὐτῶν ἐνοικήσαν, αὐτές τε γενέσθαι ναὲς τοῦ Θεοῦ, ἐκ ἀρνέμεθα. Τὸ δὲ τιμᾶν, καὶ τὸ ἐπικαλεῖσθαι, δύο ἐςὶν, ἀλλήλων διαφέροντα. Καὶ τὲς Θεοῦ ναὲς, σεμνῶς μὲν ἐκτέον, ἐκ ἐπικλητέον δὲ, ἀλλ' ὁ Θεὸς, ἐν τῷ ἑαυτοῦ ναῷ οἰκῶν, ἐπικλητέος. Ταύτην δὲ πιςεύομεν εἶναι νομίμην, καὶ τοῖς Ἁγίοις προσήκεσαν, τιμὴν, τὸ, καλὰ περὶ αὐτῶν, ὡς περὶ Χριςοῦ μελῶν, μετ' αἰδῦς φρονεῖν καὶ λαλεῖν, τὸ, τὴν αὐτῶν πίςιν, ἐλπίδα, ἀγάπην, δοξάζειν, καὶ πρὸς μίμησιν, ἐν προσήκεσι καιροῖς προτιθέναι. Ταῦτα δὲ, μακρὰν ἔτι τῆς ἐπικλήσεως ἀφέςηκεν.

Honorandos eſſe Sanctos, quia Deus in ipſorum corporibus habitavit, fueruntque Dei templa, non negamus. Sed honorare, & invocare, duo diverſa ſunt. Et templa Dei honeſte ſunt habenda, ſed non invocanda: Deus autem in templo ſuo habitans, eſt invocandus. Hunc vero legitimum honorem eſſe: qui ſanctis exhiberi debeat, credimus, ſi honeſte & reverenter de iis, ut de membris Chriſti, ſentiamus & loquamur: ſi ipſorum fidem, ſpem, charitatem, celebremus, atque ad imitationem, ſuo tempore proponamus. Sed hæc ab invocatione procul adhuc abſunt.

Εἶτα δὲ, Ἁγίες Ἀγγέλες πέμπεσθαι τοῖς τὰ ὀνόματα αὐτῶν ἐπικαλεμένοις, τῦτο ἐ μεμνήμεθα, πώποτε ἐν ταῖς ἁγίαις γραφαῖς ἀναγνῶναι. Τὸν καὶ Θεὸν, ὑφ' ἡμῶν ἐπικληθέντα, πέμπειν τὲς Ἀγγέλες ἑαυτοῦ, τῷ διαφυλάξαι ἡμᾶς ἐν ταῖς ὁδοῖς αὐτοῦ, μή ποτε προσκόψωμεν πρὸς λίθον τὸν πόδα ἡμῶν, καὶ παρεμβάλλειν Ἀγγέλες Κυρίε κύκλῳ τῶν φοβεμένων αὐτὸν, ῥύσασθαί τε αὐτὲς ἐκ πολλῶν κινδύνων, ταῦτα ἐκ τῆς

Sanctos Angelos mitti invocantibus nomina ipſorum, nunquam in ſacris literis nos legere meminimus. Deum autem a nobis invocatum, mittere Angelos ſuos, qui nos cuſtodiant in viis noſtris, ne ad lapidem offendamus pedem noſtrum: Et Angelos Domini caſtrametari circa pios homines, eosque e præſentiſſimis periculis eruere: ex Pſalmis didicimus. Angelos autem invocandos eſſe, ſcriptura non docet: imo

τῆς τῶν ψαλμῶν βίβλε ἐμάθομεν. Δεῖν δ' ἐπιβοηθῆναι τὰς Ἀγγέλες, ἡ διδάσκει ἡ γραφὴ, μᾶλλον μὲν ἓν ἐν Ἀποκαλύψει τῷ Θεολόγε Ἰωάννε, τὸ προσκυνεῖσθαι αὐτὰς ἀπηγόρευται. Κτίσματι γὰρ κλίσμα (φησὶν ὁ μέγας Ἀθανάσιος) ἡ προσκυνεῖ, ἀλλὰ δοῦλος δεσπότην, καὶ κτίσμα Θεόν. Πέτρος μὲν ἓν ὁ Ἀπόστολος, προσκυνῆσαι θέλοντα τὸν Κορνήλιον, κωλύει, λέγων, ὅτι κἀγὼ ἄνθρωπός εἰμι. Ἄγγελος δὲ θέλοντα προσκυνῆσαι τὸν Ἰωάννην, ἐν τῇ Ἀποκαλύψει, κωλύει, λέγων, Ὅρα, μὴ, σύνδουλός σε εἰμὶ, καὶ τῶν ἀδελφῶν σε, τῶν Προφητῶν, καὶ τῶν τηρόντων τὰς λόγες τῆ βίβλε τέτε. Τῷ Θεῷ προσκύνησον. Οὐκοῦν, Θεοῦ ἐςι μόνον, τὸ προσκυνεῖσθαι, καὶ τῦτο ἴσασι καὶ αὐτοὶ οἱ Ἄγγελοι, ὅτι, κἂν ἀλλήλες δόξαις ὑπερέχωσιν, ἀλλὰ κτίσματα πάντα εἰσὶ, καὶ ἐκ εἰσὶ τῶν προσκυνεμένων, ἀλλὰ τῶν προσκυνόντων τὸν δεσπότην. Τὸν γοῦν Πατέρα τῦ Σαμψὼν, τὸν Μανωὲ, θέλοντα θυσίαν προσενεγκεῖν τῷ Ἀγγέλῳ, ἐκώλυσεν ὁ Ἄγγελος, λέγων, μὴ ἐμοὶ, ἀλλὰ τῷ Θεῷ, προσένεγκον. Ταῦτα μὲν, ὁ Ἅγιος Ἀλεξανδρείας Ἀθανάσιος.

imo adorandos esse, prohibetur in Apocalypsi Joannis Theologi. Creatura namque creaturam (inquit Magnus Athanasius) non adorat: sed Dominum servus, & creatura Deum. Sane Apostolus Petrus, cum adorare Cornelius ipsum vellet, vetuit, dicens: Quoniam & ego, homo sum. Angelus etiam in Apocalypsi prohibet, ne ipsum Joannes, qui hoc volebat, adoret, cum ei dicit: Cave, ne. Conservus enim tibi sum: nec non fratribus tuis, Prophetis, & illis, qui servant sermones libri hujus. Deum tu adora. Tantum itaque ad Deum, cultus adorationis pertinet, idque etiam Angelis notum est. Quanquam enim eorum alius alii splendore gloriæ præstat: tamen omnes, creaturæ sunt, nec tales, qui adorari, sed qui Dominum adorare, debeant. Patet id exemplo Manoæ, qui pater Sampsonis fuit. Cum enim ille sacrificium facere Angelo vellet, vetans id Angelus, ait: Non mihi, sed Deo, offer. Hæc, Sanctus Alexandrinus Athanasius.

Ἐπάγεται δ' ἐν τοῖς ἔπεται, ἡ ἐν τῇ ἐρήμῳ ὕδωρ πηγάσασα τοῖς Ἰσραηλίταις διψῶσι πέτρα, καὶ ὁ ἐκ σιαγόνος ὄνε ὕδατι ῥυέντι τὴν δίψαν σβέσας Σαμψών. Ἐξ ὧν συνάγεται, ἐκ τῶν λειψάνων τῶν μαρτυρικῶν, πολυτρόπως εὐποιήματα γίνεσθαι οἷά τε εἶναι.

Allegatur saxum, quod in deserto aquam, sitientibus Israelitis præbuit: & asini mandibula, ex qua Sampson sitim suam restinxit. Inde colligitur, quod ex reliquiis sanctorum multifariam beneficia scaturire possint.

Ἡμεῖς δὲ, ὦ Μακάριοι, ἐδένα τρόπον ὁρᾶν δυνάμεθα, πῶς τῦτο, ἐξ ἐκείνων ἔπεται, τίς δηλαδὴ σύγκρισις τῆς πέ-

Nos vero, Charissimi, nullam rationem hujus collectionis videre possumus: quæ videlicet sit comparatio saxi illius

&

πέτρας ἐκείνης, καὶ τῆς ὀνείας σιαγόνος, πρὸς τὰ λείψανα τῶν Ἁγίων. Εἶτα δὲ, ἃ ζητεῖται, τί ὁ Θεὸς, ἢ διὰ πέτρας ἢ διὰ λειψάνων Ἁγίων, ἐνεργεῖν δύναται, ἀλλὰ τί βέλεται. Καὶ, ὥσπερ ἡ ἐν τῷ Θεῷ βέλησις, ἐστὶν ἡ αὐτοῦ δύναμις, ἔτως ἐκ ἀντιστρόφως, ἡ ἐν τῷ Θεῷ δύναμις, ἐστὶν αὐτοῦ ἡ βέλησις. Οὐ γὰρ πάντα ὁ Θεὸς, ἃ δύναται, ποιεῖ. Τοιγαροῦν, εἰς τὴν αὐτοῦ πεφανερωμένην βέλησιν ἀποβλέπειν χρή. Ἐὰν τοίνυν ἡμῖν, κἂν μία μαρτυρία ἐκ τῶν ἱερῶν γραφῶν δειχθῇ, τὸν Θεὸν βέλεσθαι, ἐπικληθέντος τινὸς τῶν ἀποθανόντων ἁγίων, διὰ τῶν αὐτοῦ λειψάνων ἐνεργετεῖν τι, ἄσμενοι περὶ τοῦδε τοῦ μέρους ἀπροφασίστως ὑμῖν τῇ ἁγιότητι συγκαταθησόμεθα.

& mandibulæ asini, ad reliquias Sanctorum. Deinde non quæritur, quid Deus vel per saxum, vel per reliquias Sanctorum operari possit, sed, quid velit. Et ut voluntas in Deo est potestas, ita non vicissim Dei potestas, est ipsius voluntas. Non enim Deus omnia facit, quæ potest, ideoque in voluntatem ejus revelatam intueri decet. Quare, si unicum Scripturæ testimonium nobis monstratum fuerit, quod Deus velit ad invocationem alicujus Sancti mortui per ipsius reliquias beneficium aliquod conferre, libenter vobis in hac parte, sine omni tergiversatione, subscribemus.

Τοὺς ἁγίους, εἶναι μὲν τέκνα καὶ κληρονόμους τοῦ Θεοῦ, ἐπισάμεθα, ἃ παρὰ τοῦτο δ' ἐπικλητέους, ἢ προσκυνητέους, ὁρῶμεν. Δεῖν μὲν γὰρ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν ἐπιβοᾶσθαι, ὁ καλὸς πρωτομάρτυς Στέφανος, τῷ ἑαυτοῦ ὑποδείγματι ἐδίδαξε. Τὸ δὲ, καὶ τοὺς λοιποὺς Υἱοὺς, τοὺς ὑπὸ Θεοῦ υἱοποιηθέντας ἐπικαλεῖσθαι δεῖν, τοῦτο ἐδαμοῦ τῶν γραφῶν ἀνέγνωμεν.

Sanctos esse filios Dei, & hæredes ipsius, novimus: sed quod ideo sint invocandi, non videmus. Unigenitum Dei Filium invocandum, Stephanus Protomartyr suo nos exemplo docuit, reliquos vero Dei filios adoptivos, quantumvis sanctos invocandos esse, in Scriptura sacra nusquam legimus.

Τοὺς Ἁγίους, ὑπὲρ μὲν τῆς ἐν γῇ στρατευομένης Ἐκκλησίας, τῷ Θεῷ ἐντεύξεις ποιεῖσθαι, ἔστω μέντοι, ὥστε μὴ γνῶναι εἰδικῶς τὸ ἑκάστε ἄχθος, ὧ πιέζεται, ἐκ ἀπόφαμεν. Φησὶ γὰρ Παῦλος Ῥωμ. ἡ. πᾶσαν τὴν κτίσιν συστενάζειν ὑπὲρ τῆς σωτηρίας ἡμῶν. Οὐχὶ δὲ διὰ τοῦτο, ἐπιβοητέοι, τοῦ γ' Ἀβραάμ μὴ γνόντος ἡμᾶς, κατὰ τὸ τοῦ Προφήτε. Τὸ δὲ αὐτοὺς εἶναι τιμητέους ἐγέρσεσι ναῶν εἰς Θεοῦ τιμὴν, ἐπὶ τῷ αὐτῶν ὀνόματι, ἐχ' ὁρῶμεν, πῶς ταῦτα συναρμόττει. Τὸ μὲν

Sanctos orare Deum pro Ecclesia in terris militante, non negamus, ita tamen, ut in specie non norint, quo quisque malo prematur. Paulus enim docet, (Rom. 8.) omnes creaturas pro salute nostra congemiscere. Sed non ideo sunt invocandi Sancti, quia Abraham nescit nos, ut Propheta testatur. Quod sint honorandi ædificandis Templis in honorem Dei, non videmus, quomodo hæc congruant. Si enim templum extruatur in honorem Dei, hoc est, in

μὲν γὰρ ναὸν οἰκοδομεῖν εἰς τιμὴν Θεοῦ, τετέσιν, ἐπὶ τῷ, τὸ Εὐαγγέλιον Χριστοῦ ἐν αὐτῷ διδάσκεσθαι, καὶ τὰ Θεοδιάτακτα Μυστήρια νομίμως αὐτόθι διαχειρίζεσθαι, ἐκ ἀποφάσκομεν, ἃ δυνάμεθα δὲ νοεῖν, πῶς ἓν καὶ τὸ αὐτό ἐστι, τό, τε ναὸν ἐπὶ τιμῇ Θεοῦ ἐγείρειν, καὶ τὸ, ναὸν ἐπὶ τιμῇ τινὸς τῶν ἁγίων οἰκοδομεῖν. Θεῷ μὲν γὰρ, ἐκ ἀνθρώποις δὲ, ναοὶ ἐγερτέοι, ἵνα ἐν τοῖς ναοῖς ὁ Θεὸς λατρευθῇ, ἐκ ἄνθρωποι.

eum finem, ut in eo Templo Evangelion Christi doceatur, & Sacramenta divinitus instituta ibi legitime administrentur, non refragamur, sed non intelligimus, quomodo unum & idem sit, Templum in honorem Dei ædificare, &, Templum in honorem Sancti alicujus ædificare. Templa enim Deo, non hominibus, sunt ædificanda, ut in Templis colatur Deus, non homines.

Ἔτι φάσκετε, Παναγιώτατε, τὰς μνήμας τῶν Ἁγίων γεραίρεσθαι προσήκειν πράγμασιν, οἷς ὅ, τε Θεὸς θεραπεύεται, οἵτε θεράποντες αὐτοῦ ἐυφραίνονται, Ψαλμοῖς δηλονότι, ὕμνοις καὶ πνευματικαῖς ᾠδαῖς. Ἀλλὰ καὶ εἰκόνας αὐτοῖς ἐγείρεσθαι, ἵνα τὴν αὐτῶν ἀρετὴν μιμησώμεθα. Πάνυ μὲν ἓν δεῖν τὰς ἀρετὰς αὐτῶν μιμεῖσθαι, καὶ ἐν τοῖς ἄνω ὡμολογήσαμεν, ἐκ ἀναγκαῖον δ' ἐστὶ διὰ τοῦτο, αὐτοῖς εἰκόνας ἐγείρεσθαι, εἰ καὶ ἐκ ἀντιλέγομεν, εἰ μνήμης μόνον ἕνεκα, ἀλλ' ἐ προσκυνήσεως χάριν, εἰκόνες ἔχοιντ' ἄν. Ἀλλὰ μὴν, καὶ ὕμνοις τὰς αὐτῶν ἀρετὰς, καὶ τὰς ὑπὲρ Χριστοῦ πεφανθέντας ἀγῶνας, θανάτους τε λαμπροτάτους, ἐγκωμιάζεσθαι, ἐκ ἄδικον ὑπολαμβάνομεν. Τὸ δ' ἐν τοῖς ὕμνοις τοιαῦτα αὐτοῖς περιάπλεσθαι, ἃ μόνῳ τῷ μεσίτῃ ὑπάρχει Χριστῷ, ἐδαμῶς ἀποδεξαίμεθ' ἄν. Πιστεύομέν τε, τὸς Ἁγίους τοῖς τηλικούτοις ἐγκωμίοις ἐ μᾶλλον τέρπεσθαι, ἢ ὅτε Ἰωάννῃ τῷ Βαπτιστῇ, ἡ τοῦ Μεσσίᾳ τιμὴ προσενέμετο, ἣν ὁ Ἅγιος σεμνότατα παρητεῖτο. Καὶ Παῦλος Βαρνάβας τε, παρὰ τῶν ἐν Λύστροις ἑαυτοῖς θείας τιμὰς προσφέρεσθαι, ἐδαμῶς ἠνείχοντο, ὡς ἐν ταῖς ἀποστολικαῖς ὁρᾶται πράξεσιν. Οὐδέ γε προσοιστέον τοῖς Ἁγίοις τιμὰς, αἷς ὁ Θεὸς ἰδίως θερα-

Dicitis, Chariſſimi, honorandos Sanctos iis rebus, quibus tum Deus obſervatur, tum miniſtri ejus exhilarantur, Pſalmis, Hymnis, & cantionibus Spiritualibus. Imagines item illis erigendas eſſe, ut virtutem eorum imitemur. Sane ipſorum virtutes imitandas eſſe, ſupra etiam faſſi ſumus, ſed eam ob cauſam non eſt neceſſe, ut illis erigantur imagines. Tametſi non repugnamus, ſi imagines memoriæ tantum, non adorationis cauſa, habeantur. Sed & Hymnis ipſorum virtutes & Martyria celebrari, non injuſtum exiſtimamus. Talia vero illis in Hymnis attribui, quæ ſolius ſunt Mediatoris Chriſti, nequaquam probare poſſumus. Et quidem Sanctos ejuſmodi laudibus non magis delectari credimus, quam cum Ioanni Baptiſtæ honor Meſſiæ deferebatur, (Matth. 11.) quem conſtantiſſime recuſabat. Et Paulus ac Barnabas ſibi divinos honores a Lyſtrenſibus haberi, haudquaquam patiebantur, ut eſt videre in Actis Apoſtolicis cap. 14. Neque vero ſancti honorandi ſunt iis rebus, qui-

θεραπεύεται καὶ τιμᾶται, ἵνα μὴ τὴν μόνῳ τῷ Θεῷ ὀφειλομένην τιμὴν, ἐπὶ κτίσματα μετενέγκωμεν.

Ταῖς εἰκόσι τῶν ἁγίων, τιμὴν καὶ προσκύνησιν ὀιεσθε νέμειν δεῖν, διότι καὶ ἡμεῖς ἀλλήλες προσκυνῶμεν, ὡς κατ' εἰκόνα Θεῦ πεποιημένες. Ἀλλ' ἰστεον, τὴν τιμὴν, ἣν ὁ ζῶν ἄνθρωπος ζῶντι ἀνθρώπῳ ὑπέχει, πολιτικὴν, ἢ κοινήν τινα εἶναι, ἐδὲν ὅλως θεότητος ἀνθρώπῳ παρέχεσαν. Ἡμεῖς δέ γε, ἐδὲ πολιτικῶς τὴν ἄρχοντος εἰκόνα προσκυνῶμεν, ἀλλ' αὐτὸν τὸν ἄρχοντα. Οὐ τοιγάρτοι ἡ πολιτικὴ τιμὴ, ἣν ἄνθρωπος ἀνθρώπῳ νέμει, ὀρθῶς πρὸς τὰς εἰκόνας μεταφέρεται. Οὐδ' ἤτησαν πώποτε τιμὴν καὶ προσκύνησιν ταῖς εἰκόσιν ἑαυτῶν οἱ Ἅγιοι. Ὥστε ἐδὲ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Οὐδὲ Θεὸς, ἐδ' οἱ Ἅγιοι, τῦτον τὸν τρόπον προσηκόντως τιμῶνται, διότι ἐδαμῦ ἐν ταῖς ἁγίαις γραφαῖς, ἡμῖν ὁ τρόπος ἔτος ἐξεφάνθη. Διὸ, καὶ περιττὸς, καὶ ἄνομος. Καλῶς μὲν ποιῦντες, οἱ Ἰδδαῖοι, τῇ σκηνῇ κύκλωθεν προσεκύνεν, τῷ Θεῷ δὲ προσεκύνεν, ἑαυτὸν αὐτοῖς παρέσεδαι, καὶ τῶν προσευχῶν εἰσακέσεδαι, ἐν τῇ σκηνῇ (ὡς καὶ ὕστερον, ἐν τῷ ναῷ) ῥήμασι τυπικοῖς διαῤῥήδην ἐπαγγειλαμένω. Οὐδ' ἄλλο ἐδὲν οἱ Ἰδδαῖοι (ὅσοι αὐτῶν τῷ ὄντι εὐσέβεν) εἰ μὴ αὐτὸν τὸν Θεὸν (ὃν γ' ἐνοικεῖν τῇ σκηνῇ, ἐκ τῦ ῥήματος αὐτῦ ἤδεσαν) προσεκύνεν. Οὐκ ἄρα τῷ παραδείγματι τῷδε, τὸ ταῖς εἰκόσι προσκυνεῖδαι βεβαιωδείη ἄν.

Πρὸς τὸ ῥητὸν Χριστῦ, τὸ, Κύριον τὸν Θεόν σε προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, ἀποκρίνεδε, κωλύεδαι τὴν τοιαύτην προσκύνησιν, ἣ λατρεύσωμεν ἂν quibus Deus observatur & colitur proprie, ne honorem soli Deo debitum, ad Creaturas transferamus.

Imagines Sanctorum honorandas & adorandas existimatis, quia nos invicem honorare soleamus corporis inclinatione, propterea, quod ad imaginem Dei creati simus. Sed hic honor, quem vivus homo vivo homini exhibet, civilis est, neque quicquam divinitatis homini tribuit. At nos imagini (etiam Principis) ne civilem quidem honorem habemus, sed ipsi Principi. Itaque civilis honor, quem homo homini exhibet, non recte ad imagines transfertur. Neque Sancti unquam postularunt, ut ipsorum imaginibus honor exhiberetur. Quare etiam honor imagini exhibitus, non transit ad Prototypum. Neque Deus, neque Sancti ejus, hoc modo rite honorantur, quia hic modus nusquam in sacra Scriptura nobis est monstratus, ideoque est supervacaneus & illegitimus. Ac Judæi quidem recta circumcirca Tabernaculum fœderis adorabant, sed illi Deum adorabant, quia suam præsentiam, & precum exauditionem, in Tabernaculo (& postea in Templo) expresso verbo suo promiserat. Neque Judæi (qui vere pii erant) quicquam aliud, nisi Deum ipsum (quem in Tabernaculo fœderis habitare, ex ipsius verbo norant) adorabant. Itaque hoc exemplum, adorationem imaginum stabilire non potest.

Ad dictum Christi (Dominum Deum tuum adorabis, & illi soli servies) respondetis: prohiberi talem adorationem, qua serviamus creaturæ præ creatore, &

ἂν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, καὶ ἧ δουλείας καὶ λατρείας ἕνεκα, προσκύνησιν τῇ κτίσει προσαγάγωμεν. Καὶ τὴν μὲν λατρείαν κεκωλύθαι, τὴν δὲ χέσιν ἀκώλυτον εἶναι, νομίζετε. Καὶ μὴν, ὅσις τὰ τῆς ἑαυτοῦ ψυχῆς Ἁγίῳ τινὶ διεπέρασεν, αὐτὰ οἱονεὶ εἰς κόλπον αὐτοῦ ἀποφορτισάμενος, αὐτόν τε προσκυνῶν, ἢ ἔμπροσθεν τῆς εἰκόνος ἑαυτὸν βαλὼν, τὰς ἑαυτοῦ ταλαιπωρίας ἐνταυθοῖ ἀποσηρίζει, βοηθείας δεόμενος, ἔτος τῷ Ἁγίῳ ἐκείνῳ ἀπονέμει, αὐτὸν ἀκέσειν τῶν ἐκ καρδίας ξεναγμῶν, καὶ δὴ καρδιογνώστην εἶναι, καὶ βοηθὸν ἐν ἀνάγκῃ. Πρὸς δὲ, καὶ θεότητός τι, καὶ μεγαλειότητος ἐρανίε, καὶ εἰκόνι νέμει. Διὰ ἅπερ, ἐν τῇ παλαιᾷ διαθήκῃ ὁ Κύριος ἀποτόμως ἀπηγόρευσε, (Ἐξόδ. κ΄.) μηδεμίαν εἰκόνα (μηδεμίαν ἠντιναοῦν) προσκυνεῖσθαι. ἤδει γὰρ, τῷ τρόπῳ τούτῳ, τῇ εἰκόνι θεῖόν τι ἀπονέμεσθαι, ὅπερ, ἐκ εἰκὸν αὐτῷ. Οὐ τοίνυν φαίνεται ἡμῖν, πῶς, ὅτε ἐπικαλοῦνται οἱ Ἅγιοι, ἢ αἱ εἰκόνες αὐτῶν προσκυνοῦνται, τοῦτο, χέσις μόνον, ἀλλ' ὁ λατρεία, ὀνομαστέον. Οὐ γὰρ διαφορὰ γίνεται τῶν πραγμάτων, κἂν προφάσεως χάριν, διάφοροι ὀνομασίαι αὐτοῖς ἐπιτεθῶσι. Τὴν δὲ λατρείαν, μόνῳ τῷ Θεῷ προσήκειν, αὐτοὶ οἴδατε. Ἀσφαλέστατα τοίνυν ἂν ἡμῖν ἔχοι, μόνῳ ἑνὶ Θεῷ, τῷ Πατρὶ, τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, προσκυνεῖν, αὐτῷ τε μόνῳ λατρεύειν, ἵνα μὴ, ἀκαιρόν τινα εὐλάβειαν ζηλώσαντες, εἰς εἰδωλολατρείαν ἐξοκείλωμεν. Οὐδὲν γὰρ παρὰ Θεῷ διαφέρει, τό, εἴτε ἀνδριάντα, εἴτε εἰκόνα, προσκυνεῖν, ἑτέρου γε κελεύσαντι, ἢ τῶν γραφῶν τι ἀποδεξαμένῳ.

qua ſervitutis & cultus cauſa adorationem creaturæ exhibeamus. Ac λατρείαν quidem prohibitam, χέσιν vero non prohibitam, putatis. At quiſquis animum ſuum in ſinum alicujus Sancti effundit, eumque adorat, aut coram imagine procumbit, & miſerias ſuas ibi exponit, & opem petit, is illi Sancto tribuit, quod gemitus cordis audiat, atque adeo corda ſcrutetur, & adjutor ſit in neceſſitate. Deinde etiam imagini aliquid divinitatis, & majeſtatis cœleſtis, attribuit. Qua de cauſa Dominus in veteri Teſtamento (Exod. cap. 20.) ſeveriſſime prohibuit, ne ullæ (ullæ, qualescunque) Imagines adorarentur. Sciebat enim Dominus, quod hoc modo imaginibus aliquid divinitatis tribueretur, quod Deus ferre non poteſt. Itaque non videmus, quomodo cum Sancti invocantur, aut ipſorum imagines adorantur, is cultus tantum χέσις, non autem λατρεία ſit appellandus. Non enim res ſunt diverſæ propterea, quod excuſationis gratia nomina diverſa rebus imponuntur. Λατρείαν autem ſoli Deo convenire, ipſi noſtis. Quare tutiſſimum fuerit, ſolum unum Deum, Patrem, Filium, & Spiritum ſanctum adorare, & ipſi SOLI ſervire, ne intempeſtivo Religionis zelo, in Idololatriam incidamus. Coram Deo enim nihil refert, ſtatua ne, an vero pictura, adoretur, cum neutrum Deus juſſerit, aut uſpiam approbaverit.

Τὸ δὲ τοῦ Ψαλμῷ: (Ψαλ. πα΄.) Ἐγὼ εἶπα, Θεοὶ ἐστὲ, καὶ Υἱοὶ ὑψίστε πάντες,

Quod ex Pſalmo (81.) affertur: Ego dixi, Dii eſtis, & filii excelſi omnes,

non

τες, ἐκ ὀρθῶς ἐπὶ τὲς ἁγίες μετηνέχθη. Ὁ Κύριος γὰρ, ἐν ἐκείνῳ τῷ Ψαλμῷ, τοῖς πολιτικοῖς κριταῖς προσφωνεῖ, σφόδρα χαλεπαίνων, ὅτι ἐ ποιῶσι τὰ τῆς δικαιοσύνης, καίπερ τοποτηρηταὶ τῦ Θεῦ ἐπὶ τῆς γῆς ὄντες. Κἀντεῦθεν Θεοὶ ὀνομαζόμενοι, διότι δικαιοσύνην ἀσκεῖν, καὶ τὰ δίκαια νέμειν, τοῖς ὑπηκόοις πᾶσιν, ἐπὶ τῆς γῆς ὀφείλαιεν ἄν. Δεινὰς δ' ἐπιτίθησιν αὐτόθι ἀπειλὰς, ἔλας τὰς πολιτείας ἀνατραπήσεθαι, ἐὰν μὴ τὰ δέοντα μετέπειτα σπεδαιότερον ποιήσωσι. Ταῦτα δὲ, τοῖς ἐν ἐρανῷ Ἁγίοις ἐχ' ἁρμόζειν, ἐλπίζομεν, αὐτὲς ὑμᾶς καταιοήσειν, ἐὰν ὅλην τὴν συνάφειαν καὶ συμφωνίαν τῦ Ψαλμῦ μετ' ἀκριβείας θεωρήσητε. Εἶτα λέγετε, πεπληρωμένες τῦ Ἁγίε Πνεύματος τυχεῖν τὲς Ἁγίες, (ὃ καὶ ἡμῖν, ὡς ἀληθέσατον, πιςεύεται) καὶ ἐδὲ τελευτησάντων αὐτῶν, τὴν χάριν τῦ Πνεύματος ἐκχωρῆσαι, (πρὸς ὃ, περὶ τῶν ψυχῶν αὐτῶν νοέμενον, ἐκ ἀντιλέγομεν) ἀλλ' ἐκεῖναι καὶ ταῖς ψυχαῖς, καὶ τοῖς σώμασι, καὶ τοῖς χαρακτῆρσιν, ἁγίαις τε εἰκόσιν, αὐτῶν. Ταῦτα τὰ ὕσερα, εἰ μὲν ἐκ τῶν θεοπνεύσων γραφῶν πιςωθέντα βλέψομεν, ἕτοιμοί ἐσμεν καταδέχεσθαι. Εἰ δ' ἐκ τῶν προφητικῶν ἀποσολικῶν τε γραμμάτων ἐ δυνήσονται δείκνυσθαι, ἐδεμίαν ἀβελτηρίαν καὶ προπέτειαν ἐ μὴ καταγνωσθῶμεν, ἐὰν αὐτὰ τοῖς αὐτῶν εἰσηγηταῖς ἀπολείπωμεν.

Τὸν μὲν Σολομῶντα, ποιήσαντα Χερεβὶμ ἐπισάμεθα, αὐτὲς δὲ προσκυνηθέντας, ἐδαμῦ τῶν γραφῶν ἐυρίσκομεν. Κατασκευασικὸν ἓν, τὸ παράδειγμα τῦτο, τῦ μὲν ἐξεῖναι ποιεῖν εἰκόνας, πρὸς ὃ ἐ μαχόμεθα, τῦ δὲ προσκυνητέας εἶναι αὐτὰς, ἔ. Τὸ

non recte accommodatur ad Sanctos. Dominus enim eo Pſalmo Politicos Judices alloquitur, eosque graviter reprehendit, quod Juſtitiam non adminiſtrent, cum tamen vices Dei in terris gerant, unde & Dii appellentur. Propterea quod Dei loco, Juſtitiam in his terris, omnibus ſuis ſubditis adminiſtrare deberent. Severas autem addit ibi comminationes, fore, ut Reſpublicæ totæ evertantur, niſi poſthac officium ſuum diligentius fecerint. Hæc autem quomodo ad Sanctos in cœlis accommodari poſſint, ſperamus vos ipſos animadverſuros, ſi totum Pſalmi contextum exacte conſideraveritis. Aſſeritis, in Sanctis fuiſſe Spiritum ſanctum, (ut veriſſimum eſſe, etiam nos credimus) & poſt funera etiam Spiritus ſancti gratiam non exceſſiſſe ex ipſis, (quod ſi de ipſorum animabus intelligatur, non refragamur) ſed ineſſe & animis, & corporibus, & ſepulchris, & ſimulachris, & ſanctis ipſorum imaginibus, affirmatis. Hæc poſteriora, ſi ſacrarum literarum teſtimonio confirmata videbimus, prompte recipiemus. Si vero hæc, ex Propheticis & Apoſtolicis Scriptis demonſtrari non poſſunt, nullius temeritatis accuſabimur, ſi ea ſuis autoribus relinquamus.

Salomonem feciſſe Cherubim, ſcimus: illos vero adoratos fuiſſe, nuſquam in ſacris literis legimus. Itaque hoc exemplum quidem probat, licere imagines facere, contra quod non pugnamus, easdem vero adorandas eſſe, non probat.

Τὸ δὲ, ὅτι ὁ τὸν Μάρτυρα τιμῶν, τὸν Θεὸν (τρόπον τινὰ) τιμᾷ, καὶ ὁ τὴν Μητέρα τῦ Ἰησῦ, αὐτὸν τὸν Ἰησῦν, ἐκ-ὧν ἀρνοίμεθα, νοεμένης γε τοιαύτης τῆς τιμῆς, οἵας προσήκειν τοῖς Ἁγίοις προλαβόντες εἴπομεν. Θείων δ' αὐτοῖς τιμῶν προσαγομένων, ἡγέμεθα, τοσῦτον τιμῆς τῷ Θεῷ ἀπογίνεθαι, ὅσον τοῖς Ἁγίοις προσγίνεται. Οὐ γὰρ ὁ Θεὸς ἑτέρῳ τὴν δόξαν ἑαυτῦ δῦναι θέλει.

